

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΕΡΟΙΑΣ
+200
Δίτ. 2009
Αριθ. είσ. 244/1959
ΔΩΡΕΑ Ανδ. Τσόυτσιου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΛΛΗΝΙΚΗ

ΧΡΗΣΤΟΜΑΘΕΙΑ

ΕΚ ΤΩΝ

ΔΟΚΙΜΩΤΕΡΩΝ ΕΛΛΗΝΩΝ

ΠΕΖΟΓΡΑΦΩΝ ΚΑΙ ΠΟΙΗΤΩΝ,

Μετὰ σχολίων γραμματικῶν, ἱστορικῶν καὶ φιλοσοφικῶν, καὶ
μετ' ἐπιτόμων φιλολογικῶν καὶ [illegible]

Διῃρημένη εἰς τόμους ΠΕΝΤΕ,

Πρὸς χρῆσιν τῶν ἀπανταχοῦ Ἑλλην. Σχολείων καὶ Γυμνασίων.

Ὑπὸ Σ. Δ. ΒΥΖΑΝΤΙΟΥ καὶ Α. Ρ. ΡΑΓΚΑΒΗ.

ΕΚΔΟΣΙΣ ΕΚΤΗ ΣΤΕΡΕΟΤΥΠΟΣ,

Βελτιωμένη καὶ ἐπηυξημένη μετὰ προσθηκῶν τινῶν.

Δαπάνῃ τῶν τέκνων

ΑΝΔΡΕΟΥ ΚΟΡΟΜΗΛΑ.

Κατ' ἔγκρισιν τοῦ ἐπὶ τῶν Ἐκκλησιαστικῶν καὶ τῆς Δημοσίας Ἐκπαιδεύσεως Ὑπουργείου.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

(Τιμᾶται Δρ. 2).



ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦ. ΤΩΝ ΤΕΚΝΩΝ ΑΝΔΡ. ΚΟΡΟΜΗΛΑ.

Ὁδὸς Ἑρμοῦ, Πλατεῖα Συντάγματος, Ἀρ. 1.

1864.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ.

Ἐν Ἀθήναις,
τῇ 18 Δεκεμβρίου
1844.



ΤΟ ΥΠΟΥΡΓΕΙΟΝ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΑΣ ΕΚΠΑΙΔΕΥΣΕΩΣ.

Πρὸς τὸν Κύριον Ἀνδρέαν Κορομηλᾶν.

Κατὰ τὴν γνώμην τῆς ἐξεταστικῆς τῶν βιβλίων Ἐπιτροπῆς, ἐγκρίνομεν νὰ εἰσαχθῇ εἰς τὰ Ἑλληνικὰ Σχολεῖα ὡς διδακτικὸν σύγγραμμα ἡ παρὰ σοῦ ἐκδοθεῖσα πεντάτομος *Ἑλληνικὴ Χρηστομάθεια* τοῦ Κ. Ἀ. Ῥ. Ῥαγκαβῆ.

(Τ. Σ.) *Ὁ Ὑπουργὸς*

ΙΩΑΝΝΗΣ ΚΩΛΕΤΤΗΣ.

Μ. ΚΑΛΛΙΦΡΟΝΑΣ.

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ.

ΤΟ ΥΠΟΥΡΓΕΙΟΝ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΑΣ ΕΚΠΑΙΔΕΥΣΕΩΣ.

Πρὸς τοὺς Γυμνασιάρχας, Σχολάρχας καὶ διδασκάλους τῶν Ἑλληνικῶν Σχολείων.

Κατὰ τὴν γνώμην τῆς ἐξεταστικῆς Ἐπιτροπῆς, συνιστῶμεν ὡς διδακτικὸν βιβλίον τὴν νέαν πεντάτομον *Ἑλληνικὴν Χρηστομάθειαν*, ἐκδεδομένην ἐσχάτως παρὰ τοῦ Κυρίου Ἀνδρέου Κορομηλᾶ, συλλεγεῖσαν δὲ παρὰ τοῦ Κυρίου Ἀ. Ῥ. Ῥαγκαβῆ.

Ἐν Ἀθήναις, τῇ 28 Δεκεμβρίου 1844.

(Τ. Σ.) *Ὁ Ὑπουργὸς*

ΙΩΑΝΝΗΣ ΚΩΛΕΤΤΗΣ.

Μ. ΚΑΛΛΙΦΡΟΝΑΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Α'. ΛΥΚΟΥΡΓΟΥ
ΛΟΓΟΣ
ΚΑΤΑ ΛΕΩΚΡΑΤΟΥΣ.

Λυκοῦργος, εἷς τῶν δέκα Ῥητόρων, υἱὸς τοῦ Λυκόφρονος καὶ τὸν δῆμον Βουτάδης, ἐχρημάτισε μαθητὴς τοῦ Πλάτωνος καὶ Ἰσοκράτους καὶ ὁπαδὸς, ὡς πρὸς τὰ πολιτικὰ, τοῦ συστήματος τοῦ Δημοσθένους· ἀπέθανε δὲ εἰς τὰ 325 π. Χ. εἰς ἡλικίαν ὀγδοήκοντα καὶ ἐπέκεινα ἐτῶν, σχεδὸν ἑνδεής, ἀφ' οὗ ἐν διαστήματι τοῦ πολιτικοῦ του βίου διεχείρισεν 100 σχεδὸν ἑκατομμυρίων δραγμῶν (13,000 ταλάντων) δημοσίαν περιουσίαν· καθὼς τοῦτο ἐξάγεται ἀπὸ τὴν ἐπιγραφὴν τὴν ὁποίαν ἀνεῦρε μὲν ὁ Φερμόντος, ἐδημοσίευσε δὲ ὁ Βοίκκιος (L. c. p. 249), ἡ ὁποία, κατὰ τὸν σοφὸν τοῦτον, φαίνεται πιθανῶς ὅτι εἶναι ὁ ἀπολογισμὸς τῆς διαχειρίσεως ταύτης (« πάντων ὧν διῴκησεν ἀναγραφὴ »), τὴν ὁποίαν ὁ ἴδιος ἐστηλογράφησεν. Ἡ πόλις, τιμῶσα τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ἀνέθρεψε τὰ τέκνα του δημοσίᾳ, τοῦ ἔστησε χαλκοῦν ἀνδριάντα, καὶ ἐψήφισεν ὥστε τοῦ λοιποῦ εἰς ἅπαντα τὸν χρόνον εἰς τῶν ἀπογόνων του νὰ ἔχῃ σύνταξιν διὰ βίου ἀπὸ τὸ Πρυτανεῖον. Ἐκ τῶν δεκατεσσάρων ἢ δεκαπέντε λόγων αὐτοῦ ἕνα μόνον ἔχομεν, τὸν κατὰ Λεωκράτους, τὸν ὁποῖον, φυγόντα μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην εἰς Ῥόδον, κἀκεῖθεν εἰς Μέγαρα, ἐπανελθόντα μετὰ τὴν εἰρήνην εἰς Ἀθήνας, νόμοι ὑπάρχοντος, ὥστε μηδένα ἔξω γενέσθαι τῆς πόλεως ἐν καιρῷ τοῦ πολέμου, ἐγκάλεσεν ὁ ῥήτωρ ὡς προδότην· τὸ δὲ ἀποτέλεσμα τῆς δίκης ταύτης ἀναφέρει ὁ Αἰσχίνης (ἐν τῷ κατὰ Κτησιφῶντος): « Ἕτερος δ' ἰδιώτης, ἐκπλεύσας εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην ποτὲ εἰσηγγέλθη, ἴσαι αὐτῷ αἱ ψῆφοι ἐγένοντο· εἰ δὲ μία μόνον μετέπεσεν, ὑπερώριστ' ἂν ἡ ἀπέθανεν ».

ΔΙΚΑΙΑΝ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ εὐσεβῆ καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν[1] τὴν ἀρχὴν τῆς κατηγορίας Λεωκράτους τοῦ κρινομένου ποιήσομαι. Εὔχομαι γὰρ[2] τῇ Ἀθηνᾷ, καὶ τοῖς ἄλλοις θεοῖς, καὶ τοῖς ἥρωσι τοῖς κατὰ τὴν πόλιν καὶ τὴν χώραν ἱδρυμένοις, εἰ μὲν εἰσήγγελκα Λεωκράτην[3] δικαίως, καὶ κρίνω τὸν προδόντα αὐτῶν καὶ τοὺς νεὼς καὶ τὰ ἕδη[4] καὶ τὰ τεμένη καὶ τὰς ἐν τοῖς νόμοις θυσίας τὰς ὑπὸ τῶν ὑμετέρων προγόνων παραδεδομένας, ἐμὲ μὲν ἄξιον ἐν τῇ τήμερον ἡμέρᾳ τῶν Λεωκράτους ἀδικημάτων κατήγορον ποιῆσαι, ὅ[5] καὶ τῷ ὄντι καὶ τῇ πόλει συμφέρει· ὑμᾶς δὲ, ὡς ὑπὲρ πατέρων καὶ παίδων καὶ γυναικῶν καὶ πατρίδος καὶ ἱερῶν βουλευομένους, καὶ ἔχοντας ὑπὸ τῇ ψήφῳ τὸν προδότην ἁπάντων τούτων, ἀπαραιτήτους δικαστὰς [μὴ παρέχοντας συγγνώμην[6]] καὶ νῦν καὶ εἰς τὸν λοιπὸν χρόνον γενέσθαι τοῖς τὰ τοιαῦτα καὶ τηλικαῦτα παρανομοῦσιν· εἰ δὲ

---

[1]) Ὑπὲρ ὑμῶν μὲν δικαίαν, ὑπὲρ τῶν θεῶν δὲ εὐσεβῆ. [2]) Ἀπὸ εὐχῆς πρὸς τοὺς θεοὺς ἄρχεται καὶ ὁ Δημοσθένης τοῦ περὶ Στεφάνου λόγου. [3]) Ὁ Κοραῆς προτιμᾷ τὸν τύπον Λεωκράτη. [4]) Ἀγάλματα, κυρίως τὰ καθίσματα. [5]) Ὁ Κοραῆς ἔγραψεν ὃ ς. [6]) Παρέγγραπτοι ἐνομίσθησαν αἱ λέξεις αὗται, πρὸς ἐπεξήγησιν τοῦ ἀπαραιτήτους.

μήτε τὸν προδόντα τὴν πατρίδα, μήτε τὸν ἐγκαταλιπόντα τὴν πόλιν καὶ τὰ ἱερὰ εἰς τουτονὶ τὸν ἀγῶνα καθίστημι, σωθῆναι αὐτὸν ἐκ τοῦ κινδύνου καὶ ὑπὸ τῶν θεῶν καὶ ὑφ' ὑμῶν τῶν δικαστῶν.

Ἐβουλόμην δ' ἄν, ὦ ἄνδρες, ὥσπερ ὠφέλιμόν ἐστι τῇ πόλει εἶναι τοὺς κρίνοντας ἐν ταύτῃ τοὺς παρανομοῦντας, οὕτω καὶ φιλάνθρωπον αὐτὸ παρὰ τοῖς πολλοῖς ὑπειλῆφθαι· νῦν δὲ περιέστηκεν εἰς τοῦτο, ὥστε τὸν ἰδίᾳ κινδυνεύοντα[7] καὶ ὑπὲρ τῶν κοινῶν ἀπεχθανόμενον, οὐ φιλόπολιν ἀλλὰ φιλοπράγμονα δοκεῖν εἶναι, οὐ δικαίως οὐδὲ συμφερόντως τῇ πόλει. Τρία γάρ ἐστι τὰ μέγιστα, ἃ διαφυλάττει καὶ διασώζει τὴν δημοκρατίαν καὶ τὴν τῆς πόλεως εὐδαιμονίαν· πρῶτον μὲν ἡ τῶν νόμων τάξις, δεύτερον δ' ἡ τῶν δικαστῶν ψῆφος, τρίτον δ' ἡ τούτοις τὰδικήματα παραδιδοῦσα κρίσις· ὁ μὲν γὰρ νόμος πέφυκε προλέγειν ἃ μὴ δεῖ πράττειν, ὁ δὲ κατήγορος μηνύειν τοὺς ἐνόχους τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις καθεστῶτας, ὁ δὲ δικαστὴς κολάζειν τοὺς ὑπ' ἀμφοτέρων τούτων ἀποδειχθέντας αὐτῷ· ὥστ' οὔθ' ὁ νόμος οὔθ' ἡ τῶν δικαστῶν ψῆφος ἄνευ τοῦ παραδώσοντος αὐτοῖς τοὺς ἀδικοῦντας ἰσχύει. Ἐγὼ δέ, ὦ Ἀθηναῖοι, εἰδὼς Λεωκράτην φυγόντα μὲν τοὺς ὑπὲρ τῆς πατρίδος κινδύνους, ἐγκαταλιπόντα δὲ τοὺς αὐτοῦ πολίτας, προδεδωκότα δὲ πᾶσαν τὴν ὑμετέραν δύναμιν, ἅπασι δὲ τοῖς γεγραμμένοις[8] ἔνοχον ὄντα, ταύτην τὴν εἰσαγγελίαν ἐποιησάμην, οὔτε δι' ἔχθραν οὐδεμίαν, οὔτε διὰ φιλονεικίαν οὐδ' ἡντινοῦν τοῦτον τὸν ἀγῶνα προελόμενος, ἀλλ' αἰσχρὸν εἶναι νομίσας τοῦτον περιορᾶν[9] εἰς τὴν ἀγορὰν ἐμβάλλοντα καὶ τῶν κοινῶν ἱερῶν μετέχοντα, τῆς τε πατρίδος ὄνειδος καὶ πάντων ὑμῶν γεγενημένον[10]. πολίτου γάρ ἐστι δικαίου μὴ διὰ τὰς ἰδίας ἔχθρας εἰς τὰς κοινὰς κρίσεις καθιζάναι τοὺς τὴν πόλιν μηδὲν ἀδικοῦντας, ἀλλὰ τοὺς εἰς τὴν πατρίδα τι παρανομοῦντας ἰδίους ἐχθροὺς εἶναι νομίζειν, καὶ τὰ κοινὰ τῶν ἀδικημάτων κοινὰς καὶ τὰς προφάσεις ἔχειν τῆς πρὸς αὐτοὺς διαφορᾶς.

Ἅπαντας μὲν οὖν χρὴ νομίζειν μεγάλους εἶναι τοὺς δημοσίους ἀγῶνας, μάλιστα δὲ τοῦτον ὑπὲρ οὗ νῦν μέλλετε τὴν ψῆφον φέρειν· ὅταν μὲν γὰρ τὰς τῶν παρανόμων γραφὰς[11] δικάζητε, τοῦτο μόνον[12] ἐπανορθοῦτε καὶ ταύτην τὴν πρᾶξιν κωλύετε, καθ' ὅσον ἂν τὸ ψήφισμα[13] μέλλῃ βλάπτειν τὴν πόλιν· ὁ δὲ νῦν ἐνεστηκὼς ἀγὼν οὐ μικρόν τι μέρος συνέχει τῶν τῆς πόλεως οὐδὲ ἐπ' ὀλίγον χρόνον, ἀλλ' ὑπὲρ ὅλης τῆς πατρίδος καὶ κατὰ παντὸς τοῦ αἰῶνος ἀείμνηστον καταλείψει τοῖς ἐπιγιγνομένοις τὴν κρίσιν· οὕτω γάρ ἐστι δεινὸν τὸ γεγενημένον ἀδίκημα, καὶ τηλικοῦτον ἔχει τὸ μέγεθος, ὥστε μήτε κατηγορίαν, μήτε [τιμωρίαν ἐνδέχεσθαι εὑρεῖν ἀξίαν[14]], μηδὲ ἐν τοῖς νόμοις ὡρίσθαι τιμωρίαν ἀξίαν τῶν ἁμαρτημάτων. Τί γὰρ χρὴ παθεῖν τὸν

---

7) Διότι ὁ κατηγορῶν ἀδίκως ἐπλήρωνε χιλίας ἢ 500 δραχμὰς, ἂ κατελικάζετο εἰς φυγὴν ἢ ἀτιμίαν, καθὼς τὸ ἔπαθεν ὁ Αἰσχίνης. 8) Ἐν τῷ κατὰ τῶν φυγόντων ψηφίσματι, ἢ ἐν τοῖς νόμοις. 9) Ἡμᾶς ἢ ἐμὲ περιορᾶν τοῦτον. 10) Ἐν ᾧ ἢ ἀφ' οὗ ἔγινε. 11) Ἡ κατὰ τῶν παρανόμων γραφὴ εἰσήγετο ἐναντίον τῶν εἰσηγουμένων ψήφισμα ἀντιβαῖνον εἰς τοὺς καθεστῶτας νόμους. 12) Τὸ παρανόμως εἰσαγόμενον. 13) Τὸ καθυποβαλλόμενον εἰς τὴν ἐπικύρωτίν σας. 14) Πλεονάζουσαι ἐκρίθησαν αἱ τέσσαρες αὗται λέξεις· ἀλλ' ἠμποροῦν νὰ ῥυθμισθῶ καὶ ἄλλως τὸ χωρίον ἀντιμετατιθεμένων οὕτω πως τῶν λέξεων· « Ὥστε μήτε κατηγορίαν μήτε τιμωρίαν ἐνδέχεσθαι εὑρεῖν, μηδὲ ἐν τοῖς νόμοις ὡρίσθαι, ἀξίαν τῶν ἁμ-

ἐκλιπόντα μὲν τὴν πατρίδα, μὴ βοηθήσαντα δὲ τοῖς πατρῴοις ἱεροῖς, ἐγκαταλιπόντα δὲ τὰς τῶν προγόνων θήκας[15], ἅπασαν δὲ τὴν πόλιν ὑποχείριον τοῖς πολεμίοις παραδόντα; τὸ μὲν γὰρ μέγιστον καὶ ἔσχατον τῶν τιμημάτων, θάνατος, ἀναγκαῖον μὲν ἐκ τῶν νόμων ἐπιτίμιον, ἔλαττον δὲ τῶν Λεωκράτους ἀδικημάτων καθέστηκε. Παρεῖσθαι δὲ τὴν ὑπὲρ τῶν τοιούτων τιμωρίαν συμβέβηκεν, ὦ ἄνδρες, οὐ διὰ ῥᾳθυμίαν τῶν τότε νομοθετούντων, ἀλλὰ διὰ τὸ μήτ' ἐν τοῖς πρότερον χρόνοις γεγενῆσθαι τοιοῦτον μηδέν, μήτε ἐν τοῖς μέλλουσιν ἐπίδοξον εἶναι γενέσθαι [ὡς μήτε κατηγορίαν μήτε τιμωρίαν ἐνδέχεσθαι εὑρεῖν ἀξίαν[16]]. Διὸ καὶ μάλιστα, ὦ ἄνδρες, δεῖ ὑμᾶς γενέσθαι μὴ μόνον τοῦ νῦν ἀδικήματος δικαστὰς ἀλλὰ καὶ νομοθέτας. ὅσα μὲν γὰρ τῶν ἀδικημάτων νόμος τις διώρικε, ῥᾴδιον τούτῳ κανόνι χρωμένους κολάζειν τοὺς παρανομοῦντας· ὅσα δὲ μὴ σφόδρα[17] περιείληφεν[18] ἑνὶ ὀνόματι προσαγορεύσας, μείζω δὲ τούτων τις ἠδίκηκεν, ἅπασι δὲ ὁμοίως ἔνοχός ἐστιν, ἀναγκαῖον τὴν ὑμετέραν κρίσιν καταλείπεσθαι παράδειγμα τοῖς ἐπιγιγνομένοις. Εὖ δ' ἴστε, ὦ ἄνδρες, ὅτι οὐ μόνον τοῦτον νῦν κολάσετε κατεψηφισμένοι, ἀλλὰ καὶ τοὺς νεωτέρους ἅπαντας ἐπ' ἀρετὴν προτρέψετε. δύο γάρ ἐστι τὰ παιδεύοντα τοὺς νέους, ἥτε τῶν ἀδικούντων τιμωρία καὶ ἡ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς διδομένη δωρεά· πρὸς ἑκάτερον δὲ τούτων ἀποβλέποντες, τὴν μὲν διὰ τὸν φόβον φεύγουσι, τῆς δὲ διὰ τὴν δόξαν ἐπιθυμοῦσι.

Διὸ δεῖ, ὦ ἄνδρες, προσέχειν τούτῳ τῷ ἀγῶνι, καὶ μηδὲν περὶ πλείονος ποιήσασθαι τοῦ δικαίου. Ποιήσομαι δὲ κἀγὼ τὴν κατηγορίαν δικαίαν, οὔτε ψευδόμενος οὐδέν, οὔτ' ἔξω τοῦ πράγματος λέγων. Οἱ μὲν γὰρ πλεῖστοι τῶν εἰς ὑμᾶς εἰσιόντων, πάντων ἀποπώτατον ποιοῦσιν· ἢ γὰρ συμβουλεύουσιν ἐνταῦθα[19] περὶ τῶν κοινῶν πραγμάτων, ἢ κατηγοροῦσι καὶ διαβάλλουσι πάντα μᾶλλον ἢ περὶ οὗ μέλλετε τὴν ψῆφον φέρειν. Ἔστι δ' οὐδέτερον τούτων χαλεπόν, οὔθ' ὑπὲρ ὧν μὴ βουλεύεσθε γνώμην ἀποφήνασθαι, οὔθ' ὑπὲρ ὧν μηδεὶς ἀπολογήσεται κατηγορίαν εὑρεῖν. ἀλλ' οὐ δίκαιον ὑμᾶς μὲν ἀξιοῦν δικαίαν τὴν ψῆφον φέρειν, αὐτοὺς δὲ μὴ δικαίαν τὴν κατηγορίαν ποιεῖσθαι. τούτων δὲ αἴτιοι ὑμεῖς ἐστε, ὦ ἄνδρες· τὴν γὰρ ἐξουσίαν ταύτην δεδώκατε τοῖς ἐνθάδε εἰσιοῦσι, καὶ ταῦτα κάλλιστον ἔχοντες τῶν Ἑλλήνων παράδειγμα τὸ ἐν Ἀρείῳ πάγῳ συνέδριον, ὃ τοσοῦτον διαφέρει τῶν ἄλλων δικαστηρίων, ὥστε καὶ παρ' αὐτοῖς ὁμολογεῖσθαι τοῖς ἁλισκομένοις δικαίαν ποιεῖσθαι τὴν κρίσιν· πρὸς ὃ δεῖ καὶ ὑμᾶς ἀποβλέποντας, μὴ ἐπιτρέπειν τοῖς ἔξω τοῦ πράγματος λέγουσιν· οὕτω γὰρ ἔσται τοῖς τε κρινομένοις ἄνευ διαβολῆς ὁ ἀγὼν, καὶ τοῖς διώκουσιν ἥκιστα συκοφαντεῖν[20], καὶ ὑμῖν εὐορκοτάτην[21] ψῆφον ἐνεγκεῖν. [ἀδύνατον γάρ ἐστιν ἄνευ τοῦ λόγου, μὴ δικαίως δεδιδαγμένους, δικαίαν θέσθαι τὴν ψῆφον[22]].

---

15) Τάφους, μνήματα. 16) Περιττὴ παλιλλογία. 17) Ἀκριβῶς, διαῤῥήδην. 18) Ἴσον τῷ ἀνωτέρω Διώρικε. Τὴν αὐτὴν λέξιν μετεχειρίσθη καὶ ὁ Πλάτων (περὶ νομ. VII, 823) καὶ ὁ Πλούταρχος, περὶ Αἰμιλ. δ', 294). 19) Ἐν ταῖς κατ' ἰδιωτῶν κατηγορίαις.

20) (Ἔσται) συκοφαντεῖν καὶ.. ἐνεγκεῖν. 21) Ὁ Κορ. ἐπρόσθεσε καὶ τὸ ἄρθρον: Τὴν ψῆφον· τὸ ὁποῖον ὅμως φαίνεται παρέλιπεν ὁ ῥήτωρ διὰ τὴν κακοφωνίαν. 22) Περιέκλεισέ τις αὐτὰ τῶν νεωτέρων κριτικῶν, ὡς περιττεύοντα· ἀλλ' ὁ χαρακτὴρ, φαίνεται, τοῦ λόγου τοῦ ῥήτορος, ἦτον τοιοῦτος.

Δεῖ δ', ὦ ἄνδρες, μηδὲ ταῦτα λαθεῖν ὑμᾶς, ὅτι οὐχ ὁμοίως ἔστιν ὁ ἀγὼν περὶ τούτου καὶ τῶν ἄλλων ἰδιωτῶν. περὶ μὲν γὰρ ἀγνῶτος ἀνθρώπου τοῖς Ἕλλησιν ἐν ὑμῖν αὐτοῖς[25] ἐδοκεῖτ' ἂν ἡ καλῶς ἢ καὶ φαύλως ἐψηφίσθαι· περὶ δὲ τούτου ὅ,τι ἂν βουλεύσησθε, παρὰ πᾶσι τοῖς Ἕλλησιν ἔσται λόγος. ἐπιφανὴς γάρ ἐστι διὰ τὸν ἔκπλουν τὸν εἰς Ῥόδον καὶ τὴν ἀπαγγελίαν[26] ἣν ἐποιήσατο καθ' ὑμῶν πρός τε τὴν πόλιν τὴν τῶν Ῥοδίων καὶ τῶν ἐμπόρων τοῖς ἐπιδημοῦσιν ἐκεῖ, οἳ, πᾶσαν τὴν οἰκουμένην περιπλέοντες δι' ἐργασίαν[27], ἀπήγγελλον ἅμα περὶ τῆς πόλεως ἃ Λεωκράτους ἀκηκόεσαν· οἳ ἴσασι τὰ τῶν προγόνων τῶν ὑμετέρων ἔργα ἐναντιώτατα τοῖς τούτῳ διαπεπραγμένοις ὄντα. ὥστε περὶ πολλοῦ ποιητέον ἐστὶν ὀρθῶς βουλεύσασθαι περὶ αὐτοῦ. Εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι ᾧ[28] πλεῖστον διαφέρετε τῶν ἄλλων ἀνθρώπων, τῷ πρός τε τοὺς θεοὺς εὐσεβῶς καὶ πρὸς τοὺς γονεῖς ὁσίως καὶ πρὸς τὴν πατρίδα φιλοτίμως ἔχειν, τούτων πλεῖστον ἀμελεῖν δόξοιτ' ἄν, εἰ τὴν παρ' ὑμῶν οὗτος διαφύγοι τιμωρίαν.

Δέομαι δ' ὑμῶν, ὦ Ἀθηναῖοι, ἀκοῦσαί μου τῆς κατηγορίας διὰ τέλους[27], καὶ μὴ ἄχθεσθαι ἐὰν ἄρξωμαι ἀπὸ τῶν τῇ πόλει τότε συμβάντων, ἀλλὰ τοῖς αἰτίοις ὀργίζεσθαι [καὶ[28]] δι' οὓς ἀναγκάζομαι νῦν μεμνῆσθαι περὶ αὐτῶν. Γεγενημένης γὰρ τῆς ἐν Χαιρωνείᾳ μάχης[28a], καὶ συνδραμόντων ἁπάντων ὑμῶν εἰς τὴν ἐκκλησίαν, ἐψηφίσατο ὁ δῆμος παῖδας μὲν καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν εἰς τὰ τείχη κατακομίζειν, τοὺς δὲ στρατηγοὺς τάττειν εἰς τὰς φυλακὰς τῶν Ἀθηναίων[29] καὶ τῶν ἄλλων τῶν οἰκούντων Ἀθήνησιν, καθ' ὅ,τι ἂν αὐτοῖς δοκῇ. Λεωκράτης δὲ, τούτων οὐδενὸς φροντίσας, συσκευασάμενος ἃ εἶχε χρήματα μετὰ τῶν οἰκετῶν ἐπὶ τὸν λιμένα κατεκόμισε, τῆς νεὼς ἤδη περὶ τὴν ἀκτὴν ἐξορμούσης[30], καὶ περὶ δείλην ὀψίαν αὐτὸς μετὰ τῆς ἑταίρας Εἰρηνίδος κατὰ μέσην τὴν ἀκτὴν διὰ τῆς πυλίδος ἐξελθὼν, πρὸς τὴν ναῦν προσέπλευσε καὶ ᾤχετο φεύγων, οὔτε τοὺς λιμένας τῆς πόλεως ἐλεῶν, ἐξ ὧν ἀνήγετο, οὔτε τὰ τείχη τῆς πατρίδος αἰσχυνόμενος, ὧν τὴν φυλακὴν ἔρημον τὸ καθ' αὑτὸν μέρος κατέλειπεν· οὐδὲ τὴν ἀκρόπολιν καὶ τὸ ἱερὸν τοῦ Διὸς τοῦ Σωτῆρος καὶ τῆς Ἀθηνᾶς τῆς Σωτείρας ἀφορῶν καὶ προδιδοὺς ἐφοβήθη, οὓς αὐτίκα σώσοντας ἑαυτὸν ἐκ τῶν κινδύνων ἐπικαλέσεται. Καταχθεὶς δὲ καὶ ἀφικόμενος εἰς Ῥόδον, ὥσπερ τῇ πατρίδι μεγάλας εὐτυχίας εὐαγγελιζόμενος, ἀπήγγελλεν ὡς τὸ μὲν ἄστυ τῆς πόλεως ἁλωκὸς καταλίποι, τὸν δὲ Πειραιέα πολιορκούμενον, αὐτὸς δὲ μόνος διασωθεὶς ἥκοι· καὶ οὐκ ἠσχύνθη τὴν τῆς πατρίδος ἀτυχίαν αὑτοῦ σωτηρίαν προσαγορεύσας. Οὕτω δὲ σφόδρα ταῦτ' ἐπίστευσαν οἱ Ῥόδιοι, ὥστε, τριήρεις πληρώσαντες, τὰ πλοῖα κατῆγον[31], καὶ τῶν ἐμπόρων καὶ τῶν ναυκλήρων οἱ παρεσκευασμένοι δεῦρο πλεῖν, αὐτοῦ[32] τὸν σῖτον ἐξείλοντο καὶ τἆλλα χρήματα[33] διὰ τοῦτον. Καὶ

---

25) Μεταξὺ Σας, ἐᾶν μόνον εἰς τὰς Ἀθήνας. 26) Ἴδε κατωτέρω. 27) Χάριν ἐμπορίας, κέρδους. 28) (Ἐκείνου Ἐφ')ᾧ. 27) Ἀπ' ἀρχῆς ἄχρι τέλους. 28) Καὶ ὁ Κοραῆς περιέκλεισε τὸν σύνδεσμον ὡς περιττόν. 28a) Ἡ ἐν Χαιρωνείᾳ τῆς Βοιωτίας μάχη, καθ' ἣν ὁ Φίλιππος ἐνίκησε τοὺς Ἀθηναίους καὶ τοὺς συμμάχους των, ἐγένετο τὸ 338 π. Χ.
29) (Ἐκ) τῶν Ἀθην. 30) Οὗτος, καθὼς λέγομεν τώρα, εἰς τὰ πανιά, ἐκτὸς τοῦ λιμένος. 31) Συνελάμβανον καὶ ἔφερον εἰς τὸν λιμένα των. 32) Ἐκεῖ, εἰς τὴν Ῥόδον.
33) Πράγματα, ἐμπορεύματα.

ὅτι ταῦτ' ἀληθῆ λέγω, ἀναγνώσεται[53] ὑμῖν τὰς μαρτυρίας ἁπάντων, πρῶτον μὲν τὰς τῶν γειτόνων καὶ τῶν ἐν τῷ τόπῳ τούτῳ κατοικούντων, οἳ τοῦτον ἴσασιν ἐν τῷ πολέμῳ φυγόντα καὶ ἐκπλεύσαντα Ἀθήνηθεν· ἔπειτα τῶν παραγενομένων εἰς Ῥόδον, ὅτε Λεωκράτης ταῦτ' ἀπήγγελλε· μετὰ δὲ ταῦτα τὴν Φυρκίνου μαρτυρίαν, ὃν καὶ ὑμῶν [ἴσασιν] οἱ πολλοὶ κατηγοροῦντα τούτου ἐν τῷ δήμῳ, ὡς καὶ μεγάλα καὶ βλάβους εἴη τὴν πεντηκοστὴν μετέχων αὐτοῖς[54].

Πρὸ δὲ τοῦ ἀναβαίνειν τοὺς μάρτυρας, βραχέα βούλομαι διαλεχθῆναι ὑμῖν. οὐ γὰρ ἀγνοεῖτε, ὦ ἄνδρες, οὔτε τὰς παρασκευὰς[55] τῶν κρινομένων, οὔτε τὰς δεήσεις τῶν ἐξαιτουμένων[56], ἀλλ' ἀκριβῶς ἐπίστασθε ὅτι χρημάτων ἕνεκα καὶ χάριτος πολλοὶ ἐπείσθησαν τῶν μαρτύρων ἢ ἀμνημονεῖν[57], ἢ μὴ ἐλθεῖν, ἢ ἑτέραν πρόφασιν εὑρεῖν. ἀξιοῦτε οὖν τοὺς μάρτυρας ἀναβαίνειν, μηδὲ ὀκνεῖν, μηδὲ περὶ πλείονος ποιεῖσθαι τὰς χάριτας ὑμῶν[58] καὶ τῆς πόλεως, ἀλλ' ἀποδιδόναι τῇ πατρίδι ταλήθῆ καὶ τὰ δίκαια, μηδὲ λείπειν τὴν τάξιν ταύτην[59] καὶ μιμεῖσθαι Λεωκράτην, ὅς, λαβόντα τὰ ἱερὰ[60] κατὰ τὸν νόμον ἐξομόσασθαι. ἐὰν δὲ μηδέτερον τούτων ποιῶσιν ὑπὲρ ὑμῶν καὶ τῶν νόμων καὶ τῆς δημοκρατίας, κλητεύσωμεν[61] αὐτούς. Λέγε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ἐπειδὴ χρόνος[62] ἐγένετο, καὶ ἀφικνεῖτο Ἀθήνηθεν πλοῖα εἰς τὴν Ῥόδον, καὶ φανερὸν ἦν ὅτι οὐδὲν δεινὸν ἐγεγόνει περὶ τὴν πόλιν, φοβηθεὶς ἐκπλεῖ πάλιν ἐκ τῆς Ῥόδου καὶ ἀφικνεῖται εἰς Μέγαρα· καὶ ὤκει ἐν Μεγάροις πλείω ἢ πέντε ἔτη, προστάτην[63] ἔχων Μεγαρέα, οὐδὲ τὰ ὅρια τῆς χώρας αἰσχυνόμενος, ἀλλ' ἐκ γειτόνων τῆς ἐκθρεψάσης αὐτὸν πατρίδος μετοικῶν. καὶ οὕτως αὐτοῦ κατεγνώκει ἄδοξον φυγήν, ὥστε μεταπεμψάμενος ἐντεῦθεν Ἀμύνταν, τὸν τὴν ἀδελφὴν αὐτοῦ ἔχοντα τὴν πρεσβυτέραν, καὶ τῶν φίλων Ἀντιγένην Ξυπεταιῶνα, καὶ δεηθεὶς τοῦ κηδεστοῦ[64] πρίασθαι παρ' αὐτοῦ τἀνδράποδα καὶ τὴν οἰκίαν ἀποδόσθαι ταλάντου, καὶ ἀπὸ τούτου προσέταξε τοῖς τε χρήταις ἀποδοῦναι τὰ ὀφειλόμενα καὶ τοὺς ἐράνους διενεγκεῖν[65], τὸ δὲ λοιπὸν αὐτῷ ἀποδοῦναι. Διοικήσας δὲ ταῦτα πάντα ὁ Ἀμύντας, αὐτὸς πάλιν ἀποδίδοται τἀνδράποδα πέντε καὶ τριάκοντα μνῶν Τιμοχάρει Ἀχαρνεῖ τῷ τὴν νεωτέραν ἔχοντι τούτου[66]

---

53) Ὁ γραμματεύς. 54) Τὸ χωρίον ἐκρίθη παρὰ πάντων ἐσφαλμένον. Ὁ Κορ. διορθοῖ αὐτὸ οὕτω. « Ὡς καὶ μεγάλου βλάβους αἴτιος εἴη, τῆς πεντηκοστῆς μετέχων αὐτοῖς ». Ἡ ἑτέρα διόρθωσις [ὀλίγον τροποποιουμένη] μοὶ φαίνεται προκριτωτέρα· Ὡς [καὶ] πολλὰ καὶ μεγάλα βεβλαβὼς εἴη τὴν πεντηκοστήν, μετέχων αὐτῆς. Ἡ δὲ πεντηκοστὴ ἦτον δασμός, τὸν ὁποῖον ἐπλήρωναν (ἓν εἰς τὰ 50) τὰ εἰσαγόμενα εἰς τὸν Πειραιᾶ ἐμπορεύματα, ἢ τὸν ὁποῖον ὠνοῦντο (ἐνοικίαζον) παρὰ τοῦ δημοσίου οἱ πεντηκοστολόγοι, ὁποῖος ἦτον ἴσως ὁ Φυρκῖνος οὗτος, ἢ αὐτὸς ὁ Λεωκράτης (ἴδε κατωτέρω). 55) Σκευωρίας, ῥαδιουργίας· δικανικὴ ἡ λέξις. 56) Χάριν ὑπὲρ τοῦ κρινομένου, (Γαλλ.) des soliciteurs. 57) Προφασίζεσθαι ὅτι οὐ μέμνηνται τῶν συμβάντων. 58) Ἡ γενικὴ συγκριτικῶς εἰς τὸ Πλείονος. 59) Τὴν τοῦ μαρτυρεῖν, ὅθεν καὶ ἡ λέξις Δειπομαρτύριον. 60) Τὰ σπλάγχνα τοῦ ἱερείου. 61) Ὁ Κορ. ἔγραψε Κλητεύσομεν· περὶ δὲ τῆς σημασίας τῶν δικανικῶν τούτων λέξεων, ἴδε τὸ Λεξικόν. 62) Πολὺς δηλαδή, ἱκανὸς, καθὼς καὶ τώρα κοινῶς λέγομεν: ἐπέρασε καιρός. 63) Καθὼς εἶχον ὅλοι οἱ Μέτοικοι. 64) Τοῦ Ἀμύντου. 65) Ἐξοφλῆται. 66) Τοῦ Λεωκράτους.

ἀδελφήν· ἀργύριον δὲ οὐκ ἔχων δοῦναι ὁ Τιμοχάρης, συνθήκας ποιησάμενος καὶ θέμενος[48] παρὰ Λυσικλεῖ, μίαν[49] μνᾶν τόκον ἔφερε τῷ Ἀμύντᾳ. Ἵνα δὲ μὴ λόγον οἴησθε εἶναι, ἀλλ' εἰδῆτε τὴν ἀλήθειαν, ἀναγνώσεται[50] καὶ τούτων ὑμῖν τὰς μαρτυρίας. Εἰ μὲν οὖν ζῶν ἐτύγχανεν ὁ Ἀμύντας, ἐκεῖνον αὐτὸν παρειχόμην[50]· νυνὶ δὲ ὑμῖν καλῶ τοὺς συνειδότας. Καί μοι λέγε ταύτην τὴν μαρτυρίαν, ὡς ἐπρίατο παρὰ Λεωκράτους ἐν Μεγάροις τἀνδράποδα Ἀμύντας καὶ τὴν οἰκίαν.

ΜΑΡΤΥΡΙΑ.

Ἀκούσατε δὲ καὶ ὡς ἀπέλαβε τετταράκοντα μνᾶς παρὰ Ἀμύντου Φιλόμηλος Χολαργεὺς καὶ Μενέλαος ὁ πρεσβεύσας πρὸς βασιλέα[51].

ΜΑΡΤΥΡΙΑ.

Λάβε δέ μοι καὶ τὴν[52] Τιμοχάρους τοῦ πριαμένου τἀνδράποδα παρ' Ἀμύντου πέντε καὶ τριάκοντα μνῶν, καὶ τὰς συνθήκας.

ΜΑΡΤΥΡΙΑ. ΣΥΝΘΗΚΑΙ.

Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες· ἄξιον δ' ἐστὶν ἐφ' οἷς μέλλω λέγειν ἀγανακτῆσαι καὶ μισῆσαι τουτονὶ Λεωκράτην· οὐ γὰρ ἐξήρκεσε τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὰ χρήματα μόνον ὑπεκθέσθαι, ἀλλὰ καὶ τὰ ἱερὰ τὰ πατρῷα, ἃ τοῖς ὑμετέροις νομίμοις καὶ πατρῴοις ἔθεσιν οἱ πρόγονοι παρέδοσαν αὐτῷ ἱδρυσάμενοι[53], ταῦτα μετεπέμψατο εἰς Μέγαρα, καὶ ἐξήγαγεν ἐκ τῆς χώρας, οὐδὲ τὴν ἐπωνυμίαν[54] τῶν πατρῴων ἱερῶν φοβηθείς, ὅτι, ἐκ τῆς πατρίδος αὐτὰ κινήσας, συμφεύγειν αὐτῷ, ἐκλείποντα τοὺς νεὼς καὶ τὴν χώραν ἣν κατεῖχον, ἠξίωσε, καὶ ἱδρύσασθαι ἐπὶ ξένης καὶ ἀλλοτρίας, καὶ εἶναι ἀθνεῖα τῇ χώρᾳ καὶ τοῖς νομίμοις τοῖς κατὰ τὴν Μεγαρέων πόλιν εἰθισμένοις. Καὶ οἱ μὲν πατέρες ἡμῶν τὴν Ἀθηνᾶν[55], ὡς τὴν χώραν εἰληχυῖαν[56], ὁμώνυμον αὐτῇ τὴν πατρίδα προσηγόρευον Ἀθήνας, ἵν' οἱ τιμῶντες τὴν θεὸν τὴν ὁμώνυμον αὐτῇ πόλιν μὴ ἐγκαταλίπωσι· Λεωκράτης δὲ, οὔτε νομίμων [οὔτε] πατρῴων, οὔτε ἱερῶν φροντίσας, τὸ καθ' ἑαυτὸν ἐξαγώγιμον[57] ὑμῖν καὶ τὴν παρὰ τῶν θεῶν βοήθειαν ἐποίησε. Καὶ οὐκ ἐξήρκεσεν αὐτῷ τοσαῦτα καὶ τηλικαῦτα τὴν πόλιν ἀδικῆσαι· ἀλλ' οἰκῶν ἐν Μεγάροις, οἷς παρ' ὑμῶν ἐξεκομίσατο χρήμασιν ἀφορμῇ[58] χρώμενος, ἐκ τῆς Ἠπείρου παρὰ Κλεοπάτρας[59] εἰς Λευκάδα ἐστιτήγει, καὶ ἐκεῖθεν εἰς Κόρινθον.

---

48) Παρακαταθέσας, ἢ δι' ὑποθήκης καὶ ἐγγυήσεως ἀσφαλίσας. 49) Ὁ Κοραῆς διέγραψε τὸ Μίαν. 50) Μάρτυρα. 51) Αὐτοί, φαίνεται, ἦσαν οἱ δανεισταὶ τοῦ Λεωκράτους.

52) (ἐνν.) Μαρτυρίαν. 53) Ἑκάστη οἰκογένεια εἶχε τὰ ἀγάλματα τῶν ἰδίων της (παρῴων) θεῶν ἱδρυμένα ἐντὸς τῆς οἰκίας της. 54) Ὅτι ἐκαλοῦντο Πατρῷοι ἢ Πάτριοι, καὶ ἑπομένως ἔπρεπε νὰ μένωσιν εἰς τὴν πατρῴαν οἰκίαν ἢ τὴν πατρίδα. 55) Ὁ Κοραῆς διορθοῦν παρήνει κατὰ δοτικήν, Τῇ Ἀθηνᾷ, εἰληχυίᾳ· ἀλλ' ἠμπορεῖ νὰ ᾖνε καὶ αἰτιατικὴ συντακτικὴ τοῦ Ὡς, κατ' ἀνάλυσιν μετοχῆς ἀπολύτου καὶ κατὰ σχῆμα πρωθύστερον πρὸς ἀποφυγὴν τοῦ κακοζήλου. Ὡς τὴν Ἀθ. τὴν χ. εἰληχ. παράβαλε ἐπὶ πᾶσι καὶ τὴν κατωτέρω (σελ. θ.) φράσιν: Καὶ τὸν δῆμον ὄν... οὕτος ἐθέλετο κτλ. 56) Γνωστὸν ὅτι, κατὰ τὴν μυθολογίαν, ἡ Ἀθ. ἐρίσασα πρὸς τὸν Ποσειδ. περὶ τῆς προστασίας τῶν Ἀθηνῶν, προετιμήθη αὐτοῦ ἀναδείξασα ἐκ τῆς γῆς τὴν ἐλαίαν. 57) Μετεχειρίσθη τὴν περὶ τῶν ἐμπορευμάτων εἰθισμένην λέξιν, ὡς ἂν εἰ ἦσαν, κατὰ τὸν Λεωκράτην, καὶ τὰ ἀγάλματα ἐμπορεύματα.

58) Κεφαλαίῳ, σερμαγέ. 59) Τῆς Φιλίππου μὲν θυγατρὸς, Ἀλεξάνδρου δὲ τοῦ βασιλέως

Καίτοι, ὦ ἄνδρες, καὶ περὶ τούτων οἱ ὑμέτεροι νόμοι τὰς ἐσχάτας τιμωρίας ὁρίζουσιν, ἐάν τις Ἀθηναίων ἄλλοσέ πῃ στιτηγήσῃ ἢ ὡς ὑμᾶς. Ἔπειτα τὸν προδόντα μὲν ἐν τῷ πολέμῳ, στιτηγήσαντα δὲ παρὰ τοὺς νόμους, μὴ φροντίσαντα δὲ μήτε ἱερῶν, μήτε πατρίδος, μήτε νόμων, τοῦτον ἔχοντες ἐν τῇ ὑμετέρᾳ ψήφῳ[60], οὐκ ἀποκτενεῖτε καὶ παράδειγμα τοῖς ἄλλοις ἀνθρώποις ποιήσετε; πάντων ἄρα ἀνθρώπων ῥᾳθυμότατοι ἔσεσθε, καὶ ἥκιστα ἐπὶ τοῖς δεινοῖς ὀργιζόμενοι.

Καὶ ταῦτα δὲ, ὦ ἄνδρες, ἐμοῦ[61] θεωρήσατε, ὡς δικαίαν τὴν ἐξέτασιν ποιουμένου περὶ τούτων. Οὐ γὰρ οἶμαι δεῖν ὑμᾶς ὑπὲρ τηλικούτων ἀδικημάτων εἰκάζοντας, ἀλλὰ τὴν ἀλήθειαν εἰδότας ψηφίζεσθαι, καὶ τοὺς μάρτυρας μὴ δώσοντας[62] ἔλεγχον μαρτυρεῖν, ἀλλὰ δεδωκότας[63]· παρεκαλεσάμην γὰρ αὐτοὺς πρόκλησιν, ὑπὲρ τούτων ἁπάντων γράψας[64], καὶ ἀξιῶν βασανίζειν τοὺς τούτου οἰκέτας. Καίμοι λέγε ταύτην[65].

ΠΡΟΚΛΗΣΙΣ.

Ἀκούετε, ὦ ἄνδρες, τῆς προκλήσεως. Ἅμα τοίνυν ταύτην Λεωκράτης οὐκ ἐδέχετο καὶ κατεμαρτύρει αὐτοῦ ὅτι προδότης τῆς πατρίδος ἐστὶν· ὁ γὰρ τὸν πάντων[66] [τῶν] συνειδότων ἔλεγχον φυγὼν ὡμολόγηκεν ἀληθῆ εἶναι τὰ εἰσηγγελμένα. Τίς γὰρ ὑμῶν οὐκ οἶδεν ὅτι περὶ τῶν ἀμφισβητουμένων πολὺ δοκεῖ δικαιότατον καὶ ὁσιότατον[67] εἶναι, ὅταν οἰκέται ἢ θεράπαιναι συνειδῶσιν ἃ δεῖ, τούτους ἐλέγχειν καὶ βασανίζειν, καὶ τοῖς ἔργοις μᾶλλον ἢ τοῖς λόγοις πιστεύειν, ἄλλως τε καὶ περὶ πραγμάτων κοινῶν καὶ μεγάλων καὶ συμφερόντων τῇ πόλει; Ἐγὼ τοίνυν τοσοῦτον ἀφέστηκα τοῦ ἀδίκως τὴν εἰσαγγελίαν κατὰ Λεωκράτους ποιήσασθαι, ὅσον ἐγὼ μὲν ἐβουλόμην [τοὺς ἰδίους κινδύνους[68]] ἐν τοῖς Λεωκράτους οἰκέταις καὶ θεραπαίναις βασανισθεῖσι τὸν ἔλεγχον γενέσθαι· οὗτοσὶ δὲ, διὰ τὸ συνειδέναι ἑαυτῷ[69], οὐχ ὑπέμεινεν ἀλλ' ἔφυγε. Καί τοι, ὦ ἄνδρες, πολὺ θᾶττον οἱ Λεωκράτους οἰκέται καὶ θεράπαιναι τῶν λεγομένων[70] ἄν τι ἠρνήθησαν, ἢ τὰ μὴ ὄντα τοῦ αὐτῶν δεσπότου κατεψεύσαντο.

Χωρὶς τοίνυν τούτων, Λεωκράτης ἀναβοήσεται αὐτίκα, ὡς ἰδιώτης ὢν καὶ ὑπὸ τῆς τοῦ ῥήτορος καὶ συκοφάντου δεινότητος ἀναρπαζόμενος. Ἐγὼ δὲ ἡγοῦμαι πάντας ὑμᾶς εἰδέναι, ὅτι τῶν μὲν δεινῶν καὶ συκοφαντεῖν ἐπιχειρούντων ἔργον ἐστὶν ἅμα τοῦτο προαιρεῖσθαι καὶ ζητεῖν τὰ χωρία[71] ταῦτα

τῶν Μολοσσῶν γυναικὸς, πρὸς τὴν ὁποίαν καὶ πρέσβεις εἶχον στείλει οἱ Ἀθηναῖοι νὰ τὴν συλλυπηθῶσι διὰ τὸν θάνατον τοῦ ἀνδρός της, καθὼς ἀναφέρει ὁ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφ.

60) Ἐν τῇ διὰ τῆς ψήφου ὑμῶν ἐξουσίᾳ. 61) Τὰ ῥηθησόμενα ὑπ' ἐμοῦ. 62) Μετὰ τὴν μαρτυρίαν. 63) Πρὶν μαρτυρήσουν. 64) Δικανικὴ λέξις, ἴδε τὸ Λεξ. 65) Τὴν πρόκλησιν.

66) Ὁ Κορ. ἐνόμισε περιττὸν τὸ Πάντων· ἀλλὰ δὲν εἶναι, καθὸ ἀναφερόμενον ὄχι μόνον εἰς τοὺς οἰκέτας ἀλλὰ καὶ τοὺς ἄλλους μάρτυρας, οὓς προλαβὼν εἶπε ῥαδιουργεῖσθαι ἵνα μὴ μαρτυρήσωσιν. 67) Παράδοξος δικαιοσύνη καὶ δημοτικότης, νὰ βασανίζωνται οἱ οἰκέται ἵνα καταμαρτυρήσωσι τοῦ ἰδίου αὐτῶν δεσπότου! Ἀλλ' οἱ παλαιοὶ εἶχον ἄλλας ἰδέας περὶ δούλων, καὶ χάρις εἰς τὸν Χριστιανισμὸν, ἀνθρωπίσαντα καὶ κατὰ τοῦτο τὰ ἤθη, ἴδε τὸν Βεκκαρίαν. 68) Διορθ. Τοῖς ἰδίοις κινδύνοις, μὲ ἴδιόν μου κίνδυνον· διότι ἐὰν ἐπηρεῦτο ἢ ἀπέθνησκέ τις τῶν βασανιζομένων, ἡ ζημία ἐλογίζετο εἰς βάρος τοῦ κατηγόρου.

69) Κατὰ μὲν τὸν Ἐξέ. Στέφ., αὐτὸν ἑαυτῷ· κατὰ δὲ τὸν Κορ., τοὺς οἰκέτας ἑαυτῷ.

70) Διορθ. Γενομένων. 71) Τὰς περιστάσεις, τὰ ἐπιχειρήματα.

ἐν οἷς τοὺς παραλογισμοὺς κατὰ τῶν ἀγωνιζομένων ποιήσονται, τῶν δὲ δικαίας[72] τὰς κρίσεις ἐνισταμένων καὶ τοὺς ἐνόχους ταῖς ἀραῖς ἀκριβῶς ἀποδεικνύντων τἀναντία φαίνεσθαι[73] τούτοις ποιοῦντας, ὥσπερ ἡμεῖς· οὕτωσὶ δὲ διαλογίζεσθε περὶ τούτων παρ' ἡμῖν αὐτοῖς· τίνας ἀδύνατον ἦν τῇ δεινότητι καὶ ταῖς παρασκευαῖς ταῖς τοῦ λόγου παραγαγεῖν; [τοὺς οἰκέτας[74]]. Κατὰ φύσιν τοίνυν βασανιζόμενοι, πᾶσαν τὴν ἀλήθειαν περὶ πάντων τῶν ἀδικημάτων ἔμελλον φράσειν οἱ ἱκέται καὶ αἱ θεράπαιναι· ἀλλὰ τούτους ὁ Λεωκράτης παραδοῦναι ἔφυγε, καὶ ταῦτα οὐκ ἀλλοτρίους ἀλλ' αὐτοῦ ὄντας. Τίνας δὲ δυνατὸν εἶναι δοκεῖ τοῖς λόγοις ψυχαγωγῆσαι, καὶ τὴν ὑγρότητα[75] αὐτῶν τοῦ ἤθους τοῖς δακρύοις εἰς ἔλεον προαγαγέσθαι; τοὺς δικαστάς. Ἐνταῦθα Λεωκράτης ὁ προδότης τῆς πατρίδος ἐλήλυθεν, οὐδὲν ἕτερον ἢ φοβούμενος[76] μὴ ἐκ τῆς αὐτῆς οἰκίας οἵ τ' ἐξελέγχοντες τὸ ἔργον καὶ ὁ ἐξελεγχόμενος γέγνηται. Τί γὰρ ἔδει προφάσεων ἢ λόγων ἢ σκήψεως; ἁπλοῦν τὸ δίκαιον, ῥᾴδιον τὸ ἀληθές, βραχὺς ὁ ἔλεγχος. Εἰ μὲν ὁμολογεῖ τὰ ἐν τῇ εἰσαγγελίᾳ ἀληθῆ καὶ ὅσια[77] εἶναι, τί οὐ τῆς ἐκ τῶν νόμων τιμωρίας τυγχάνει; εἰδὲ μή φησι ταῦτα ἀληθῆ εἶναι, τί οὐ παραδέδωκε τοὺς οἰκέτας καὶ τὰς θεραπαίνας; προσήκει γὰρ τὸν ὑπὲρ προδοσίας κινδυνεύοντα καὶ παραδιδόναι καὶ βασανίζειν[78] καὶ μηδένα τῶν ἀκριβεστάτων ἐλέγχων φεύγειν· ἀλλ' οὐδὲν τούτων ἔπραξεν· ἀλλὰ καταμεμαρτυρηκὼς ἑαυτοῦ ὅτι προδότης ἐστὶ τῆς πατρίδος καὶ τῶν ἱερῶν καὶ τῶν νόμων, ἀξιώσει ὑμᾶς ἐναντία ταῖς αὐτοῦ ὁμολογίαις καὶ μαρτυρίαις ψηφίσασθαι. Καὶ πῶς δίκαιόν ἐστι τὸν τὴν ἐξουσίαν τῆς ἀπολογίας αὐτοῦ ἐξ ἁλλων τε πολλῶν καὶ ἐκ τοῦ μὴ δέξασθαι τὰ δίκαια περιῃρημένον, τοῦτον ἐᾶσαι ὑμᾶς αὐτοὺς ὑπὲρ τῶν ὁμολογουμένων ἀδικημάτων ἐξαπατῆσαι;

Περὶ μὲν οὖν τῆς προκλήσεως καὶ τοῦ ἀδικήματος, ὅτι ὁμολογούμενόν ἐστιν, ἱκανῶς ὑμᾶς ἡγοῦμαι ὦ ἄνδρες μεμαθηκέναι· ἐν οἷς δὲ καιροῖς καὶ ἡλίκοις κινδύνοις τὴν πόλιν οὖσαν Λεωκράτης προδέδωκεν, ἀναμνῆσαι ὑμᾶς βούλομαι. Καί μοι λάβε τὸ ψήφισμα, γραμματεῦ, τὸ Ὑπερίδου, καὶ ἀνάγνωσκε.

ΨΗΦΙΣΜΑ.

Ἀκούετε τοῦ ψηφίσματος, ὦ ἄνδρες, ὅτι τὴν βουλὴν τοὺς πεντακοσίους καταβαίνειν εἰς Πειραιᾶ χρηματιοῦσαν περὶ φυλακῆς τοῦ Πειραιέως ἐν τοῖς ὅπλοις[79] ἔδοξε, καὶ πράττειν διεσκευασμένην[80] ὅ,τι ἂν δοκῇ τῷ δήμῳ συμφέρον εἶναι. καίτοι, ὦ ἄνδρες, εἰ οἱ ἀφιέμενοι[81] τοῦ στρατεύεσθαι ἕνεκα τοῦ βουλεύεσθαι ὑπὲρ τῆς πόλεως ἐν τῇ τῶν στρατιωτῶν τάξει διέτριβον, ἆρ' ὑμῖν δοκοῦσι μικροὶ καὶ οἱ τυχόντες φόβοι τότε τὴν πόλιν κατασχεῖν; ἐν οἷς Λεωκράτης οὑτοσὶ καὶ αὐτὸς ἐκ τῆς πόλεως ἀποδρὰς ὤχετο καὶ τὰ χρήματα τὰ ὑπάρχοντα ἐξεκόμισε καὶ ἱερὰ τὰ πατρῷα μετεπέμψατο, καὶ εἰς τοσοῦτον

---

72) Κατὰ τὸν Κορ., δικαίως. 73) Τὸ φαίνεσθαι ἐστιν ἔργον, (ἀπὸ κοινοῦ). 74) Ἔλειπεν ἡ λέξις ἀπὸ τὰ ἀντίγραφα. 75) Τὸ εὔκαμπτον, τὴν ἡμερότητα. 76) Οὐδὲν ἕτ. φοβούμενος ἢ φοβούμενος μὴ κτλ. 77) Δίκαια, εὔορκα. 78) Ὁ Κορ. ἔγραψε· καὶ παραδιδοναι βασανίζειν, καὶ μ. 79) Ἔνοπλον τὴν βουλήν. 80) Διεσκ., ἐν ὅπλοις δηλ. 81) Ὁ Κορ. ἔγραψεν: Ἀφειμένοι.

προδοσίας ἦλθεν ὥστε κατὰ τὴν αὐτοῦ προαίρεσιν ἔρημοι μὲν ἦσαν οἱ νεὼ [τῶν ἱερέων[82]], ἔρημοι δὲ αἱ φυλακαὶ τῶν τειχῶν, ἐξελέλειπτο δὲ ἡ πόλις καὶ ἡ χώρα. Καίτοι κατ' ἐκείνους τοὺς χρόνους, ὦ ἄνδρες, τίς οὐκ ἂν τὴν πόλιν ἠλέησεν, οὐ μόνον πολίτης, ἀλλὰ καὶ ξένος ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐπιδεδημηκώς; τίς ὃ ἦν οὕτως ἀ, μισόδημος τότε γ, μισαθηναῖος, ὅστις ἐσυνήθη ἂν[83] ἄτακτον ἑαυτὸν ὑπομεῖναι ἰδεῖν, νικᾶ ἡ μὲν ἥττα[84] καὶ τὸ γεγονὸς πάθος [τῷ δήμῳ[85]] προσηγγελτο, ὀρθὴ δὲ ἦν ἡ πόλις ἐν[86] τοῖς συμβεβηκόσιν, αἱ δ' ἐλπίδες τῆς σωτηρίας τῷ δήμῳ ἐν τοῖς ὑπὲρ πεντήκοντα ἔτη γεγονόσι καθειστήκεσαν[87], ὁρᾶν δ' ἦν ἐπὶ μὲν τῶν θυρῶν γυναῖκας ἐλευθέρους περιῤῥόβους, κατεπτηχυίας, καὶ πυνθανομένας εἰ ζῶσι, τὰς μὲν ὑπὲρ ἀνδρός, τὰς δ' ὑπὲρ πατρός, τὰς δ' ὑπὲρ ἀδελφῶν, ἀναξίως αὐτῶν καὶ τῆς πόλεως ὁρωμένας[88]· τῶν δὲ ἀνδρῶν τοὺς τοῖς σώμασιν ἀπειρηκότας καὶ τὰς ἡλικίας πρεσβυτέρους καὶ ὑπὸ τῶν νόμων τοῦ στρατεύεσθαι ἀφιεμένους[89] ἰδεῖν ἦν καθ' ὅλην τὴν πόλιν ἐπὶ γήρως ὁδῷ[90] περιῤῥιγρομένους[91], διπλᾶ τὰ ἱμάτια[92] ἐμπεπορπημένους. Πολλῶν δὲ καὶ δεινῶν κατὰ τὴν πόλιν γιγνομένων, καὶ πάντων τῶν πολιτῶν τὰ μέγιστα ἠτυχηκότων, μάλιστ' ἂν τις ἠλγησε καὶ ἐδάκρυσεν ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς, ἡνίκ' ὁρᾶν ἦν τὸν δῆμον ψηφισάμενον τοὺς μὲν δούλους ἐλευθέρους, τοὺς δὲ ξένους Ἀθηναίους, τοὺς δ' ἀτίμους ἐντίμους· ὃς πρῶτον ἐπὶ τῷ αὐτόχθων εἶναι καὶ ἐλεύθερος ἐσεμνύνετο. Τοσαύτη δὲ ἡ πόλις ἐκέχυντο μεταβολῇ, ὥστε πρότερον μὲν ὑπὲρ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας ἀγωνίζεσθαι, ἐν δὲ τοῖς τότε χρόνοις ἀγαπᾶν ἐὰν ὑπὲρ τῆς αὑτῶν σωτηρίας ἀσφαλῶς δύνηται κινδυνεῦσαι· καὶ πρότερον μὲν πολλῆς χώρας τῶν βαρβάρων ἐπάρχειν, τότε δὲ πρὸς Μακεδόνας ὑπὲρ τῆς ἰδίας κινδυνεύειν· καὶ τὸν δῆμον[93] ὃν πρότερον Λακεδαιμόνιοι καὶ Πελοποννήσιοι καὶ οἱ τὴν Ἀσίαν κατοικοῦντες Ἕλληνες βοηθὸν ἐπεκαλοῦντο, οὗτος ἐδεῖτο τῶν ἐξ Ἀνδρου καὶ Κέω καὶ Τροιζῆνος καὶ Ἐπιδαύρου ἐπικουρίαν αὐτῷ μεταπέμψασθαι. Ὥστε, ὦ ἄνδρες, τὸν ἐν τοῖς τοιούτοις φόβοις καὶ τηλικούτοις κινδύνοις καὶ τοσαύτῃ αἰσχύνῃ ἐγκαταλιπόντα τὴν πόλιν, καὶ μήτε ὅπλα θέμενον ὑπὲρ τῆς πατρίδος, μήτε τὸ σῶμα παρασχόντα τάξαι τοῖς στρατηγοῖς, ἀλλὰ φυγόντα καὶ προδόντα τὴν τοῦ δήμου σωτηρίαν, τίς ἂν ἡ δικαστὴς φιλόπολις καὶ εὐσεβεῖν βουλόμενος ψήφῳ ἀπολύσειεν, ἢ ῥήτωρ κληθεὶς τῷ προδότῃ τῆς πόλεως βοηθήσειε, τὸν οὐδὲ συμπενθήσαι τὰς τῆς πατρίδος συμφορὰς τολμήσαντα, οὐδὲ συμβεβλημένον οὐδὲν εἰς τὴν τῆς

---

82) Περιττὴ ἐκρίθη ἡ λέξις ἡ μεταβλητέα εἰς: Τῶν ἱερῶν. 83) Ὁ Κοραῆς διέγραψε τὸ Ἂν ὡς περιττόν. 84) Ἡ ἐν Χαιρωνείᾳ. 85) Εἰς πολλὰ ἀντίγραφα ἐλλείπουσιν αἱ δύω αὗται λέξεις. 86) Ὀρθότερον, Ἐπὶ τοῖς. 87) Διότι οἱ νεώτεροι ταύτης τῆς ἡλικίας εἶχον ὅλοι σχεδὸν ἢ φονευθῇ ἢ αἰχμαλωτισθῇ. 88) Ἐφαίνοντο εἰς τὰς θύρας, ἐνδυμέναι ὄχι καθὼς ἔπρεπεν (ἀξίως ἑαυτῶν καὶ τῆς πολεως, ὅηλ. εὐσχήμως), ἀλλ' ὅπως ἔτυχεν, ἀπὸ τὴν παραζάλην των. Παράβαλε δὲ τὴν ζωηρὰν ταύτην περιγραφὴν μὲ ἄλλην ὁμοιαν τοῦ Δημοσθένους ἐν τῷ περὶ Παραπρεσβ. 89) Καὶ ἐδῶ Ἀφειμένους γράφει ὁ Κορ. 90) Ὁδῷ (μὲ ψιλὴν) ἴσον τῷ Οὐδῷ· ἡ δὲ φράσις ἐκ τοῦ Ὁμήρου Ἰλ. Χ, 60. 91) Περιφερομένας πρὸς ἰδίαν ἑαυτῶν (τῆς ὑγείας των) φθοράν. 92) Ὁ Κορ. διέγραψε τὸ ἄρθρον, ἐκλαμβάνων τὸ Διπλᾶ ἱμάτια ἴσον τῷ Διπλοΐδας, ὁποίας ἐφόρουν οἱ στρατιωτικοί. 93) Ὁρᾶν ἦν τὸν δῆμον ἀπὸ κοινοῦ τοῦ ἀνωτέρω· ἀλλὰ παράβαλε τὴν ἐν σελ. 6. ῥρέσιν· Τὴν Ἀθηναν, ὡς τῆς χώραν εἰληχεῖαν κτλ.

πόλεως καὶ τοῦ δήμου σωτηρίαν; καίτοι κατ' ἐκείνους τοὺς χρόνους οὐκ ἔστιν ἥτις[93] ἡλικία οὐ παρέσχετο ἑαυτὴν εἰς τὴν τῆς πόλεως σωτηρίαν, ὅτε ἡ μὲν χώρα τὰ δένδρα[94] συνεβάλλετο, οἱ δὲ τετελευτηκότες τὰς θήκας[95], οἱ δὲ νεὼ τὰ ὅπλα[96]· ἐπεμελοῦντο γὰρ[97] οἱ μὲν τῆς τῶν τειχῶν κατασκευῆς, οἱ δὲ τῆς τῶν τάφρων, οἱ δὲ τῆς χαρακώσεως· οὐδεὶς δ' ἦν ἀργὸς τῶν ἐν τῇ πόλει· ἐφ' ὧν οὐδενὸς[99] τὸ σῶμα τὸ ἑαυτοῦ παρέσχετο τάξαι Λεωκράτης. Ὧν εἰκὸς ὑμᾶς ἀναμνησθέντας τὸν μηδὲν ξυνενεγκεῖν μηδ' ἐπ' ἐκφορὰν ἐλθεῖν ἀξιώσαντα τῶν ὑπὲρ τῆς ἐλευθερίας καὶ τοῦ δήμου σωτηρίας ἐν Χαιρωνείᾳ τελευτησάντων θανάτῳ ζημιῶσαι, ὡς τὸ ἐπὶ τούτῳ μέρος ἀτάφων ἐκείνων τῶν ἀνδρῶν γεγενημένων, ὧν οὗτος οὐδὲ τὰς θήκας παριὼν ᾐσχύνθη ὀγδόῳ ἔτει[100] τὴν πατρίδα αὐτῶν προσαγορεύων.

Περὶ ὧν[101], ὦ ἄνδρες, μικρῷ πλείω βούλομαι διελθεῖν, καὶ ὑμῶν ἀκοῦσαι δέομαι, καὶ μὴ νομίζειν ἀλλοτρίους εἶναι τοὺς τοιούτους τῶν δημοσίων ἀγώνας· αἱ γὰρ τῶν ἀγαθῶν ἀνδρῶν εὐλογίαι τὸν ἔλεγχον σαφῆ κατὰ τῶν τἀναντία ἐπιτηδευόντων ποιοῦσιν. Ἔτι δὲ καὶ δίκαιον τὸν ἔπαινον[102], ὃς μόνος ἆθλον τῶν κινδύνων τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστί, τοῦτον, ἐπειδὴ κἀκεῖνοι εἰς τὴν κοινὴν σωτηρίαν τῆς πόλεως τὰς ψυχὰς αὑτῶν ἀνάλωσαν, ἐν τοῖς δημοσίοις καὶ κοινοῖς ἀγῶσι τῆς πόλεως μὴ παραλιπεῖν. Ἐκεῖνοι γὰρ τοῖς πολεμίοις ἀπήντησαν ἐπὶ τοῖς ὁρίοις τῆς Βοιωτίας ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας μαχούμενοι, οὐκ ἐπὶ τοῖς τείχεσι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχοντες, οὐδὲ τὴν χώραν κακῶς ποιεῖν προέμενοι τοῖς ἐχθροῖς, ἀλλὰ τὴν μὲν αὐτῶν ἀνδρείαν ἀσφαλεστέραν φυλακὴν εἶναι νομίζοντες τῶν λιθίνων περιβόλων, τὴν δὲ θρέψασαν αὐτοὺς αἰσχυνόμενοι περιορᾶν πορθουμένην, εἰκότως· ὥσπερ γὰρ πρὸς τοὺς φύσει γεννήσαντας καὶ τοὺς ποιητοὺς[103] τῶν πατέρων οὐχ ὁμοίως ἔχουσιν ἅπαντες ταῖς εὐνοίαις, οὕτω καὶ πρὸς τὰς χώρας τὰς μὴ φύσει προσηκούσας ἀλλ' ὕστερον ἐπικτήτους γενομένας καταδεέστερον διάκεινται[104]. Τοιαύταις δὲ γνώμαις χρησάμενοι, καὶ τοῖς ἀρίστοις ἀνδράσιν ἐξ ἴσου τῶν κινδύνων μετασχόντες, οὐχ ὁμοίως τῆς τύχης ἐκοινώνησαν· τῆς γὰρ ἀρετῆς οὐ ζῶντες ἀπολαύουσιν, ἀλλὰ τελευτήσαντες τὴν δόξαν[105] ἐγκαταλελοίπασιν, οὐχ ἡττηθέντες, ἀλλ' ἀποθανόντες ἔνθα παρετάχθησαν ὑπὲρ τῆς ἐλευθερίας ἀμύνοντες. Εἰ δὲ δεῖ καὶ παραδοξότατον μὲν εἰπεῖν, ἀληθὲς δὲ, ἐκεῖνοι νικῶντες ἀπέθανον. Τὰ γὰρ ἆθλα τοῦ πολέμου τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστὶν ἐλευθερία καὶ ἀρετή· ταῦτα γὰρ[106] ἀμφότερα τοῖς τελευτήσασιν ὑπάρχει. Ἔπειτα δὲ οὐδ' οἷόν τ' ἐστὶν εἰπεῖν ἥττης αἰτίους[107] τοὺς ταῖς διανοίαις μὴ πτήξαντας τὸν τῶν ἐπιόντων φόβον. Μόνους γὰρ τοὺς ἐν τοῖς πολέμοις καλῶς ἀποθνήσκοντας οὐδ' ἂν εἷς ἡττῆσθαι δι-

---

92) Οὐκ ἔστι τις ἡλικία, ἣ οὐ παρέσχ. 93) Ἐξ ἀνάγκης ἔκοψαν, φαίνεται, καὶ αὐτὰ τὰ παρὰ τὰς Ἀθήνας δένδρα διὰ χαρακώματα. 94) Μετεχειρίσθησαν καὶ τὰς λάρνακας καὶ πλάκας τῶν μνημάτων πρὸς ὀχύρωσιν τῶν τειχῶν. 97) Τὰ ἐν αὐτοῖς ἀνατεθειμένα ὡς τρόπαια. 98) Αἰτιολογεῖ τὸ πᾶσαν ἡλικίαν συνδραμεῖν πρὸς σωτηρίαν τῆς πόλ. 99) Ἐπ' οὐδενὸς τούτων, ὧν εἴρηκα. 100) (Ἐπὶ) ὀγδ. ἔτει, μετὰ 8 ἔτη. 101) Τῶν ἐν Χαιρωνείᾳ τελευτησάντων. 102) Μὴ παραλιπεῖν τὸν ἔπαινον. 103) Τοὺς θετοὺς γονεῖς. 104) Ὀλιγώτερον τὰς ἀγαπῶν. 105) Τὴν τῆς ἀρετῆς αὐτῶν. 106) Κυρίως πρέπει νὰ ᾖνε Δί. 107) Ὑπαιτίους, ἡττηθέντας.

καίως φήσειε· τὴν γὰρ δουλείαν φεύγοντες, εὐκλεᾶ θάνατον αἱροῦνται. Ἐδήλωσε δὲ ἡ τούτων τῶν ἀνδρῶν ἀρετὴ· μόνοι γὰρ τῶν ἁπάντων τὴν τῆς Ἑλλάδος ἐλευθερίαν ἐν τοῖς ἑαυτῶν σώμασιν εἶχον. Ἅμα γὰρ οὗτοί τε τὸν βίον μετήλλαξαν, καὶ τὰ τῆς Ἑλλάδος εἰς δουλείαν μετέπεσε· συνετάφη γὰρ τοῖς τούτων σώμασιν ἡ τῶν ἄλλων Ἑλλήνων ἐλευθερία. Ὅθεν καὶ φανερὸν πᾶσιν ἐποίησαν οὐκ ἰδίᾳ πολεμοῦντες, ἀλλ' ὑπὲρ κοινῆς ἐλευθερίας προκινδυνεύοντες. Ὥστε, ὦ ἄνδρες, οὐκ [ἂν] αἰσχυνθείην εἰπὼν σέφανον τῆς πατρίδος εἶναι τὰς ἐκείνων ψυχάς. Καὶ δι' ἃ[108] οὐκ ἀλόγως ἐπετήδευον, ἐπίστασθε, ὦ Ἀθηναῖοι, μόνοι τῶν Ἑλλήνων τοὺς ἀγαθοὺς ἄνδρας τιμᾶν· εὑρήσετε δὲ παρὰ μὲν τοῖς ἄλλοις ἐν ταῖς ἀγοραῖς ἀθλητὰς ἀνακειμένους, παρ' ὑμῖν δὲ στρατηγοὺς ἀγαθοὺς καὶ (τοὺς)[109] τὸν τύραννον ἀποκτείναντας· καὶ τοιούτους μὲν ἄνδρας οὐδ' ἐξ ἁπάσης τῆς Ἑλλάδος ὀλίγους εὑρεῖν ῥᾴδιον, τοὺς δὲ τοὺς σεφανίτας ἀγῶνας νενικηκότας εὐπετῶς πολλαχόθεν ἐστὶ γεγονότας ἰδεῖν. Ὥσπερ τοίνυν τοῖς εὐεργέταις μεγίστας τιμὰς ἀπονέμετε, οὕτω δίκαιον καὶ τοὺς τὴν πατρίδα καταισχύνοντας καὶ προδιδόντας ταῖς ἐσχάταις τιμωρίαις κολάζειν.

Σκέψασθε δὲ, ὦ ἄνδρες, ὅτι οὐδ' ἐν[110] ὑμῖν ἐστιν ἀποψηφίσασθαι Λεωκράτους τουτουί τὰ δίκαια ποιοῦσι. Τὸ γὰρ ἀδίκημα τοῦτο κεκριμένον ἐστὶ καὶ κατεγνωσμένον. Ἡ μὲν γὰρ ἐν Ἀρείῳ πάγῳ βουλὴ (καὶ μηδείς μοι θορυβήσῃ[111]· ταύτην γὰρ ὑπολαμβάνω μεγίστην τότε γενέσθαι τῇ πόλει σωτηρίαν) τοὺς φυγόντας τὴν πατρίδα καὶ ἐγκαταλιπόντας τότε ὡς πολεμίους[112] λαβοῦσα ἀπέκτεινε. Καίτοι, ὦ ἄνδρες, μὴ νομίζετε τοὺς τὰ τῶν ἄλλων φονικὰ ἀδικήματα ὁσιώτατα δικάζοντας, αὐτοὺς ἂν εἴς τινα τῶν πολιτῶν τοιοῦτόν τι παρανομῆσαι. Ἀλλὰ μὴν Αὐτολύκου[113]· μὲν ὑμεῖς κατεψηφίσασθε, μείναντος μὲν αὐτοῦ ἐν τοῖς κινδύνοις, ἔχοντος δ' αἰτίαν τοὺς υἱεῖς καὶ τὴν γυναῖκα ὑπεκθέσθαι, καὶ ἐτιμωρήσασθε. Καίτοι εἰ τὸν τοὺς ἀχρήστους εἰς τὸν πόλεμον ὑπεκθέσθαι αἰτίαν ἔχοντα ἐτιμωρήσασθε, τί δεῖ πάσχειν ὅστις[114] ἀνὴρ ὢν οὐκ ἀπέδωκε τὰ τροφεῖα τῇ πατρίδι; ἔτι δὲ ὁ δῆμος, δεινὸν ἡγησάμενος εἶναι τὸ γιγνόμενον[115], ἐψηφίσατο ἐνόχους εἶναι τῇ προδοσίᾳ τοὺς φεύγοντας τὸν ὑπὲρ τῆς πατρίδος κίνδυνον, ἀξίους εἶναι νομίζων τῆς ἐσχάτης τιμωρίας. Ἃ δὴ[115] κατέγνωσται μὲν παρὰ τῷ δικαιοτάτῳ συνεδρίῳ, κατεψήφισται δὲ ὑφ' ὑμῶν τῶν δικάζειν λαχόντων, ὁμολογεῖται δὲ παρὰ τῷ δήμῳ τῆς μεγίστης ἄξια εἶναι τιμωρίας, τούτοις ὑμεῖς ἐναντία ψηφιεῖσθε; πάντων ἂρ' ἀνθρώπων ἔσεσθε ἀγνωμονέστατοι[116], καὶ ἐλαχίστους ἕξετε τοὺς ὑπὲρ ὑμῶν αὐτῶν κινδυνεύοντας.

Ὡς μὲν οὖν ἔνοχός ἐστι τοῖς εἰσηγγελμένοις ἅπασιν, ὦ ἄνδρες, Λεωκράτης, φανερόν ἐστι· πυνθάνομαι δὲ αὐτὸν ἐπιχειρήσειν ὑμᾶς ἐξαπατᾶν λέγοντα ὡς ἔμπορος[117] ἐξέπλευσε, καὶ κατὰ ταύτην τὴν ἐργασίαν ἀπεδήμη-

---

108) Ἐσφαλμένον ἐκρίθη τὸ χωρίον, ἃ διωρθώθη ἥμαλλον διεγράφη πολλαχῶς· Ὁ Κορ. διορθοῦν παρήγνει· Καὶ νὴ Δία οὐκ ἀλόγως ταῦτα ἐπετ. ἐπίσασθε γὰρ κτλ. 109) Ἐν ἄλλοις ἐλλείπει τὸ Τούς. 110) Ἐγράφετο πρὶν ἐσφαλμένως· Οὐδὲν ὑμῖν. 111) Ὡς ἀναφέροντι πάλιν τὴν ἐν Ἀρ. πάγῳ Βουλήν· φορτικὸν γὰρ ἐνομίζετο τοῦτο τοῖς δημοκρατικοῖς, ὡς ὀλιγαρχικῆς οὔσης τῆς Βουλῆς. 112) Κατὰ διορθωσιν ἀντὶ: Τοῖς πολεμίοις. 113) Τοῦ Ἀρεοπαγίτου, ὃν αὐτὸς οὗτος ὁ Λυκοῦργος εἶχε κατηγορήσῃ. 114) Τοῦτον ὅστις. 115) Τὴν φυγὴν δηλονότι τῶν πολιτῶν. 116) Συμπροσωματικός. 117) Ἀνοητότεροι. 117) Δι' ἐμπορίων.

στεν εἰς Ῥόδον. Ἐὰν οὖν ταῦτα λέγῃ, ἐνθυμεῖσθε ᾧ ῥᾳδίως λήψεσθε αὐτὸν ψευδόμενον. Πρῶτον μὲν γὰρ οὐκ ἐκ τῆς ἀκτῆς κατὰ τὴν πυλίδα ἐμβαίνουσιν[117] οἱ κατ' ἐμπορίαν πλέοντες, ἀλλ' ἐκ τοῦ λιμένος, ὑπὸ πάντων τῶν φίλων ὁρώμενοι καὶ ἀποστελλόμενοι· ἔπειτα οὐ μετὰ τῆς ἑταίρας καὶ τῶν θεραπαινῶν, ἀλλὰ μόνος[118] μετὰ παιδὸς τοῦ διακονοῦντος. Πρὸς δὲ [τούτοις] τί προσῆκεν ἐν Μεγάροις τὸν Ἀθηναῖον ὡς ἔμπορον πέντε ἔτη κατοικεῖν, καὶ τὰ ἱερὰ τὰ πάτρια μετακομίζεσθαι, καὶ τὴν οἰκίαν τὴν ἐνθάδε πωλεῖν, εἰ μὴ κατεγνώκει τε[119] αὐτοῦ προδεδωκέναι τὴν πατρίδα καὶ μεγάλα πάντας ἠδικηκέναι; ὃ καὶ πάντων γένοιτ' ἂν ἀτοπώτατον, εἰ περὶ ὧν αὐτὸς προσεδόκα τεύξεσθαι τιμωρίας, ταῦθ' ὑμεῖς ἀπολύσετε κύριοι γενόμενοι τῆς ψήφου. Χωρὶς δὲ τούτων, οὐχ ἡγοῦμαι δεῖν ἀποδέχεσθαι ταύτην τὴν ἀπολογίαν. Πῶς γὰρ οὐ δεινὸν τοὺς μὲν ἐπὶ ἐμπορίᾳ ἀποδημοῦντας σπεύδειν ἐπὶ τὴν τῆς πόλεως βοηθειαν, τοῦτον δὲ μόνον ἐν τοῖς τότε καιροῖς [καὶ[121]] κατ' ἐργασίαν ἐκπλεῖν, ἡνίκα οὐδ' ἂν εἷς προσκτήσασθαι οὐδὲν ἂν ἐζήτησεν, ἀλλὰ τὰ ὑπάρχοντα μόνον διαφυλάξαι; ἡδέως δ' ἂν αὐτοῦ πυθοίμην, τίνα ἐμπορίαν εἰσάγων χρησιμώτερος ἐγένετο ἂν τῇ πόλει τοῦ παρασχεῖν τὸ σῶμα τάξαι τοῖς στρατηγοῖς, καὶ τοὺς ἐπιόντας ἀμύνασθαι μεθ' ὑμῶν μαχόμενος; ἐγὼ μὲν οὐδεμίαν ὁρῶ τηλικαύτην οὖσαν βοήθειαν. Ἄξιον δέ ἐστιν οὐ μόνον αὐτῷ διὰ τὴν πρᾶξιν ὀργίζεσθαι ταύτην, ἀλλὰ καὶ διὰ τὸν λόγον τοῦτον· φανερῶς γὰρ ψεύδεσθαι τετόλμηκεν. Οὔτε γὰρ πρότερον οὐδεπώποτε ἐγένετο ἐπὶ ταύτῃ τῇ ἐργασίᾳ[122], ἀλλ' ἐκέκτητο χαλκοτύπους[123], οὔτε τότε ἐκπλεύσας οὐδὲν εἰσήγαγεν ἐκ Μεγάρων, ἓξ ἔτη συνεχῶς ἀποδημήσας. Ἔτι δὲ καὶ τῆς πεντηκοστῆς μετέχων[124] ἐτύγχανεν, ἣν οὐκ ἂν καταλιπὼν κατ' ἐμπορίαν ἀπεδήμει. Ὡς, ἂν μέν τι περὶ τούτων λέγῃ, οὐδ' ὑμᾶς ἐπιτρέψειν αὐτῷ νομίζω.

Ἥξει δ' ἴσως ἐπ' ἐκεῖνον[125] τὸν λόγον φερόμενος, ὃν αὐτῷ συμβεβουλεύκασί τινες τῶν συνηγόρων, ὡς οὐκ ἔνοχός ἐστι τῇ προδοσίᾳ· οὔτε γὰρ νεωρίων κύριος[126], οὔτε πυλῶν, οὔτε στρατοπέδων, οὔθ' ὅλως τῶν τῆς πόλεως οὐδενός. Ἐγὼ δ' ἡγοῦμαι τοὺς μὲν τούτων κυρίους μέρος ἄν τι προδοῦναι τῆς ὑμετέρας δυνάμεως, τοῦτον δ' ὅλην ἑκάστου ποιῆσαι τὴν πόλιν. Ἔτι δ' οἱ μὲν τοὺς ζῶντας μόνον ἀδικοῦσι προδιδόντες, οὗτος δὲ καὶ τοὺς τετελευτηκότας καὶ τὰ ἐν τῇ χώρᾳ ἱερὰ τῶν πατρῴων νομίμων ἀποστερῶν. Καὶ ὑπὸ μὲν ἐκείνων προδοθεῖσαν οἰκεῖσθαι ἂν συνέβαινε δούλην οὖσαν τὴν πόλιν, ὃν δὲ τρόπον οὗτος ἐξέλιπεν, ἀοίκητον ἂν γενέσθαι. Ἔτι δὲ ἐκ μὲν τοῦ κακῶς πράττειν τὰς πόλεις μεταβολῆς τυχεῖν ἐπὶ τὸ βέλτιον εἰκός[127] ἐστιν, ἐκ δὲ τοῦ παντάπασι γενέσθαι ἀνάστατον, καὶ τῶν κοινῶν ἐλπίδων στερηθῆναι[128]. Ὥσπερ γὰρ ἀνθρώπῳ ζῶντι μὲν ἐλπὶς[129] ἐκ τοῦ κακῶς πρᾶξαι μεταπεσεῖν[130], τελευτήσαντι δὲ συναναιρεῖται πάντα δι' ὧν ἄν τις εὐδαιμονήσειεν,

---

117) Ὁ Κορ. ἐπροτίμησε τὸ Ἐκβαίνουσιν. 118) Ἐνέδη ἂν ἡ αὐτὸς 119) Ἐν ἄλλοις λείπει τὸ Τούτοις. 120) Ὁ Κορ. ἔγραψε Γε. 121) Περιττὸς ὁ Καί. 122) Τῆς ἀπὸ τοῦ ἐμπορίου. 123) Χαλκεῖς, ἐργοστάσιον χαλκέων, καθὼς καὶ ὁ Δημοσθένης εἶχε μαχαιροποιούς. 124) Ἴδε ἀνωτέρω σημ. 38. 125) Τὸν ἐξῆς, ὅτι οὐκ ἔνοχος κτλ. 126) (Ἐνν.) Ἦν. 127) Ἐνδεχόμενον. 128) Εἰκὸς ἐστιν, (ἀπὸ κοινοῦ). 129) Ἐστὶν. 130) Μεταβολὴν εὑρεῖν ἐπὶ τὸ βέλτιον, ἀπὸ μεταφορᾶς τῶν ἄλλοτε ἄλλως πιπτόντων (μεταπιπτόντων) κύβων.

οὕτω καὶ περὶ τὰς πόλεις συμβαίνει πέρας ἔχειν τὴν ἀτυχίαν[151] ὅταν ἀνάστατοι γένωνται. Εἰ γὰρ δεῖ τὴν ἀλήθειαν εἰπεῖν, πόλεώς ἐστι θάνατος ἀνάστατον γενέσθαι. Τεκμήριον δὲ μέγιστον· ἡμῶν γὰρ ἡ πόλις τὸ μὲν παλαιὸν ὑπὸ τῶν τυράννων[152] κατεδουλώθη, τὸ δ' ὕστερον ὑπὸ τῶν τριάκοντα καὶ ὑπὸ Λακεδαιμονίων τὰ τείχη καθηρέθη καὶ ἐκ τούτων ὅμως ἀμφοτέρων ἠλευθερώθημεν, καὶ τῆς τῶν Ἑλλήνων εὐδαιμονίας ἠξιώθημεν προστάται γενέσθαι· ἀλλ' οὐχ[153] ὅσαι πώποτ' ἀνάστατοι γεγόνασι. τοῦτο μὲν[154] γὰρ, εἰ καὶ παλαιότερον εἰπεῖν ἐστι, τὴν Τροίαν τίς οὐκ ἀκήκοεν, ὅτι μεγίστη γεγενημένη τῶν τότε πόλεων καὶ πάσης ἐπάρξασα τῆς Ἀσίας, ὡς ἅπαξ ὑπὸ τῶν Ἑλλήνων κατεσκάφη, τὸν αἰῶνα[155] ἀοίκητός ἐστι; τοῦτο δὲ, Μεσσήνην πεντακοσίοις[156] ἔτεσιν ὕστερον ἐκ τῶν τυχόντων ἀνθρώπων συνοικισθεῖσαν;

Ἴσως οὖν τῶν συνηγόρων αὐτῷ τολμήσει τις εἰπεῖν, μικρὸν τὸ πρᾶγμα ποιῶν, ὡς οὐδὲν ἂν παρ' ἕνα ἄνθρωπον ἐγένετο τούτων· καὶ οὐκ αἰσχύνονται τοιαύτην ἀπολογίαν ποιούμενοι πρὸς ὑμᾶς, ἐφ' ᾗ δικαίως ἂν ἀπολάνοιεν. Εἰ μὲν γὰρ ὁμολογοῦσι τὴν πατρίδα αὐτὸν ἐκλιπεῖν, τοῦτο συγχωρήσαντες, ὑμᾶς ἐάτωσαν διαγνῶναι περὶ τοῦ μεγέθους[157]· εἰ δ' ὅλως μηδὲν τούτων πεποίηκεν, οὐ μανία δήπου τοῦτο[158] λέγειν ὡς οὐδὲν ἂν γένηται[159] παρὰ τοῦτον[160]; ἡγοῦμαι δ' ἔγωγε, ὦ ἄνδρες, τοὐναντίον τούτοις, παρὰ τοῦτον εἶναι τῇ πόλει τὴν σωτηρίαν. ἡ γὰρ πόλις οἰκεῖται κατὰ τὴν ἰδίαν ἑκάστου[161] μοῖραν φυλαττομένη· ὅταν οὖν ταύτην ἐφ' ἑνός τις παρίδῃ, λέληθεν ἑαυτὸν ἐφ' ἁπάντων τοῦτο πεποιηκώς. Καί τοι ῥᾴδιον ἐστιν, ὦ ἄνδρες, πρὸς τὰς τῶν ἀρχαίων νομοθετῶν διανοίας ἀποβλέψαντας τὴν ἀλήθειαν εὑρεῖν. Ἐκεῖνοι γὰρ οὐ τῷ μὲν ἑκατὸν τάλαντα κλέψαντι θάνατον ἔταξαν, τῷ δὲ δέκα δραχμὰς ἔλαττον ἐπιτίμιον· οὐδὲ τὸν μὲν μεγάλα ἱεροσυλήσαντα ἀπέκτειναν, τὸν δὲ μικρὰ ἐλάττονι τιμωρίᾳ ἐκόλαζον· οὐδὲ τὸν μὲν οἰκέτην ἀποκτείναντα ἀργυρίῳ ἐζημίουν, τὸν δὲ ἐλεύθερον εἴργον τῶν νομίμων[162]· ἀλλ' ὁμοίως ἐπὶ πᾶσι καὶ τοῖς ἐλαχίστοις παρανομήμασι θάνατον ὥρισαν εἶναι τὴν ζημίαν[163]. Οὐ γὰρ πρὸς τὸ ἴδιον ἕκαστος αὐτῶν ἀπέβλεπε τοῦ γεγενημένου πράγματος, οὐδ' ἐντεῦθεν τὸ μέγεθος τῶν ἁμαρτημάτων ἐλάμβανον· ἀλλ' αὐτὸ ἐσκόπουν τοῦτο, εἰ πέφυκε τὸ ἀδίκημα τοῦτο ἐπὶ πλεῖον ἐλθὸν μέγα βλάπτειν τοὺς ἀνθρώπους· καὶ γὰρ ἄτοπον ἄλλως πως περὶ τούτου ἐξετάζειν. Φέρε γάρ, ὦ ἄνδρες, εἴ τις ἕνα νόμον εἰς τὸ Μητρῷον[164] ἐλθὼν ἐξαλείψειεν, εἶτ' ἀπολογοῖτο ὡς οὐδὲν παρὰ τοῦτον[165] τῇ πόλει ἐστὶν, ἅ-

---

151) Ἐν ἄλλοις Εὐτυχίαν. 152) Τῶν Πεισιστρατιδῶν. 153) (ἐνν.) Ὁμοίως ἔπραξαν.
154) Ἀφ' ἑνὸς μέν. 155) (Εἰς) τὸν αἰῶνα (τὸν ἅπαντα). 156) Ἡ Μεσσήνη ἀνεστατώθη τὸ πρῶτον ὑπὸ Λακεδαιμονίων τῷ 740: π. Χ. μετὰ εἰκοσαετῆ πόλεμον· αὖθις δὲ ἐπαναστᾶσα τῷ 680: διὰ τοῦ Ἀριστομένους· ᾗ τέλος τῷ 467: ὅτε ἐκλείσθησαν εἰς τὴν Ἰθώμην. Περὶ δὲ τὰ 370: συνῴκισεν αὐτὴν αὖθις ὁ Ἐπαμινώνδας· ὥστε ἀπὸ τῆς πρώτης ἀναστατώσεως μέχρι τῆς ἐποχῆς τοῦ ῥήτορος παρῆλθον 400 περίπου, ὅσα τῷ ὄντι λέγει καὶ ὁ Δείναρχος, καὶ ὄχι 800 ἔτη (ἴδε Διοδ. Σικ. 15', ξς'.). 157) Τοῦ ἐγκλήματος. 158) Ἐν ἄλλοις Τούτων. 159) Ὀρθότ. Ἐγένετο. 160) Ἐν ἄλλοις Τοῦτο. 161) Ἐν ἄλλοις· Ἑκάστων. 162) Κατὰ διόρθ. ἀντὶ Νόμων. Τὸ δὲ Εἴργειν τῶν νομίμων, ἀτιμάζειν ἐστὶν ἢ, καθὼς λέγουν τῶρα, στέρησις τῶν πολιτικῶν δικαιωμάτων. 163) Τοιαύτη ἦτον ἡ νομοθεσία τοῦ Δράκοντος, καὶ διὰ τοῦτο ἔλεγον περὶ αὐτοῦ ὅτι ἔγραψε τοὺς νόμους μὲ αἷμα.
164) Τὸ ἱερὸν τῆς Κυβέλης ἐν Ἀθήναις, χρησιμεῦον ὡς ἀρχειοφυλάκιον.
165) Τὸν ἐξαλειφθέντα νόμον.

ρ' οὐκ ἂν ἀπεκτείνατ' αὐτόν; ἐγὼ μὲν οἶμαι δικαίως, εἴπερ ἐμέλλετε καὶ τοὺς ἄλλους[146] σώζειν. Τὸν αὐτὸν τοίνυν τρόπον κολαστέον ἐστὶ τοῦτον, εἰ μέλλετε τοὺς ἄλλους πολίτας βελτίους ποιήσειν· καὶ οὐ τοῦτο λογιεῖσθε, εἰ εἷς ἐστι μόνος ὁ ἄνθρωπος, ἀλλ' εἰς τὸ πρᾶγμα[147]. Ἐγὼ μὲν γὰρ ἡγοῦμαι τὸ μὴ πολλοὺς τοιούτους γενέσθαι ἡμέτερον εὐτύχημα εἶναι, τοῦτον μέντοι διὰ τοῦτο μείζονος τιμωρίας ἄξιον εἶναι τυγχεῖν, ὅτι μόνος τῶν ἄλλων πολιτῶν οὐ κοινὴν ἀλλ' ἰδίαν τὴν σωτηρίαν ἐζήτησεν.

Ἀγανακτῶ δὲ μάλιστα, ὦ ἄνδρες, ἐπειδὰν ἀκούσω τῶν μετὰ τούτου τινὸς λέγοντος, ὡς οὐκ ἔστι τοῦτο προϊδόναι[148] εἴ τις ᾤχετο ἐκ τῆς πόλεως· καὶ γὰρ οἱ πρόγονοι ποθ' ἡμῶν τὴν πόλιν καταλιπόντες, ὅτε πρὸς Ξέρξην ἐπολέμουν, εἰς Σαλαμῖνα διέβησαν. Καὶ οὕτως ἐστὶν ἀνόητος καὶ παντάπασιν ὑμῶν καταπεφρονηκώς, ὥστε τὸ κάλλιστον τῶν ἔργων πρὸς τὸ αἴσχιστον συμβαλεῖν ἠξίωσε. Ποῦ γὰρ οὐ περιβόητος ἐκείνων τῶν ἀνδρῶν ἡ ἀρετὴ γέγονε; τίς δ' οὕτως ἢ φθονερός ἐστιν ἢ παντάπασιν ἀφιλότιμος, ὃς οὐκ ἂν εὔξαιτο τῶν ἐκείνοις πεπραγμένων μετασχεῖν; οὐ γὰρ τὴν πόλιν ἐξέλιπον, ἀλλὰ τὸν τόπον μετήλλαξαν, πρὸς τὸν ἐπιόντα κίνδυνον καλῶς βουλευσάμενοι. Ἐτεόνικος[149] μὲν γὰρ ὁ Λακεδαιμόνιος καὶ Ἀδείμαντος ὁ Κορίνθιος καὶ τὸ Αἰγινητῶν ναυτικὸν ὑπὸ νύκτα τὴν σωτηρίαν αὐτοῖς ἔμελλον πορίζεσθαι· ἐγκαταλιπόμενοι δὲ οἱ πρόγονοι ὑπὸ πάντων τῶν Ἑλλήνων, βίᾳ καὶ τοὺς ἄλλους ἠλευθέρωσαν, ἀναγκάσαντες ἐν Σαλαμῖνι μετ' αὐτῶν πρὸς τοὺς βαρβάρους ναυμαχεῖν. Μόνοι δὲ ἀμφοτέρων περιγεγόνασι, καὶ τῶν πολεμίων καὶ τῶν συμμάχων, ὡς ἑκατέρων[150] προσῆκε, τοὺς μὲν εὐεργετοῦντες, τοὺς δὲ μαχόμενοι νικῶντες. Ἄραγε ὅμοιον τῷ φεύγοντι τὴν πατρίδα τεττάρων ἡμερῶν πλοῦν εἰς Ῥόδον; ἢ που ταχέως[151] ἂν ἡνέσχετό τις ἐκείνων τῶν ἀνδρῶν τοιοῦτον ἔργον, ἀλλ' οὐκ ἂν κατέλευσαν τὸν καταισχύνοντα τὴν αὐτῶν ἀριστείαν. Οὕτω γοῦν ἐφίλουν τὴν πατρίδα πάντες, ὥστε τὸν παρὰ Ξέρξου πρεσβευτὴν Ἀλέξανδρον[152], φίλον ὄντα αὐτοῖς πρότερον, ὅτι γῆν καὶ ὕδωρ[153] ᾔτησε, μικροῦ δεῖν κατέλευσαν. Ὅπου δὲ καὶ τοῦ λόγου τιμωρίαν ἠξίουν λαμβάνειν, ἢ που τὸν ἔργῳ παραδόντα τὴν πόλιν ὑποχείριον τοῖς πολεμίοις οὐ μεγάλαις ἂν ζημίαις ἐκόλασαν; Τοιγαροῦν τοιαύταις χρώμενοι γνώμαις, ἐννενήκοντα μὲν ἔτη τῶν Ἑλλήνων ἡγεμόνες κατέστησαν, Φοινίκην δὲ καὶ Κιλικίαν ἐπόρθησαν, ἐπ' Εὐρυμέδοντι δὲ καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες ἐνίκησαν, ἑκατὸν[154] δὲ τριήρεις τῶν βαρβάρων αἰχμαλώτους ἔλαβον, ἅπασαν δὲ τὴν Ἀσίαν κακῶς ποιοῦντες περιέπλευσαν[155]· καὶ τὸ κεφάλαιον τῆς νίκης[156], οὐ τὸ ἐν Σαλαμῖνι τρόπαιον ἀγαπήσαντες ἔστησαν, ἀλλ' ὅρους τοῖς βαρβάροις πήξαντες

---

146) Νόμους. 147) Ἄλλη γραφή· Ἀλλ' εἰ τὸ πρᾶγμα. 148) Τὸ οἴχεσθαί τινα ἐκ τῆς π., ἐπιφερόμενον ἀναλελυμένως. 149) Εὐρυβιάδης μὲν οὖν· ὁ δὲ Ἐτεόνικος ἀναιρεῖ τῶν Λακεδαιμονίων ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου (Ξενοφ. Ἑλλ. α, 6.) 150) Περιγενέσθαι. 151) Ἐρωτ. ἀντὶ οὐδέποτε, οὐδόλως. 152) Βασιλέα τῆς Μακεδονίας (ἴδε τὸν Ἡροδ. Η', 137—143). 153) Συμβολικὸς τρόπος τοῦ λέγειν, ἐννοεῖ δὲ πλήρη ὑποταγήν. 154) Ὁ Θουκυδ. (α', 100) λέγει διακοσίας, λογαριάζων καὶ τὰς διασωθείσας. 155) Ἴσως Παρέπλευσαν· διότι ἡ Ἀσία δὲν περιπλέεται. 156) (ἐνν.) Ἐχὶν ὅτι.

τοὺς εἰς τὴν ἐλευθερίαν τῆς Ἑλλάδος[157], καὶ τούτους κωλύσαντες ὑπερβαίνειν, συνθήκας ἐποιήσαντο, μακρῷ μὲν πλοίῳ[158] μὴ πλεῖν ἐντὸς Κυανέων καὶ Φασήλιδος[159], τοὺς δ' Ἕλληνας αὐτονόμους εἶναι, μὴ μόνον τοὺς τὴν Εὐρώπην ἀλλὰ καὶ τοὺς τὴν Ἀσίαν κατοικοῦντας. Καίτοι οἴεσθε ἄν, εἰ τῇ Λεωκράτους διανοίᾳ χρησάμενοι πάντες ἔφυγον, τούτων ἂν τι γενέσθαι τῶν καλῶν ἔργων, ἢ ταύτην ἂν ἔτι τὴν χώραν κατοικεῖν ὑμᾶς; χρὴ τοίνυν, ὦ ἄνδρες, ὥσπερ τοὺς ἀγαθοὺς ἐπαινεῖτε καὶ τιμᾶτε, οὕτω καὶ τοὺς κακοὺς μισεῖν τε καὶ κολάζειν, ἄλλως τε καὶ Λεωκράτην, ὃς οὔτε ἔδεισεν οὔτε ἠσχύνθη ὑμᾶς.

Καίτοι ὑμεῖς τίνα τρόπον νενομίκατε περὶ τούτων, καὶ πῶς ἔχετε ταῖς διανοίαις, θεωρήσατε· ἄξιον γὰρ ὅμως, καίπερ πρὸς εἰδότας, διελθεῖν· ἐγκώμιον γὰρ, νὴ τὴν Ἀθηνᾶν, εἰσὶ τῆς πόλεως οἱ παλαιοὶ νόμοι καὶ τὰ ἔθη τῶν ἐξ ἀρχῆς ταῦτα κατασκευασάντων· οἷς ἂν προσέχητε, τὰ δίκαια ποιήσετε, καὶ πᾶσιν ἀνθρώποις σεμνοὶ καὶ ἄξιοι τῆς πόλεως δόξετ' εἶναι. Ὑμῖν γάρ ἐστιν ὅρκος, ὃν ὀμνύουσι πάντες οἱ πολῖται, ἐπειδὰν εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφῶσι καὶ ἔφηβοι γένωνται, μήτε τὰ ἱερὰ ὅπλα καταισχυνεῖν, μήτε τὴν τάξιν λείψειν, ἀμυνεῖν δὲ τῇ πατρίδι καὶ ἀμείνω παραδώσειν. Ὃν εἰ μὲν ὀμώμοκε Λεωκράτης, φανερῶς ἐπιώρκηκε, καὶ οὐ μόνον ἡμᾶς ἠδίκηκεν, ἀλλὰ καὶ εἰς τὸ θεῖον ἠσέβηκεν· εἰ δὲ μὴ ὀμώμοκεν, εὐθὺς ὅῆλός ἐστι παρεσκευασμένος οὐδὲν ποιήσειν τῶν δεόντων, ἀνθ' ὧν δικαίως ἂν αὐτὸν καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν τιμωρήσαισθε. Βούλομαι δὲ ὑμᾶς ἀκοῦσαι τοῦ ὅρκου. Λέγε, γραμματεῦ.

ΟΡΚΟΣ[160].

Καλός γε, ὦ ἄνδρες, καὶ ὅσιος ὁ ὅρκος. Παρὰ τοῦτον τοίνυν ἅπαντα πεποίηκε Λεωκράτης. Καίτοι πῶς ἂν ἄνθρωπος γένοιτο ἀνοσιώτερος ἢ μᾶλλον προδότης τῆς πατρίδος; τίνα δ' ἂν τρόπον ὅπλα καταισχύνειέ τις μᾶλλον, ἢ εἰ λαβεῖν[161] μὴ θέλοι καὶ τοὺς πολεμίους ἀμύνασθαι; πῶς δ' οὐ καὶ τὸν παραστάτην[162] καὶ τὴν τάξιν λέλοιπεν ὁ μηδὲ τάξαι τὸ σῶμα παρασχών; ποῦ δ' ὑπὲρ ὁσίων καὶ ἱερῶν ἤμυνεν ἂν ὁ μηδένα κίνδυνον ὑπομείνας; τίνι[163] δ' ἂν τὴν πατρίδα παρέδωκε[163] μείζονα προδοσίαν; τὸ γὰρ τούτου μέρος ἐκλελειμμένη τοῖς πολεμίοις ὑποχείριός ἐστιν. Εἶτα τοῦτον οὐκ ἀποκτενεῖτε, τὸν ἁπάσαις ταῖς ἀδικίαις ἔνοχον ὄντα; τίνας οὖν τιμωρήσεσθε; τοὺς ἔν τι τούτων ἡμαρτηκότας; ῥᾴδιον ἔσται παρ' ὑμῖν ἄρα μεγάλα ἀδικεῖν, εἰ φανεῖσθε ἐπὶ τοῖς μικροῖς μᾶλλον ὀργιζόμενοι.

---

157) (ἐνν.) Ἰσταμένους. 158) Πολεμικῷ. 159) Αἱ μὲν Κυάνεαι (πέτραι), αἱ ἄλλως Συμπληγάδες, βράχοι τινες περὶ τὸ στόμιον τοῦ Θρᾳκικοῦ Βοσπόρου πρὸς τὸν Εὔξεινον πόντον· ἡ δὲ Φάσηλις, πόλις παράλιος τῆς Κιλικίας. 160) Εἶχε δὲ οὕτως· « Οὐ καταισχυνῶ ὅπλα τὰ ἱερὰ, οὐδ' ἐγκαταλείψω τὸν παραστάτην, ὅτῳ ἂν στοιχήσω. Ἀμυνῶ δὲ καὶ » ὑπὲρ ἱερῶν καὶ ὑπὲρ ὁσίων, καὶ μόνος καὶ μετὰ πολλῶν. Τὴν πατρίδα δὲ οὐκ ἐλάσσω » παραδώσω, πλείω δὲ καὶ ἀρείω (ἢ) ὅσην ἂν παραδέξωμαι. Καὶ εὐηκοήσω τῶν ἀεὶ κρι» νόντων ἐμφρόνως, καὶ τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι, καὶ οὓς τινας ἂν ἄλλους τὸ » πλῆθος ἱδρύσηται ὁμοφρόνως. Καὶ ἄν τις ἀναιρῇ τοὺς θεσμοὺς, ἢ μὴ πείθηται, οὐκ ἐπι» τρέψω· ἀμυνῶ δὲ καὶ μόνος καὶ μετὰ πάντων, καὶ ἱερὰ τὰ πάτρια τιμήσω. Ἴστορες θεοὶ » τούτων » ! (Στοβ. ΜΔ', 243.) 161) Ταῦτα, τὰ ὅπλα. 162) Ἴδε τὸ Δεξικόν.
163) Τίνι μείζονι προδοσίᾳ; κατὰ τὴν ἑτέραν γραφήν. 164) Ἐν ἄλλοις· Προὔδωκε.

Καὶ μὴν, ὦ ἄνδρες, καὶ τοῦθ' ὑμᾶς δεῖ μαθεῖν, ὅτι τὸ συνέχον τὴν δημο κρατίαν ὅρκος ἐστί. Τρία γάρ ἐστιν ἐξ ὧν ἡ πολιτεία συνέστηκεν, ὁ ἄρχων ὁ δικαστής, ὁ ἰδιώτης. Τούτων τοίνυν ἕκαστος ταύτην τὴν πίστιν δίδωσιν εἰκότως· τοὺς μὲν γὰρ ἀνθρώπους πολλοὶ ἤδη ἐξαπατήσαντες καὶ διαλαθόν τες, οὐ μόνον τῶν παρόντων κινδύνων ἀπελύθησαν, ἀλλὰ καὶ τὸν ἄλλο χρόνον ἄθῳοι τῶν ἀδικημάτων τούτων εἰσί· τοὺς δὲ θεοὺς οὔτ' ἂν ἐπιορκή σας τις λάθοι, οὔτ' ἂν ἐκφύγοι τὴν ἀπ' αὐτῶν τιμωρίαν, ἀλλ' εἰ μὴ αὐτὸ οἱ παῖδές γε καὶ τὸ γένος ἅπαν τὸ τοῦ ἐπιορκήσαντος μεγάλοις ἀτυχήμασ περιπίπτει. Διόπερ, ὦ ἄνδρες δικασταί, ταύτην πίστιν ἔδοσαν αὐτοῖς ἐ Πλαταιαῖς πάντες οἱ Ἕλληνες, ὅτε ἔμελλον παραταξάμενοι μάχεσθαι πρὸ τὴν Ξέρξου δύναμιν, οὐ παρ' αὐτῶν εὑρόντες, ἀλλὰ μιμησάμενοι τὸν πα ρ' ὑμῖν εἰθισμένον ὅρκον· ὃν ἄξιόν ἐστιν ἀκοῦσαι· καὶ γὰρ παλαιῶν ὄντω τῶν τότε ...πραγμένων, ὅμως ἰσχνῶς[168] ἐστιν ἐν τοῖς γεγραμμένοις ἰδεῖ τὴν ἐκείνων ἀρετήν. Καί μοι ἀναγίνωσκε αὐτόν.

ΟΡΚΟΣ. Οὐ ποιήσομαι περὶ πλείονος τὸ ζῆν τῆς ἐλευθερίας, οὐδὲ καταλείψω τοὺς ἡγεμό νας, οὔτε ζῶντας οὔτε ἀποθανόντας, ἀλλὰ τοὺς ἐν τῇ μάχῃ τελευτήσαντας τῶ συμμάχων ἅπαντας θάψω, καὶ κρατήσας τῷ πολέμῳ τοὺς βαρβάρους, τῶν μὲ μαχεσαμένων ὑπὲρ τῆς Ἑλλάδος πόλεων οὐδεμίαν ἀνάστατον ποιήσω, τὰς δὲ τ τοῦ βαρβάρου προελομένας ἅπασας δεκατεύσω[169]· καὶ τῶν ἱερῶν τῶν ἐμπρησθέντω καὶ καταβληθέντων ὑπὸ τῶν βαρβάρων οὐδὲν ἀνακοδομήσω παντάπασιν, ἀλλ' ὑ πόμνημα τῆς ἐπιγενομένοις ἐάσω καταλειπεσθαι τῆς τῶν βαρβάρων ἀσεβείας.

Οὕτω τοίνυν, ὦ ἄνδρες, σφόδρα ἐνέμειναν ἐν τούτῳ πάντες, ὥστε κα τὴν παρὰ τῶν θεῶν εὔνοιαν μεθ' ἑαυτῶν ἔσχον βοηθόν, καὶ πάντων Ἑλ λήνων ἀνδρῶν ἀγαθῶν γενομένων πρὸς τὸν κίνδυνον μάλιστα ἡ πόλις ὑμῶ εὐδοκίμησεν. Ὃ καὶ πάντων ἂν εἴη δεινότατον, τοὺς μὲν προγόνους ὑμῶ ἀποθνήσκειν τολμᾶν ὥστε μὴ τὴν πόλιν ἀδοξεῖν, ὑμᾶς δὲ μὴ κολάζειν τοὺ καταισχύναντας[167] αὐτήν, ἀλλὰ περιορᾶν τὴν κοινὴν καὶ μετὰ πολλῶν πό νων συνειλεγμένην εὐκλειαν ταύτην διὰ τὴν τῶν τοιούτων ἀνδρῶν πονη ρίαν καταλυομένην.

Καίτοι, ὦ ἄνδρες, μόνοις ὑμῖν τῶν Ἑλλήνων οὐκ ἔστιν οὐδὲν τούτω περιϊδεῖν. Βούλομαι δὲ μικρὰ τῶν παλαιῶν ὑμῖν διελθεῖν, οἷς παραδείγ μασι χρώμενοι καὶ περὶ τούτων καὶ περὶ τῶν ἄλλων βέλτιον βουλεύσεσθ τοῦτο γὰρ ἔχει μέγιστον ἡ πόλις ὑμῶν ἀγαθόν, ὅτι τῶν καλῶν ἔργων πα ράδειγμα τοῖς Ἕλλησι γέγονεν· ὅσον γὰρ τῷ χρόνῳ πασῶν ἐστιν ἀρχαιο τάτη, τοσοῦτον οἱ πρόγονοι ἡμῶν τῶν ἄλλων ἀνθρώπων ἀρετῇ διενηνόχα σιν. Ἐπὶ Κόδρου γὰρ βασιλεύοντος, Πελοποννησίοις γενομένης ἀφορία κατὰ τὴν χώραν αὐτῶν, ἔδοξε στρατεύειν ἐπὶ τὴν πόλιν ἡμῶν, καὶ ἡμῶ τοὺς προγόνους ἐξαναστήσαντας κατανείμασθαι τὴν χώραν. Καὶ πρῶτον μὲ εἰς Δελφοὺς ἀποστείλαντες τὸν θεὸν ἐπηρώτων εἰ ἐπιλήψονται[168] τῆς Ἀθή νας· ἀνελόντος δὲ τοῦ θεοῦ αὐτοῖς ὅτι τὴν πόλιν αἱρήσουσιν, ἐὰν μὴ τὸ βασιλέα τῶν Ἀθηναίων Κόδρον[169] ἀποκτείνωσιν, ἐστράτευον ἐπὶ τὰς Ἀθή

---

[165]) Ὁ Κορ. διορθ. Ἱκανῶς. [166]) Ἀπὸ τῆς περιουσίας τῶν κατοίκων θέλω ἀφιερώσ ...τὸ δέκατον εἰς τὸν ἐν Δελφοῖς Ἀπόλλωνα. [167]) Ὀρθότ. Καταισχύνοντας.
[168]) Ἐσφαλμένη ἐκρίθη ἡ λέξις· ὁ Κορ. διορθ. ἐπιλήψονται. [169]) Περιττὸν ἐκρίθ ...τὸ κύριον ὄνομα τοῦ βασιλέως.

νας. Κλεόμαντις δὲ, τῶν Δελφῶν τις, πυθόμενος τὸ χρηστήριον, δι' ἀποῤῥήτων ἐξήγγελλε[170] τοῖς Ἀθηναίοις· οὕτως οἱ πρόγονοι ἡμῶν, ὡς ἔοικεν, καὶ τοὺς ἔξωθεν ἀνθρώπους εὔνους ἔχοντες διετέλουν. Ἐμβαλόντων δὲ τῶν Πελοποννησίων εἰς τὴν Ἀττικὴν, τί ποιοῦσιν οἱ πρόγονοι ἡμῶν, ἄνδρες δικασταί; οὐ καταλιπόντες τὴν χώραν ὥσπερ Λεωκράτης ᾠήθησαν, οὐκ ἔκδοτον τὴν θρεψαμένην καὶ τὰ ἱερὰ τοῖς πολεμίοις παρέδοσαν, ἀλλ' ὀλίγοι ὄντες, κατακλεισθέντες ἐπολιορκοῦντο καὶ διεκαρτέρουν εἰς τὴν πατρίδα. Καὶ οὕτως ἦσαν, ὦ ἄνδρες, γενναῖοι οἱ τότε βασιλεύοντες, ὥστε προῃροῦντο ἀποθνήσκειν ὑπὲρ τῆς τῶν ἀρχομένων σωτηρίας μᾶλλον ἢ ζῶντες ἑτέραν μεταλλάξαι [τὴν] χώραν. Φασὶ γοῦν τὸν Κόδρον, παραγγείλαντα τοῖς Ἀθηναίοις προσέχειν ὅταν τελευτήσῃ τὸν βίον, λαβόντα πτωχικὴν[171] στολὴν, ὅπως ἂν ἀπατήσῃ τοὺς πολεμίους, κατὰ τὰς πύλας ὑποδύντα[172], ῥύγανα συλλέγειν πρὸ τῆς πόλεως· προσελθόντων δ' αὐτῷ οὖν ἀνδρῶν ἐκ τοῦ στρατοπέδου, καὶ τὰ κατὰ τὴν πόλιν πυνθανομένων, τὸν ἕτερον αὐτῶν ἀποκτεῖναι[173] τῷ ὀρεπάνῳ προσπεσόντα· τὸν δὲ περιλελειμμένον, παροξυνθέντα τῷ Κόδρῳ καὶ νομίσαντα πτωχὸν εἶναι, σπασάμενον τὸ ξίφος ἀποκτεῖναι τὸν Κόδρον· τούτων δὲ γενομένων, οἱ μὲν Ἀθηναῖοι κήρυκα πέμψαντες ἠξίουν δοῦναι τὸν βασιλέα θάψαι, λέγοντες αὐτοῖς ἅπασαν τὴν ἀλήθειαν· οἱ δὲ Πελοποννήσιοι τοῦτον μὲν ἀπέδοσαν, γνόντες δὲ ὡς οὐκέτι δυνατὸν αὐτοῖς τὴν χώραν κατασχεῖν, ἀπεχώρησαν. Τῷ δὲ Κλεομάντει τῷ Δελφῷ ἡ πόλις αὐτῷ τε καὶ ἐκγόνοις ἐν Πρυτανείῳ ἀΐδιον σίτησιν ἔδοσαν. Ὁρᾶτε· ὁμοίως ἐφίλουν τὴν πατρίδα Λεωκράτει οἱ τότε βασιλεύοντες, οἵ γε προῃροῦντο τοὺς πολεμίους ἐξαπατῶντες ἀποθνήσκειν ὑπὲρ αὐτῆς, καὶ τὴν ἰδίαν ψυχὴν ἀντὶ τῆς κοινῆς σωτηρίας ἀντικαταλλάττεσθαι[174]; Τοιγαροῦν μονώτατοι[175] ἐπώνυμοι[176] τῆς χώρας εἰσὶν, ἰσοθέων τιμῶν τετυχηκότες. εἰκότως· ὑπὲρ ἧς γὰρ οὕτω σφόδρα ἐσπούδαζον, δικαίως ταύτην καὶ τεθνεῶτες ἐκληρονόμουν. Ἀλλὰ Λεωκράτης οὔτε ζῶν οὔτε τεθνεὼς δικαίως ἂν αὐτῆς μετάσχοι, μονώτατος ὃ ἂν προσηκόντως ἐξορισθείη[177] τῆς χώρας ἣν ἐγκαταλιπὼν τοῖς πολεμίοις ᾤχετο· οὐδὲ γὰρ καλὸν τὴν αὐτὴν[178] καλύπτειν τοὺς τῇ ἀρετῇ διαφέροντας καὶ τὸν κάκιστον πάντων ἀνθρώπων.

Καίτοι γε ἐπεχείρησεν εἰπεῖν, ὃ καὶ νῦν ἴσως ἐρεῖ πρὸς ὑμᾶς, ὡς οὐκ ἂν ποτε ὑπομείναι[179] τὸν ἀγῶνα τοῦτον συνειδὼς ἑαυτῷ τοιοῦτόν τι διαπεπραγμένῳ, ὥσπερ οὐ πάντας καὶ τοὺς κλέπτοντας καὶ ἱεροσυλοῦντας τούτῳ τῷ τεκμηρίῳ χρωμένους. Οὐ γὰρ τοῦ πράγματός ἐστι σημεῖον, ὡς οὐ πεποιήκασιν, ἀλλὰ τῆς ἀναιδείας ἣν ἔχουσιν. Οὐ γὰρ τοῦτο δεῖ λέγειν, ἀλλ' ὡς οὐκ ἐξέπλευσεν, οὐδὲ τὴν πόλιν ἐγκατέλιπεν, οὐδ' ἐν Μεγάροις κατῴ-

---

170) Ὀρθότ. Ἐξήγγειλε. 171) Ἐπαίτου. 172) Ὁ Κορ. διορθ. Ὑπεκδύντα.
173) Ἐξαρτᾶται ἀπὸ κοινοῦ τοῦ Φασίν. 174) Οὕτω, κατ' ἐρωτηματικὸν σημ., ἐξενεκτέον τὴν φράσιν. Ἴσως ὅμως καὶ χωρὶς ἐρωτηματικοῦ, κατ' εἰρωνείαν. 175) Κακοζήλων ἐκρίθη τὸ ὑπερθετικὸν τοῦτο. καὶ τοῖς κωμικοῖς μόνον εὔχρηστον. 176) Δέκα ἦσαν, ὡς γνωστόν, οἱ ἐπώνυμοι ἥρωες Ἀθήνῃσιν, ἰσαρίθμως ταῖς δέκα φυλαῖς ἀφ' ἑνὸς ἑκάστου αὐτῶν παρωνυμουμένας, Ἐρεχθῆς, Πανδιονὶς κτλ. 177) Ἔξω τῶν ὁρίων τῆς Ἀττικῆς ῥιφθείη τὸ πτῶμά του. 178) Χώραν, γῆν. 179) Κατ' εὐκτικὴν διὰ τὸν Ἀν· ἀλλ' ὀρθότερον ἦν ἂν τὸ Ὑπομείνειε.

κησε· ταῦτά ἐστι τεκμήρια τοῦ πράγματος· ἐπεί γε τὸ ἐλθεῖν τοῦτον, οἶμαι, θεῶν τινα αὐτὸν ἐπ' αὐτὴν ἀγαγεῖν τὴν τιμωρίαν[180], ἵν' ἐπειδὴ τὸν εὐκλεᾶ κίνδυνον ἔφυγε, τοῦ ἀκλεοῦς καὶ ἀδόξου θανάτου τύχοι, καὶ οὓς προὔδωκε, τούτοις ὑποχείριον αὐτὸν καταστήσειεν. Ἑτέρωθι μὲν γὰρ ἀτυχῶν, οὔπω δῆλον εἰ διὰ ταῦτα δίκην δίδωσιν· ἐνταῦθα δὲ παρ' οἷς προὔδωκε, φανερόν ἐστιν ὅτι τῶν αὐτοῦ παρανομημάτων ὑπέχει ταύτην τὴν τιμωρίαν. Οἱ γὰρ θεοὶ οὐδὲν πρότερον ποιοῦσιν ἢ τῶν πονηρῶν ἀνθρώπων τὴν διάνοιαν παράγουσι[181]· καί μοι δοκοῦσι τῶν ἀρχαίων τινὲς ποιητῶν ὥσπερ χρησμοὺς γράψαντες τοῖς ἐπιγιγνομένοις τάδε τὰ ἰαμβεῖα καταλιπεῖν·

> [182]ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ[183] τινά,
> τοῦτ' αὐτὸ πρῶτον ἐξαφαιρεῖται φρενῶν[184],
> τὸν νοῦν τὸν ἐσθλόν, εἰς δὲ τὴν χείρω τρέπει
> γνώμην, ἵν' εἰδῇ μηδὲν ὧν ἁμαρτάνει.

Τίς γὰρ οὐ μέμνηται τῶν πρεσβυτέρων, ἢ τῶν νεωτέρων οὐκ ἀκήκοε Καλλίστρατον, οὗ θάνατον ἡ πόλις κατέγνω, τοῦτον φυγόντα, καὶ τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς ἀκούσαντα ὅτι ἂν ἔλθῃ Ἀθήναζε τεύξεται τῶν νομίμων[185], ἀφικόμενον καὶ ἐπὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν[186] καταφυγόντα καὶ οὐδὲν ἧττον ὑπὸ τῆς πόλεως ἀποθανόντα; δικαίως· τὸ γὰρ τῶν νομίμων[187] τοῖς ἠδικηκόσι τυχεῖν τιμωρία ἐστίν. Ὁ δέ γε θεὸς ὀρθῶς ἀπέδωκε τοῖς ἠδικημένοις κολάσαι τὸν αἴτιον· δεινὸν γὰρ ἂν εἴη εἰ ταὐτὰ σημεῖα τοῖς εὐσεβέσι καὶ τοῖς κακούργοις φαίνονται[187].

Ἡγοῦμαι δ' ἔγωγε, ὦ ἄνδρες, τὴν τῶν θεῶν ἐπιμέλειαν[188] πάσας μὲν τὰς ἀνθρωπίνας πράξεις ἐπισκοπεῖν, μάλιστα δὲ τὴν περὶ τοὺς γονέας καὶ τοὺς τετελευτηκότας καὶ τὴν πρὸς αὐτοὺς[189] εὐσέβειαν. εἰκότως· παρ' ὧν γὰρ τὴν ἀρχὴν τοῦ ζῆν εἰλήφαμεν καὶ πλεῖστα ἀγαθὰ πεπόνθαμεν, εἰς τούτους μὴ ὅτι ἁμαρτεῖν, ἀλλ' ὅτι μὴ εὐεργετοῦντας τὸν αὑτῶν βίον καταναλῶσαι, μέγιστον ἀσέβημα ἐστί. Λέγεται οὖν ἐν Σικελίᾳ (εἰ γὰρ καὶ μυθωδέστερόν ἐστιν, ἀλλ' ἁρμόσει καὶ ὑμῖν[190] ἅπασι τοῖς νεωτέροις ἀκοῦσαι) ἐκ τῆς Αἴτνης ῥύακα πυρὸς γενέσθαι[191]· τοῦτον δὲ ῥεῖν φασιν ἐπὶ τὴν ἄλλην χώραν καὶ δὴ καὶ πρὸς πόλιν τινὰ τῶν ἐκεῖ κατοικουμένων. Τοὺς μὲν οὖν ἄλλους ὁρμῆσαι πρὸς φυγήν, τὴν αὑτῶν σωτηρίαν ζητοῦντας, ἕνα δέ τινα[192] τῶν νεωτέρων, ὁρῶντα τὸν πατέρα πρεσβύτερον ὄντα καὶ οὐχὶ δυνάμενον ἀποχωρεῖν, ἀλλὰ ἐγκαταλαμβανόμενον, ἀράμενον φέρειν. Φορτίου δ' οἶμαι προσγενομένου, καὶ αὐτὸς ἐγκατελήφθη. Ὅθεν δὴ καὶ ἄξιον θεωρῆσαι τὸ θεῖον, ὅτι τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς εὐμενῶς ἔχει. Λέγεται γὰρ κύκλῳ τὸν τόπον ἐκεῖνον περιῤῥεῦσαι τὸ πῦρ, καὶ σωθῆναι τούτους μόνους, ἀφ' ὧν καὶ τὸ χωρίον ἔτι καὶ νῦν προσαγορεύεσθαι Τῶν εὐσεβῶν χῶρον· τοὺς

---

180) Περινενόηται ἡ φράσις· ἐπεί γε (ὡς πρὸς) τὸ ἐλθεῖν τοῦτον, οἶμαι κτλ. 181) Καθὼς καὶ ἡ Γραφὴ λέγει: Μωραίνει Κύριος ὃν βούλεται ἀπολέσαι. 182) Τοῦ Εὐριπίδου εἶναι εἶκασαν τοὺς στίχους οἱ κριτικοί. 183) Ὅθεν ὁ φρενοβλαβής. 184) Ἀφαιρ. ἐκ τῶν φρ. 185) Ἐν ἄλλοις· Τῶν νόμων, ὁμοίως καὶ κατωτέρω. 186) Τῶν μεγάλων ἢ Ὀλυμπίων. Ἴδε τὴν μυθολογ. 187) Ἐν ἄλλοις ὀρθότ. φαίνοιντο. 188) Τὴν θείαν πρόνοιαν. 189) Τοὺς θεούς. 190) Ὁ Κορ. διορθοῦν παρήνει: Ἡμῶν. 191) Ἐκρεῦσαι πυρώδη λάβαν. 192) Κατὰ τὸν Παυσαν. (Χ, 28), δύω.

δὲ ταχεῖαν τὴν ἀποχώρησιν ποιησαμένους, καὶ τοὺς ἑαυτῶν γονεῖς ἅπαντας ἐγκαταλιπόντας ἀπολέσθαι[193]. Ὥστε καὶ ὑμᾶς δεῖ, τὴν παρὰ θεῶν ἔχοντας μαρτυρίαν, ὁμογνωμόνως[194] τοῦτον κολάζειν, τὸν ἅπασι τοῖς μεγίστοις ἀδικήμασιν ἔνοχον ὄντα κατὰ τὸ ἑαυτοῦ μέρος. Τοὺς μὲν γὰρ θεοὺς τὰς πατρίους τιμὰς ἀπεστέρηκε, τοὺς δὲ γονεῖς τοις πολεμίοις ἐγκατέλιπε, τοὺς δὲ τετελευτηκότας τῶν νομίμων οὐκ εἴασε τυχεῖν.

Καίτοι σκέψασθε, ὦ ἄνδρες· οὐ γὰρ ἀποστήσομαι τῶν παλαιῶν· ἐφ' οἷς γὰρ ἐκεῖνοι ποιοῦντες ἐφιλοτιμοῦντο, ταῦτα δικαίως ἂν ὑμεῖς ἀκούσαντες ἀποδέχοισθε. Φασὶ γὰρ Εὔμολπον τὸν Ποσειδῶνος καὶ Χιόνης μετὰ Θρᾳκῶν ἐλθεῖν τῆς χώρας ταύτης ἀμφισβητοῦντα[195], τυχεῖν δὲ κατ' ἐκείνους τοὺς χρόνους βασιλεύοντα Ἐρεχθέα, γυναῖκα ἔχοντα Πραξιθέαν τὴν Κηφισοῦ θυγατέρα· μεγάλου δὲ στρατοπέδου μέλλοντος αὐτοῖς[196] εἰσβάλλειν εἰς τὴν χώραν, εἰς Δελφοὺς ἰὼν ἠρώτα τὸν θεόν, τί ποιῶν ἂν νίκην λάβοι παρὰ τῶν πολεμίων. Χρήσαντος δ' αὐτῷ τοῦ θεοῦ, τὴν θυγατέρα εἰ θύσειε πρὸ τοῦ συμβαλεῖν τῷ στρατοπέδῳ, κρατήσειν τῶν πολεμίων, ὁ δὲ[197], τῷ Θεῷ πειθόμενος τοῦτ' ἔπραξε, καὶ τοὺς ἐπιστρατευομένους ἐκ τῆς χώρας ἐξέβαλε. Διὸ καὶ δικαίως ἂν τις Εὐριπίδην ἐπαινέσειεν, ὅτι τά τε ἄλλ' ὢν ἀγαθὸς ποιητής, καὶ τοῦτον τὸν μῦθον προείλετο ποιῆσαι, ἡγούμενος κάλλιστον ἂν γενέσθαι τοῖς πολίταις παράδειγμα τὰς ἐκείνων πράξεις, πρὸς ἃς ἀποβλέποντας καὶ θεωροῦντας συνεθίζεσθαι ταῖς ψυχαῖς τὸ τὴν πατρίδα φιλεῖν. Ἄξιον δὲ, ὦ ἄνδρες δικασταί, καὶ τῶν ἰαμβείων ἀκοῦσαι ἃ πεποίηκε λέγουσαν τὴν μητέρα τῆς παιδός· ὄψεσθε γὰρ ἐν αὐτοῖς μεγαλοψυχίαν καὶ γενναιότητα ἀξίαν καὶ τῆς πόλεως καὶ τοῦ γενέσθαι Κηφισοῦ θυγατέρα.

τὰς γάρ τας ὅστις εὐγενῶς χαρίζεται,
ἥδιον[198] ἐν βροτοῖσιν· οἱ δὲ δρῶσι μέν,
χρόνῳ δὲ δρῶσι, δυσγενέστερον.
Ἐγὼ δὲ δώσω τὴν ἐμὴν παῖδα κτανεῖν·
λογίζομαι δὲ πολλά, πρῶτα μὲν πόλιν
οὐκ ἂν τιν' ἄλλην τῇδε βελτίω λαβεῖν·
ἢ[199] πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
αὐτόχθονες δ' ἔφυμεν· αἱ δ' ἄλλαι πόλεις,
πεσσῶν ὁμοίως διαφοραῖς ἐκτισμέναι[200],
ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι.
Ὅστις δ' ἀπ' ἄλλης πόλεως οἰκίζει πόλιν
ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς,
λόγῳ πολίτης[201] ἐστί, τοῖς δ' ἔργοισιν οὔ.
Ἔπειτα τέκνα τοῦδ' ἑκητί[202] τίκτομεν,
ὡς θεῶν τε βωμοὺς πατρίδα τε ῥῡώμεθα.
Πόλεος δ' ἁπάσης τοὔνομ' ἓν, πολλοὶ δέ νιν
ναίουσι· τούτοις πῶς διαφθεῖραί με χρή,
ἐξὸν πρὸ πάντων μίαν ὑπὲρ[203] δοῦναι θανεῖν;

---

193) Ὀρθῶς ὁ Κορ. ἀνεστράφθαι ἡγήσατο τὴν φράσιν, ἀντὶ: Καὶ τοὺς ἑαυτῶν γονεῖς ἐγκαταλιπόντας ἅπαντας ἀπολέσθαι. 194) Ἴσως ἦτον Ὁμογνωμοναῦσαν. 195) » Φάσκων Ποσειδῶ πρότερον Ἀθηνᾶς καταλαβεῖν αὐτὴν », καθὼς λέγει ὁ Ἰσοκρ. (Παναθ. 70).
196) Εἰς τὴν χώραν αὐτοῖς, ἀντὶ αὐτῶν. 197) Ὁ Κορ. περιέκλεισεν, ὡς περιττὸν τὸ Ὀδέ.
198) Ἐν ἄλλοις· Ἥδιστον. 199) Ἴσως ὀρθότ. Οἵ. 200) Ἐκτισμέναι ὁμοίως ταῖς διαφοραῖς (μετακινήσεσι) τῶν πεσσῶν, διὰ τὰς ἀπὸ μιᾶς εἰς ἄλλην πόλιν ἀποικίσεις.
201) Ἐν ἄλλοις Πολιστής. 202) Ἕνεκα. 203) Ὑπὲρ αὐτῶν· ἐν ἄλλοις γράφεται ὑφ' ἓν Ὑπερδοῦναι.

εἴπερ γὰρ ἀριθμὰν οἶδα, καὶ τοὐλάσσονος
τὸ μεῖζον, ἑνὸς μὲν οἶκος οὐ πλεῖον σθένει
παίσας ἁπάσης πόλεος, οὐδ' ἴσον φέρει.
Εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θηλέων στάχυς
ἄρσην, πόλιν δὲ πολεμία κατεῖχε φλόξ,
οὐκ ἄν μιν ἐξέπεμπον εἰς μάχην δορὸς,
θάνατον προταρβοῦσ'[204]; ἀλλ' ἔμοιγ' ἐστι τέκνα,
ἃ καὶ μάχοιτο καὶ μετ' ἀνδράσι πρέποι·
μὴ σχήματα δ' ἄλλως ἐν πόλει περυκότα.
Ἃ μητέρων δὲ δάκρυ', ὅταν πέμπῃ τέκνα,
πολλοὺς ἐθήλυν' εἰς μάχην ὁρμωμένους.
Μισῶ γυναῖκας, αἵτινες πρὸ τοῦ καλοῦ[205]
ζῆν παῖδας εἵλοντο, καὶ παρῆνεσαν κακά.
Καὶ μὴν θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα,
τύμβον τε κοινὸν ἔλαχον εὐκλειάν τ' ἴσην·
τῇ 'μῇ δὲ παιδὶ στέφανος, ἢ μία μόνη
πόλεως θανοῦσα τῆσδ' ὑπὲρ δοθήσεται,
καὶ τὴν τεκοῦσαν καὶ σὲ δύο θ' ὁμοσπόρω[206]
σώσει· τί τούτων οὐχὶ δέξασθαι καλόν;
τὴν οὐκ ἐμὴν πλὴν φύσει[207] δώσω κόρην
θῦσαι πρὸ γαίας. Εἰ γὰρ αἱρεθήσεται
πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι[208];
οὐκοῦν[209] ἅπαντα γοῦν ἐμοὶ σωθήσεται·
ἄρξουσιν ἄλλοι, τὴν δ' ἐγὼ σώσω πόλιν.
Ἐκεῖνο δ', οὗ τὸ πλεῖστον ἐν κοινῷ μέρος[210],
οὐκ ἔσθ' ἑκούσης τῆς ἐμῆς ψυχῆς ἄτερ[211]
προγόνων παλαιὰ θέσμι' ὅς τις ἐκβαλεῖ·
οὐδ' ἀντ' ἐλάας[212] χρυσέας τε Γοργόνος[213]
τριαίναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις
Εὔμολπος οὐδὲ Θρᾴξ ἀναστέψει[214] λεὼς
στεφάνοισι, Παλλὰς δ' οὐδαμοῦ τιμήσεται.
Χρῆσθ' ὧ πολῖται τοῖς ἐμοῖς λογεύμασι[215],
σώζεσθε, νικᾶτ'· ἀντὶ γὰρ ψυχῆς μιᾶς
οὐκ ἔσθ' ὅπως οὐ τήνδ' ἐγὼ σώσω πόλιν.
Ὦ πατρὶς, εἴθε[216] πάντες εὖ ναίουσί σε
οὕτω φιλοῖεν ὡς ἐγώ· καὶ ῥᾳδίως
οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν.

Ταῦτα[217], ὦ ἄνδρες, τοὺς πατέρας ἡμῶν ἐπαίδευε. Φύσει γὰρ οὐσῶν φιλοτέκνων πασῶν τῶν γυναικῶν, ταύτην ἐποίησε τὴν πατρίδα μᾶλλον τῶν παίδων φιλοῦσαν, ἐνδεικνύμενος ὅτι εἴπερ αἱ γυναῖκες τοῦτο τολμήσουσι ποιεῖν, τούς γε ἄνδρας ἀνυπέρβλητόν τινα δεῖ τὴν εὔνοιαν ὑπὲρ τῆς πατρί-

---

204) Φοβηθεῖσα μᾶλλον τὸν θάν. 205) Πρὸ τῆς δόξης εἵλοντο τὸ ζῆν τοὺς παῖδας.
206) Καὶ ἐμὲ τὴν μητέρα, καὶ σὲ τὸν πατέρα, καὶ τὰς δύω ἀδελφάς της· τρεῖς γὰρ θυγατέρας εἶχεν ὁ Ἐρεχθεὺς, Ἄγραυλον, Ἔρσην καὶ Πάνδροσον. 207) Δώσω τὴν ἐμὴν κόρην, οὐκ οὖσαν ἐμὴν, εἰμὶ φύσει μόνον, ἄλλως δὲ ἀνήκουσαν εἰς τὴν πόλιν. 208) Κατὰ τί μέτεστιν ἐμοὶ τῶν ἐμῶν θυγατέρων (ὁποίαν μετοχὴν αὐτῶν ἔξω), ἀλωθείσης τῆς πόλεως.
209) Ὁ Κορ. ἔγραψεν Οὔκουν· ἀλλ' ὀρθότερον τὸ Οὐκοῦν, ἵνα τὸ νόημα ᾖ τοιοῦτο Ὅσον τὸ κατ' ἐμὲ, ἅπαντα σώσω, καὶ τὴν πόλιν, καὶ τοὺς νόμους, καὶ τὰς παῖδας, καὶ τοὶ ἄλλων τυχὸν ἀρξόντων. 210) Ἐκεῖνο δὲ, τὸ ἑξῆς, οὗ τὸ πλεῖστον μέρος ἐστὶν ἐν κοινῷ.
211) Ὁ Οὐαλκενῆρος διώρθωσε πιθανώτατα, Ἄνερ. 212) Κατὰ διόρθωσιν τοῦ Δοβραίου, ἀντὶ· Οὐδ' ἂν τελείας. ἐννοεῖ δὲ τὴν ὑπὸ τῆς Ἀθηνᾶς, ὅτε ἠμφισβήτει τῆς Ἀττικῆς τῷ Ποσειδῶνι, ἀναφυεῖσαν ἱερὰν ἐλαίαν, ἥτις διετηρεῖτο ἐν τῇ ἀκροπόλει. 213) Τοῦ ἀγάλματος τῆς ἐν τῇ Ἀκροπόλει Ἀθηνᾶς, φερούσης τὸ Γοργόνειον ἐπὶ τοῦ θώρακος ἢ τῆς αἰγίδος. 214) Κατὰ διόρθωσιν ἀντὶ: Ἀναστρέψει. 215) Τέκνοις. 216) Ὁ Κορ. γράφειν παρήνει Εἶγε. 217) Ὑποκείμ. τοῦ Ἐπαίδευε.

δος ἔχειν, μηδὲ φεύγειν αὐτὴν ἐγκαταλιπόντας, μηδὲ καταισχύνειν πρὸς ἅπαντας τοὺς Ἕλληνας ὥσπερ Λεωκράτης.

Βούλομαι δ' ὑμῖν καὶ τὸν Ὅμηρον παρασχέσθαι ἐπαινῶν[218]. Οὕτω γὰρ ὑπέλαβον ὑμῶν οἱ πατέρες σπουδαῖον εἶναι ποιητήν, ὥστε νόμον ἔθεντο, καθ' ἑκάστην πενταετηρίδα τῶν Παναθηναίων, μόνου τῶν ἄλλων ποιητῶν ῥαψῳδεῖσθαι τὰ ἔπη, ἐπίδειξιν ποιούμενοι πρὸς τοὺς Ἕλληνας ὅτι τὰ κάλλιστα τῶν ἔργων προηροῦντο. εἰκότως· οἱ μὲν γὰρ νόμοι διὰ τὴν συντομίαν οὐ διδάσκουσιν ἀλλ' ἐπιτάττουσιν ἃ δεῖ ποιεῖν, οἱ δὲ ποιηταί, μιμούμενοι τὸν ἀνθρώπινον βίον, τὰ κάλλιστα τῶν ἔργων ἐκλεξάμενοι, μετὰ λόγου καὶ ἀποδείξεως τοὺς ἀνθρώπους συμπείθουσιν. Ἕκτωρ γὰρ τοῖς Τρωσὶ παρακελευόμενος ὑπὲρ τῆς πατρίδος τάδε εἴρηκεν·

> [219]ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶ διαμπερές. Ὅς δέ κεν ὑμέων
> βλήμενος ἠὲ συπείς[220] θάνατον καὶ πότμον ἐπίσπῃ,
> τεθνάτω. Οὔ οἱ[221] ἄεικὲς ἀμυνομένῳ περὶ πάτρης
> τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ νήπια τέκνα[222],
> καὶ κλῆρος καὶ οἶκος ἀκήρατος, εἴκεν Ἀχαιοὶ
> οὖχονται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

Τούτων τῶν ἐπῶν ἀκούοντες, ὦ ἄνδρες, οἱ πρόγονοι ὑμῶν, καὶ τὰ τοιαῦτα τῶν ἔργων ζηλοῦντες, οὕτως ἔσχον πρὸς ἀρετήν, ὥστε οὐ μόνον ὑπὲρ τῆς αὐτῶν πατρίδος, ἀλλὰ καὶ πάσης Ἑλλάδος ὡς κοινῆς ἤθελον ἀποθνήσκειν. Οἱ γοῦν ἐν Μαραθῶνι παραταξάμενοι τοῖς βαρβάροις τὸν ἐξ ἁπάσης τῆς Ἀσίας σῶλον ἐκράτησαν, τοῖς ἰδίοις κινδύνοις κοινὴν ἄδειαν ἅπασι τοῖς Ἕλλησι κτώμενοι, οὐκ ἐπὶ τῇ δόξῃ μέγα φρονοῦντες, ἀλλ' ἐπὶ τῷ ταύτης ἄξια πράττειν, τῶν μὲν Ἑλλήνων προστάτας, τῶν δὲ βαρβάρων δεσπότας ἑαυτοὺς καθιστάντες· οὐ γὰρ λόγῳ τὴν ἀρετὴν ἐπετηδευον, ἀλλ' ἔργῳ πᾶσιν ἐπεδείκνυντο. Τοιγαροῦν οὕτως ἦσαν ἄνδρες σπουδαῖοι καὶ κοινῇ καὶ ἰδίᾳ οἱ τότε τὴν πόλιν οἰκοῦντες, ὥστε τοῖς ἀνδρειοτάτοις Λακεδαιμονίοις ἐν τοῖς ἔμπροσθεν χρόνοις πολεμοῦσι πρὸς Μεσσηνίους ἀνεῖλεν ὁ θεὸς παρ' ἡμῶν ἡγεμόνα λαβεῖν καὶ νικήσειν τοὺς ἐναντίους. Καίτοι εἰ τοῖς ἀφ' Ἡρακλέους γεγενημένοις, οἳ ἀεὶ βασιλεύουσιν ἐν Σπάρτῃ, τοὺς παρ' ὑμῶν ἡγεμόνας ἀμείνους ὁ θεὸς ἔκρινε, πῶς οὐκ ἀνυπέρβλητον χρὴ τὴν ἐκείνων ἀρετὴν νομίζειν; τίς γὰρ οὐκ οἶδε τῶν Ἑλλήνων, ὅτι Τυρταῖον στρατηγὸν ἔλαβον παρὰ τῆς πόλεως, μεθ' οὗ καὶ τῶν πολεμίων ἐκράτησαν καὶ τὴν περὶ τοὺς νέους ἐπιμέλειαν[223] συνετάξαντο, οὐ μόνον εἰς τὸν παρόντα κίνδυνον ἀλλ' εἰς ἅπαντα τὸν αἰῶνα βουλευσάμενοι καλῶς. Κατέλιπε γὰρ αὐτοῖς ἐλεγεῖα ποιήσας, ὧν ἀκούοντες παιδεύονται πρὸς ἀνδρείαν· καὶ περὶ τοὺς ἄλλους ποιητὰς οὐδένα λόγον ἔχοντες, περὶ τούτου οὕτω σφόδρα ἐσπουδάκασιν, ὥστε νόμον ἔθεντο, ὅταν ἐν τοῖς ὅπλοις ἐκστρατευόμενοι εἰσι, καλεῖν ἐπὶ τὴν τοῦ βασιλέως σκηνὴν ἀκουσομένους τῶν Τυρταίου ποιημάτων ἅπαν-

---

[218]) Ὁ Ῥεισκ. διώρθ. Καὶ τῶν Ὁμήρου παρασχέσθαι ἐπῶν. Ὁ δὲ Κορ. Καὶ τῶν Ὁμ. παρασχ. ἐπαίνων. [219]) Ἐκ τῆς Ἰλ. Ο, 494. [220]) Τὸ μὲν διὰ τὰ μακρόθεν ῥιπτόμενα βέλη, τὸ δὲ διὰ τὰ ἐκ τοῦ συστάδην δόρατα καὶ ξίφη, τὰ ἄλλως λυγκέμαχα καλούμενα ὅπλα.

[221]) Αὐτῷ. [222]) Εἰς τὰς κοινὰς τοῦ Ὁμήρου ἐκδόσεις φέρεται σήμερον· « Καὶ παῖδες » ὀπίσσω ».

[223]) Τὰ περὶ τῆς ἐκπαιδεύσεως τῶν νέων.

τας, νομίζοντες οὕτως ἂν αὐτοὺς μάλιστα πρὸ τῆς πατρίδος ἐθέλειν ἀποθνήσκειν. Χρήσιμον δ' ἐστὶ καὶ τούτων ἀκοῦσαι τῶν ἐλεγείων, ἵν' ἐπίστησθε οἷα ποιοῦντες εὐδοκίμουν παρ' ἐκείνοις.

Τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν, περὶ ᾗ[223] πατρίδι μαρνάμενον·
Τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγρούς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι,
παισί τε σὺν μικροῖς, κουριδίῃ τ' ἀλόχῳ.
Ἐχθρὸς μὲν γὰρ τοῖσι[225] μετέσσεται, οὓς κεν ἵκηται,
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ·
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμίη καὶ κακότης ἕπεται.
Εἰθ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη[226]
γίγνεται, οὐδ' αἰδὼς εἰσοπίσω τελέθει.
Θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι.
Ὦ νέοι, ἀλλὰ[227] μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε τοὺς γεραιούς.
Αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἵματόεντ' αἰδοῖα φίλαις ἐνὶ χερσὶν ἔχοντα
(αἰσχρὰ τά γ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν)
καὶ χρόα γυμνωθέντα[228]. Νέοισι δὲ πάντ' ἐπέοικεν,
ὄφρ'[229] ἐρατὴν ἥβης ἄγλαὸν ἄνθος ἔχῃ[230].
ἀνδράσι μὲν θητοῖς[231] ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶν
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.
Ἀλλά τις εὖ διαβὰς[232] μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χείλεσι δόντι δάκων.

Καλά[233] γε, ὦ ἄνδρες, καὶ χρήσιμα τοῖς βουλομένοις προσέχειν! Οὕτω τοίνυν εἶχον πρὸς ἀνδρείαν οἱ τούτων ἀκούοντες, ὥστε πρὸς τὴν πόλιν ἡμῶν περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν. εἰκότως· τὰ γὰρ κάλλιστα τῶν ἔργων ἀμφοτέροις ἦν κατειργασμένα. Οἱ μὲν γὰρ πρόγονοι τοὺς βαρβάρους ἐνίκησαν[234], οἱ πρῶτοι τῆς Ἀττικῆς ἐπέβησαν, καὶ καταφανῆ ἐποίησαν τὴν ἀνδρείαν τοῦ πλούτου καὶ τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην· Λακεδαιμόνιοι δ' ἐν Θερμοπύλαις παραταξάμενοι, ταῖς μὲν τύχαις οὐχ ὁμοίαις[235] ἐχρήσαντο, τῇ δ' ἀνδρείᾳ πολὺ πάντων διήνεγκαν. Τοιγαροῦν ἐπὶ τοῖς ἡρίοις[236] τοῦ βίου[237] μαρτύρια ἔστιν ἰδεῖν τῆς ἀρετῆς αὐτῶν ἀναγεγραμμένα ἀληθῆ πρὸς ἅπαντας τοὺς Ἕλληνας, ἐκείνοις μὲν[238]

---

224) Τῇ ἑαυτοῦ, ἀντὶ Ἧ. 225) Αὐτοῖς, ἐκείνοις. 226) Φροντίς. 227) Συλλογιστικῶς.
228) Αὐτὸν (τὸν γέροντα) γυμνωθέντα τὸν χρόα (τὸ σῶμα). 229) Ἕως. 230) Αὐτούς.
231) Θαυμαστὸς, ἀξιοθέατος. Ἄπαρον πῶς διέφυγε τὴν μνήμην τοῦ Κοραῆ ἡ διόρθωσις αὕτη ἀντὶ τοῦ Θνητός. 232) Ἴδε τὸ Λεξικόν. 233) Τὰ ἐλεγεῖα. 234) Τοὺς ἐν Μαραθῶνι.
235) Ἀπαράλλακτον τῷ τοῦ Ἰσοκρ. (Πανηγυρ. 26): « Ἴσας δὲ τὰς τόλμας παρασχόντες, » οὐχ ὁμοίαις ἐχρήσαντο ταῖς τύχαις ». 236) Κατὰ διόρθ. τοῦ Κορ. ἀντὶ Ὁρίοις.
237) Τῆς ἀρετῆς τοῦ βίου. 238) Ἐλλείπουσιν αἱ δύο αὗται λέξεις εἰς ἅλλας ἐκδόσεις.

ὦ ξεῖν', ἄγγειλον[239] Λακεδαιμονίοις, ὅτι τῇδε
κείμεθα τοῖς κείνων πειθόμενοι νομίμοις,

τοῖς δὲ ὑμετέροις προγόνοις[240],

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι[241],
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

Ταῦτα, ὦ Ἀθηναῖοι, καὶ μνημονεύεσθαι καλὰ, καὶ τοῖς πράξασιν ἔπαινος, καὶ τῇ πόλει δόξα ἀείμνηστος[242]. Ἀλλ' οὐχ ὅ[243] Λεωκράτης πεποίηκεν, ἀλλ' ἐκὼν τὴν ἐξ ἅπαντος τοῦ αἰῶνος συνηθροισμένην τῇ πόλει δόξαν κατῳκτσχυνεν. Ἐὰν μὲν οὖν ἀποκτείνητε αὐτὸν, δόξετε πᾶσι τοῖς Ἕλλησι καὶ ὑμεῖς τὰ τοιαῦτα τῶν ἔργων μισεῖν· εἰ δὲ μὴ, καὶ τοὺς προγόνους τῆς παλαιᾶς δόξης ἀποστερήσετε, καὶ τοὺς ἄλλους πολίτας μεγάλα βλάψετε. Οἱ γὰρ ἐκείνους μὴ θαυμάζοντες τοῦτον πειράσονται μιμεῖσθαι, νομίζοντες ἐκεῖνα μὲν παρὰ τοῖς παλαιοῖς εὐδοκιμεῖν, παρὰ δ' ὑμῖν ἀναίδειαν καὶ προδοσίαν καὶ δειλίαν κεκρίσθαι κάλλιστον.

Εἰ [δὲ] μὴ δύνασθε ὑπ' ἐμοῦ διδαχθῆναι ὃν τρόπον δεῖ πρὸς τοὺς τοιούτους ἔχειν, σκέψασθε ἐκείνους τίνα τρόπον ἐλάμβανον παρ' αὐτῶν τὴν τιμωρίαν· ὥσπερ γὰρ τὰ καλὰ τῶν ἔργων ἠπίσταντο ἐπιτηδεύειν, οὕτω καὶ τὰ πονηρὰ προῤῥοῦντο κολάζειν. Ἐκεῖνοι γὰρ, ὦ ἄνδρες, θεωρήσατε ὡς ὠργίζοντο τοῖς προδόταις, καὶ καινοὺς ἐχθροὺς ἐνόμιζον εἶναι τῆς πόλεως. Φρυνίχου γὰρ ἀποσφαγέντος νύκτωρ παρὰ τὴν κρήνην τὴν ἐν τοῖς Οἰσυοῖς[244] ὑπὸ Ἀπολλοδώρου καὶ Θρασυβούλου, καὶ τούτων ληφθέντων καὶ εἰς τὸ δεσμωτήριον ἀποτεθέντων ὑπὸ τῶν τοῦ Φρυνίχου φίλων, αἰσθανόμενος[245] ὁ δῆμος τὸ γεγονὸς, τούς τε εἰρχθέντας ἐξῆγε καὶ βασάνων γενομένων ἀνέκρινε· καὶ ζητῶν τὸ πρᾶγμα, εὗρε τὸν μὲν Φρύνιχον προδιδόντα τὴν πόλιν, τοὺς δ' ἀποκτείναντας αὐτὸν ἀδίκως εἰρχθέντας· καὶ ψηφίζεται ὁ δῆμος, Κριτίου εἰπόντος, τὸν μὲν νεκρὸν κρίνειν προδοσίας, κἂν δόξῃ προδότης ὢν ἐν τῇ χώρᾳ τεθάφθαι[246], τά τε ὀστᾶ αὐτοῦ ἀνορύξαι καὶ ἐξορίσαι ἔξω τῆς Ἀττικῆς, ὅπως ἂν μὴ κέηται ἐν τῇ χώρᾳ μηδὲ τὰ ὀστᾶ τοῦ τὴν χώραν καὶ τὴν πόλιν προδιδόντος. Ἐψηφίσαντο δὲ [τινες[247]] καὶ ἐὰν ἀπολογῶνταί τινες περὶ τοῦ τετελευτηκότος, ἐὰν ἁλῷ ὁ τεθνηκὼς, ἐνόχους εἶναι καὶ τούτους τοῖς αὐτοῖς ἐπιτιμίοις· οὕτως οὐδὲ βοηθεῖν τοῖς τοὺς ἄλλους ἐγκαταλείπουσιν ἡγοῦντο δίκαιον εἶναι, ἀλλ' ὁμοίως ἂν προδοῦναι τὴν πόλιν καὶ τὸν διασώζοντα τὸν προδότην. Τοιγαροῦν οὕτω μισοῦντες τοὺς ἀδικοῦντας, καὶ τοιαῦτα κατ' αὐτῶν ψηφιζόμενοι, ἀσφαλῶς ἐκ τῶν κινδύνων ἀπηλλάττοντο. Λάβε δὲ αὐτοῖς τὸ ψήφισμα, γραμματεῦ, καὶ ἀνάγνωθι.

ΨΗΦΙΣΜΑ.

Ἀκούετε, ὦ ἄνδρες, τούτου τοῦ ψηφίσματος. Ἔπειτα ἐκεῖνοι μὲν τὰ τοῦ προδότου ὀστᾶ ἀνορύξαντες ἐκ τῆς Ἀττικῆς ἐξώρισαν, καὶ τοὺς ἀπολογου-

---

239) Εἰς τὸν Ἡρόδ. καὶ Σουίδ. φέρεται ὀρθότερον Ἀγγέλλειν. 240) Ἐπὶ τοῖς ἡμ. προγ. ἀναγέγραπται. 241) (Ἐν) Μαραθῶνι. 242) (Ἐνν.) Εἰσὶν ἡ Ἐστίν. 243) Ἐν ἄλλοις Ὅ, ὥπερ ὅμως ἀντιβαίνει ὁ ἐπιφερόμενος Ἀλλά. 244) Ὅπου ἦσαν τὰ ἐργοστάσια τῶν Οἰσυοεργῶν (καλαθοπλόκων κτλ.). 245) Ὀρθότερον Αἰσθόμενος. 246) Καὶ ἂν φανῇ ὅτι, προδότης ὢν, ἐτάφη ἐν τῇ χ. 247) Περιεκλείσθη ὡς περιττὸν.

μένους ὑπὲρ αὐτοῦ Ἀρίσταρχον καὶ Ἀλεξικλέα ἀπέκτειναν καὶ οὐδ' ἐν τῇ χώρᾳ ταφῆναι ἐπέτρεψαν· ὑμεῖς δ' αὐτὸ τὸ σῶμα τὸ προδεδωκὸς τὴν πόλιν ζῶν καὶ ὑποχείριον ἔχοντες τῇ ψήφῳ ἀτιμώρητον ἐάσετε; καὶ τοσοῦτον ἔσεσθέ γε τῶν προγόνων χείρους, ὅσον ἐκεῖνοι μὲν τοὺς λόγῳ μόνῳ τῷ προδότῃ βοηθήσαντας ταῖς ἐσχάταις τιμωρίαις μετῆλθον, ὑμεῖς δὲ αὐτὸν τὸν ἔργῳ καὶ οὐ λόγῳ τὸν δῆμον ἐγκαταλιπόντα ὡς οὐδὲν ἀδικοῦντα ἀφήσετε; μὴ θῆτα, ὦ ἄνδρες δικασταί, ὑμῖν οὗτοι[248] πάτριον, ἀναξίως ὑμῶν αὐτῶν ψηφίζεσθε. Καὶ γὰρ εἰ μέν τι τοιοῦτον γεγονὸς ἦν ψήφισμα, εἶχεν ἄν τις εἰπεῖν ὡς δι' ὀργὴν μᾶλλον ἢ δι' ἀλήθειαν ἐποιήσαντο· ὅταν δὲ παρὰ πάντων ὁμοίως εἰληφότες ὦσι τὴν αὐτὴν τιμωρίαν, πῶς οὐκ εὔδηλον ὅτι φύσει πᾶσι τοῖς τοιούτοις ἔργοις ἐπολέμουν; Ἵππαρχον γὰρ τὸν Τιμάρχου, οὐχ ὑπομείναντα τῆς προδοσίας ἐν τῷ δήμῳ κρίσιν, ἀλλ' ἔρημον τὸν ἀγῶνα ἐάσαντα, θανάτῳ τοῦτον ζημιώσαντες, ἐπειδὴ τῆς ἀδικίας οὐκ ἔλαθον τὸ σῶμα ὅμηρον, τὴν εἰκόνα αὐτοῦ ἐξ ἀκροπόλεως καθελόντες, καὶ συγχωνεύσαντες καὶ ποιήσαντες στήλην, ἐψηφίσαντο εἰς ταύτην ἀναγράφειν τοὺς ἁλιτηρίους καὶ τοὺς προδότας· καὶ αὐτὸς ὁ Ἵππαρχος ἐν ταύτῃ τῇ στήλῃ ἀναγέγραπται, καὶ οἱ ἄλλοι δὲ προδόται. Καί μοι λάβε πρῶτον μὲν τὸ ψήφισμα, καθ' ὃ ἡ εἰκὼν ἡ Ἱππάρχου τοῦ προδότου ἐξ ἀκροπόλεως καθῃρέθη, ἔπειτα τῆς στήλης τὸ ὑπόγραμμα καὶ τοὺς ὕστερον προσαναγραφέντας προδότας εἰς ταύτην τὴν στήλην, καὶ ἀναγίνωσκε γραμματεῦ.

ΨΗΦΙΣΜΑ ΚΑΙ ΥΠΟΓΡΑΜΜΑ ΤΗΣ ΣΤΗΛΗΣ.

Τί δοκοῦσιν ὑμῖν, ὦ ἄνδρες; ἆρά γε ὁμοίως ὑμῖν περὶ τῶν ἀδικούντων γινώσκειν, καὶ οὐκ, ἐπειδὴ καὶ τὸ σῶμα οὐκ ἐδύναντο ὑποχείριον τοῦ προδότου λαβεῖν, τὸ μνημεῖον τοῦ προδότου ἀνελόντες ταῖς ἐνδεχομέναις τιμωρίαις ἐκόλασαν; οὐχ ὅπως τὸν χαλκοῦν ἀνδριάντα συγχωνεύσειαν, ἀλλ' ἵνα τοῖς ἐπιγιγνομένοις παράδειγμα εἰς τὸν λοιπὸν χρόνον ὡς εἶχον πρὸς τοὺς προδότας καταλίπωσιν.

Λαβὲ δ' αὐτοῖς καὶ τὸ ἕτερον ψήφισμα περὶ τῶν εἰς Δεκέλειαν μεταστάντων, ὅτε ὁ δῆμος ὑπὸ Λακεδαιμονίων ἐπολιορκεῖτο, ὅπως εἰδῶσιν ὅτι περὶ τῶν προδοτῶν οἱ πρόγονοι ὁμοίας καὶ ἀκολούθους ἀλλήλαις τὰς τιμωρίας ἐποιοῦντο. Ἀναγίνωσκε, γραμματεῦ.

ΨΗΦΙΣΜΑ.

Ἀκούετε, ὦ ἄνδρες, καὶ τούτου τοῦ ψηφίσματος, ὅτι τῶν ἐν τῷ πολέμῳ μεταστάντων εἰς Δεκέλειαν κατέγνωσαν, καὶ ἐψηφίσαντο, ἐάν τις αὐτῶν ἐπανιὼν ἁλίσκηται, ἀπαγαγεῖν[249] Ἀθηναίων τὸν βουλόμενον πρὸς τοὺς Θεσμοθέτας, παραλαβόντας δὲ παραδοῦναι τῷ ἐπὶ τοῦ ὀρύγματος[250]. Ἔπειτα ἐκεῖνοι μὲν τοὺς ἐν αὐτῇ τῇ χώρᾳ[251] μεταστάντας οὕτως ἐκόλαζον, ὑμεῖς

---

248) Κατὰ διόρθωσιν ἀντὶ Οὗτω· ἡ δὲ ἔννοια Μὴ θῆτα ὦ ἄνδρες δ., ἀναξίως ὑμῶν αὐτῶν ψηφίζεσθε· οὐ γὰρ πάτριον ὑμῖν τοῦτο. 249) Ἴσως διορθωτέον Ἀπάγειν.

250) Τὸ ὄρυγμα τὸ καὶ βάραθρον ἦτον καταβόθρα ὅπου ἐρρίπτοντο οἱ κακοῦργοι· τοιοῦτο εἶχον καὶ εἰς τὴν Σπάρτην, ἀπὸ τοῦ ὁποίου ἐσώθη ὁ Ἀριστομένης. 251) Διότι τὸ φρούριο ἡ Δεκέλεια ἦτον ἐντὸς τῆς Ἀττικῆς, ὅπε τὸ νῦν Τατόϊ.

δὲ τὸν ἐκ τῆς πόλεως καὶ τῆς χώρας ἐν τῷ πολέμῳ φυγόντα εἰς Ῥόδον καὶ προδόντα τὸν δῆμον οὐκ ἀποκτενεῖτε; πῶς οὖν οἴεσθε ἀπόγονοι εἶναι ἐκείνων τῶν ἀνδρῶν;

Ἄξιον τοίνυν ἀκοῦσαι καὶ τοῦ περὶ τοῦ ἐν Σαλαμῖνι τελευτήσαντος[251] γενομένου ψηφίσματος, ὃν ἡ βουλὴ, ὅτι λόγῳ μόνῳ ἐνεχείρει προδιδόναι τὴν πόλιν, περιελομένη τοὺς στεφάνους[252], αὐτοχειρὶ ἀπέκτεινεν.

ΨΗΦΙΣΜΑ.

Γενναῖόν γε, ὦ ἄνδρες, τὸ ψήφισμα καὶ ἄξιον τῶν ὑμετέρων προγόνων! δικαίως· συγγενεῖς γὰρ οὐ μόνον τὰς ψυχὰς, ἀλλὰ καὶ τὰς τῶν ἀδικούντων τιμωρίας ἐκέκτηντο[253].

Τί οὖν, ὦ ἄνδρες; ἆρά γε ὑμῖν δοκεῖ βουλομένοις μιμεῖσθαι τοὺς προγόνους πάτριον εἶναι Λεωκράτην μὴ ἀποκτεῖναι; ὁπότε γὰρ[254] ἐκεῖνοι ἀνάστατον τὴν πόλιν οὖσαν τὸν λόγῳ μόνῳ προδιδόντα οὕτως ἀπέκτειναν, τί ὑμᾶς προσήκει τὸν ἔργῳ καὶ οὐ λόγῳ τὴν οἰκουμένην ἐκλιπόντα ποιῆσαι; ἆρ' οὐχ ὑπερβαλέσθαι ἐκείνους ταῖς τιμωρίαις; Καὶ ὅτ' ἐκεῖνοι τοὺς ἐπιχειρήσαντας τῆς παρὰ τοῦ δήμου σωτηρίας ἀποστερεῖν αὐτοὺς[255] οὕτως ἐκόλασαν, τί ὑμᾶς προσήκει τὸν αὐτοῦ τοῦ δήμου τὴν σωτηρίαν προδόντα ποιῆσαι; καὶ ὅτε ὑπὲρ τῆς δόξης[256] ἐκεῖνοι τοὺς αἰτίους οὕτως ἐτιμωροῦντο, τί ὑμᾶς ὑπὲρ τῆς πατρίδος προσήκει ποιεῖν;

Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τὴν τῶν προγόνων γνῶναι διάνοιαν, ὡς εἶχον πρὸς τοὺς παρανομοῦντας εἰς τὴν πόλιν· οὐ μὴν ἀλλ' ἔτι βούλομαι τῆς ξήλης ἀκοῦσαι ὑμᾶς τῆς ἐν τῷ βουλευτηρίῳ περὶ τῶν προδοτῶν καὶ τῶν τὸν δῆμον καταλυόντων· τὸ γὰρ μετὰ πολλῶν παραδειγμάτων διδάσκειν ῥᾴδίαν ὑμῖν τὴν κρίσιν καθίστησι. Μετὰ γὰρ τοὺς τριάκοντα οἱ πατέρες ὑμῶν, πεπονθότες ὑπὸ τῶν πολιτῶν[257] οἷα οὐδεὶς πώποτε τῶν Ἑλλήνων ἠξίωσε, καὶ μόλις εἰς τὴν ἑαυτῶν κατελήλυθότες, ἁπάσας τὰς ὁδοὺς τῶν ἀδικημάτων ἐνέφραξαν, πεπειραμένοι καὶ εἰδότες τὰς ἀρχὰς καὶ τὰς ἐφόδους τῶν τὸν δῆμον προδιδόντων. Ἐψηφίσαντο γὰρ καὶ ὤμοσαν, ἐάν τις τυραννίδι ἐπιτιθῆται ἢ τὴν πόλιν προδιδῷ ἢ τὸν δῆμον καταλύῃ, τὸν αἰσθανόμενον καθαρὸν[258] εἶναι ἀποκτείναντα, καὶ κρεῖττον ἔδοξεν αὐτοῖς τοὺς τὴν αἰτίαν ἔχοντας τεθνάναι μᾶλλον, ἢ πειραθέντας μετὰ ἀληθείας αὐτοὺς δουλεύειν. Ἀρχὴν[259] γὰρ οὕτως ᾤοντο δεῖν ζῆν τοὺς πολίτας, ὥστε μηδ' εἰς ὑποψίαν ἐλθεῖν μηδένα τούτων τῶν ἀδικημάτων. Καί μοι λάβε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ[260].

Ταῦτα ὦ ἄνδρες ἔγραψαν εἰς τὴν στήλην, καὶ ταύτην ἔστησαν εἰς τὸ βου-

---

251) Λυκίδης ἐκαλεῖτο οὗτος, εἷς τῶν βουλευτῶν, προτείνας νὰ δεχθῶσι τὰς προτάσεις τοῦ Μαρδονίου· κατελιθοβόλησαν δὲ καὶ τὴν γυναῖκά του καὶ τὰ τέκνα του αἱ γυναῖκες καὶ τὰ τέκνα τῶν Ἀθηναίων, ἴδε τὸν Ἡρόδ. (Θ', ε, ς'.). Κατὰ δὲ τὸν Δημοσθ. (Περὶ Στεφ.), ὠνομάζετο Κυρσίλος, ὅπερ εὕρηται καὶ Μυρσίλος. 252) Τοὺς ὁποίους ἐφόρει καθὸ βουλευτής.
253) Οἱ τότε ψηφισάμενοι, πρὸς τοὺς προγόνους. 254) Αἰτιολογεῖ τὴν ὑπονοουμένην ἀπόκρισιν· Οὐ πάτριον 255) Ἐννοεῖ δὲ φαίνεται τοὺς ἐς Δεκέλειαν μεταστάντας.
256) Τῆς ὑπολήψεως τῆς πόλεως. 257) Ὁ Κορ. διορθῶν ἐπεβάλετο· Πολιτευομένων.
258) Ἀθῶον, μὴ ἐνεχόμενον φόνου μιάσματι. 259) Ἐπιρρηματικῶς ἐν γένει, καθάπαξ· παντάπασι. 260) Ἴδε τὸ ψήφισμα ἐν τῷ Περὶ μυστηρίων τοῦ Ἀνδοκίδου.

λευτήριον ὑπόμνημα τοῖς καθ' ἑκάστην ἡμέραν συνιοῦσι καὶ βουλευομένοις ὑπὲρ τῆς πατρίδος, ὡς δεῖ πρὸς τοὺς τοιούτους ἔχειν. Καὶ διὰ τοῦτο ἄν τις αἴσθηται μόνον μέλλοντας αὐτοὺς τούτων τι ποιεῖν, ἀποκτείνειν συνώμοσαν εἰκότως. Τῶν μὲν γὰρ ἄλλων ἀδικημάτων ὑστέρας δεῖ τετάχθαι τὰς τιμωρίας, προδόσίας δὲ καὶ δήμου καταλύσεως προτέρας. Εἰ γὰρ προήσεσθε τοῦτον τὸν καιρόν, ἐν ᾧ μέλλουσιν ἐκεῖνοι κατὰ τῆς πατρίδος φαῦλόν τι πράττειν, οὐκ ἔστιν ὑμῖν μετὰ ταῦτα δίκην παρ' αὐτῶν ἀδικούντων λαβεῖν· κρείττους γὰρ ἤδη γίνονται τῆς παρὰ τῶν ἀδικουμένων τιμωρίας.

Ἐνθυμεῖσθε τοίνυν, ὦ ἄνδρες, τῆς προνοίας ταύτης καὶ τῶν ἔργων ἀξίως[201], καὶ μὴ ἐπιλανθάνεσθε ἐν τῇ ψήφῳ οἵων ἀνδρῶν ἔκγονοί ἐστε, ἀλλὰ παρακελεύεσθε ὑμῖν αὐτοῖς ὅπως ὅμοια ἐκείνοις καὶ ἀκόλουθα ἐν τῇ τήμερον ἡμέρᾳ ἐψηφισμένοι ἐκ τοῦ δικαστηρίου ἐξίητε. Ὑπομνήματα δ' ἔχετε καὶ παραδείγματα τῆς ἐκείνων τιμωρίας τὰ ἐν τοῖς περὶ τῶν ἀδικούντων ψηφίσμασιν ὡρισμένα· διομωμόκατε δ' ἐν τῷ ψηφίσματι τῷ Δημοφάντου κτείνειν τὸν τὴν πατρίδα προδιδόντα καὶ λόγῳ καὶ ἔργῳ καὶ χειρὶ καὶ ψήφῳ. Μὴ γὰρ οἴεσθε τῶν μὲν οὐσιῶν ἃς ἂν οἱ πρόγονοι καταλίπωσι κληρονόμοι εἶναι, τῶν δὲ ὅρκων καὶ τῆς πίστεως ἣν ὄντες οἱ πατέρες ὑμῶν ὅμηρον τοῖς θεοῖς τῆς κοινῆς εὐδαιμονίας τῆς πόλεως μετεῖχον, ταύτης δὲ μὴ κληρονομεῖν.

Οὐ μόνον τοίνυν ἡ πόλις ὑμῶν οὕτως ἔσχε πρὸς τοὺς προδιδόντας, ἀλλὰ καὶ Λακεδαιμόνιοι. (Καὶ μή μοι ἀχθεσθῆτε, ὦ ἄνδρες, εἰ πολλάκις μέμνημαι τῶν ἀνδρῶν τούτων· καλὸν γάρ ἐστι πόλεως εὐνομουμένης περὶ τῶν δικαίων παραδείγματα λαμβάνειν· ἀσφαλέστερον γὰρ ἕκαστος ὑμῶν τὴν δικαίαν καὶ τὴν εὔορκον ψῆφον θήσεται). Παυσανίαν γὰρ τὸν βασιλέα αὐτῶν προδιδόντα τῷ Πέρσῃ τὴν Ἑλλάδα λαβόντες, ἐπειδὴ ἔφθασε καταφυγὼν εἰς τὸ τῆς Χαλκιοίκου ἱερόν, τὴν θύραν ἀνοικοδομήσαντες καὶ τὴν ὀροφὴν ἀποσκευάσαντες καὶ κύκλῳ περιστρατοπεδεύσαντες, οὐ πρότερον ἀπῆλθον πρὶν ἢ τῷ λιμῷ ἀπέκτειναν, καὶ πᾶσιν ἐπίσημον ἐποίησαν τὴν τιμωρίαν, ὅτι οὐδ' αἱ παρὰ τῶν θεῶν ἐπικουρίαι τοῖς προδόταις βοηθοῦσιν, εἰκότως. Οὐδὲν γὰρ πρότερον ἀδικοῦσιν ἢ περὶ τοὺς θεοὺς ἀσεβοῦσι[202] τῶν πατρίων νομίμων αὐτοὺς ἀποστεροῦντες. Μέγιστον δὲ τῶν ἐκεῖ γεγενημένων τεκμήριόν ἐστιν ὃ μέλλω λέγειν· νόμον γὰρ ἔθεντο περὶ ἁπάντων τῶν μὴ θελόντων ὑπὲρ τῆς πατρίδος κινδυνεύειν διαρρήδην λέγοντα ἀποθνήσκειν, εἰς αὐτὸ τοῦτο τὴν τιμωρίαν τάξαντες εἰς ὃ μάλιστα φοβούμενοι τυγχάνουσι, καὶ τὴν ἐκ τοῦ πολέμου σωτηρίαν ὑπεύθυνον κινδύνῳ ἐποίησαν μετ' αἰσχύνης. Ἵνα δὲ εἰδῆτε ὅτι οὐ λόγον ἀναπόδεικτον εἴρηκα, ἀλλὰ μετ' ἀληθείας παραδείγματα, φέρε αὐτοῖς τὸν νόμον.

ΝΟΜΟΣ.

Ἐνθυμεῖσθε δὴ ὡς καλὸς ὁ νόμος, ὦ ἄνδρες, καὶ σύμφορος οὐ μόνον ἐκείνοις ἀλλὰ καὶ τοῖς ἄλλοις ἀνθρώποις. Ὁ γὰρ παρὰ τῶν πολιτῶν φόβος

---

201) Ἀξίως τῆς προνοίας καὶ τῶν ἔργων. 202) Τὸ πρώτιστον ὧν ἀδικοῦσίν ἐστιν ἡ περὶ τοὺς θεοὺς ἀσέβεια.

ἰσχυρὸς ὢν ἀναγκάσει τοὺς πρὸς τοὺς πολεμίους κινδύνους ὑπομένειν. Τίς γὰρ ὁρῶν θανάτῳ ζημιούμενον τὸν προδότην, ἐν τοῖς κινδύνοις ἐκλείψει τὴν πατρίδα; ἢ τίς παρὰ τὸ συμφέρον τῆς πόλεως φιλοψυχήσει, εἰδὼς ὑποκειμένην αὐτῷ τιμωρίαν; Οὐδεμίαν γὰρ ἄλλην δεῖ[205] ζημίαν εἶναι τῆς δειλίας ἢ θάνατον. Εἰδότες γὰρ ὅτι, δυοῖν κινδύνοιν ὑποκειμένοιν, ἀναγκαῖον ἔσται θατέρου μετασχεῖν, πολὺ μᾶλλον αἱρήσονται τὸν πρὸς τοὺς πολεμίους ἢ τὸν πρὸς τοὺς νόμους καὶ τοὺς πολίτας.

Τοσούτῳ δ' ἂν δικαιότερον οὗτος ἀποθάνοι τῶν ἐκ τῶν στρατοπέδων φευγόντων, ὅσον οἱ μὲν εἰς τὴν πόλιν ἥκουσιν ὡς ὑπὲρ ταύτης μαχούμενοι ἢ κοινῇ μετὰ τῶν ἄλλων πολιτῶν συνατυχοῦντες, οὗτοσὶ δ' ἐκ τῆς πατρίδος ἔφυγεν ἰδίᾳ τὴν σωτηρίαν περιζόμενος, οὐδὲ ὑπὲρ τῆς ἰδίας ἑστίας[205a] ἀμύνεσθαι τολμήσας, ἀλλὰ μόνος οὗτος τῶν πάντων ἀνθρώπων καὶ τὰ τῆς φύσεως οἰκεῖα καὶ ἀναγκαῖα προδέδωκεν, ἃ καὶ τοῖς ἀλόγοις ζώοις μέγιστα καὶ σπουδαιότατα διείληπται. Τὰ γοῦν ζῶα τὰ πετεινά, ἃ μάλιστα πέφυκε πρὸς τάχος, ἔστιν ἰδεῖν ὑπὲρ τῆς αὐτῶν νεοττιᾶς ἐθέλοντα ἀποθνήσκειν. Ὅθεν καὶ τῶν ποιητῶν τινες εἰρήκασιν,

> Οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον,
> ἄλλῃ νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν.

Ἀλλὰ Λεωκράτης τοσοῦτον ὑπερβέβληκε δειλίᾳ, ὥστε τὴν πατρίδα τοῖς πολεμίοις ἐγκατέλιπε. Τοιγαροῦν οὐδεμία πόλις αὐτὸν εἴασε παρ' αὐτῇ μετοικεῖν, ἀλλὰ μᾶλλον τῶν ἀνδροφόνων ἠλαυνεν. εἰκότως· οἱ μὲν γὰρ φόνου φεύγοντες, εἰς ἑτέραν πόλιν μεταστάντες, οὐκ ἔχουσιν ἐχθροὺς τοὺς ὑποδεξαμένους· τοῦτον δὲ τίς ἂν ὑποδέξαιτο πόλις; ὃς γὰρ ὑπὲρ τῆς αὐτοῦ πατρίδος οὐκ ἐβοήθησε, ταχύ γε ἂν[205] ὑπὲρ τῆς ἀλλοτρίας κινδύνου τινα ὑπομείνειε. Κακοὶ γὰρ καὶ πολῖται καὶ ξένοι καὶ ἰδίᾳ φίλοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων εἰσίν, οἳ τῶν μὲν ἀγαθῶν τῶν τῆς πόλεως μεθέξουσιν, ἐν δὲ ταῖς ἀτυχίαις οὐδὲ βοηθείας ἀξιώσουσι. Καίτοι τὸν ὑπὸ τῶν μηδὲν ἀδικουμένων μισούμενον καὶ ἐξελαυνόμενον τί δεῖ παθεῖν ὑφ' ὑμῶν τῶν τὰ δεινότατα πεπονθότων; ἆρ' οὐ τῆς ἐσχάτης τιμωρίας τυγχάνειν; Καὶ μήν, ὦ ἄνδρες τῶν πώποτε προδοτῶν δικαιότατ' ἂν Λεωκράτης, εἴ τις μείζων εἴη τιμωρία θανάτου, ταύτην ὑπόσχοι. Οἱ μὲν γὰρ ἄλλοι προδόται, μέλλοντες ἀδικεῖν, ὅταν μὴ φθῶσι[206], τιμωρίαν ὑπέχουσιν· οὗτος δὲ μόνος, διαπεπραγμένος ὅπερ ἐπεχείρησε, τὴν πόλιν ἐγκαταλιπὼν κρίνεται.

Θαυμάζω δὲ καὶ τῶν συνηγορεῖν αὐτῷ μελλόντων, διὰ τί ποτε τοῦτον ἀξιώσουσιν ἀποφυγεῖν. Πότερον διὰ τὴν πρὸς αὐτοὺς φιλίαν; ἀλλ' ἔμοι γε δοκοῦσι δικαίως οὐκ ἂν χάριτος τυχεῖν, ἀλλ' ἀποθανεῖν, ὅτι χρῆσθαι[207] τούτῳ τολμῶσι. Πρὶν μὲν γὰρ τοῦτο πρᾶξαι Λεωκράτην, ἄδηλον ἦν ὁποῖοί

---

205) Ἐν ἄλλοις ἐλλείπει τὸ Δεῖ, ἔστικται δὲ ἡ φράσις μετὰ τὸ εἰδότες, καὶ ἀντὶ τοῦ Γὰρ εἶνε Καί. 205a) Οἰκίας, συνεκδοχικῶς ἀπὸ τοῦ μέρους τὸ ὅλον. 205b) Πολλοῦ γε δεῖ. 206) Κατὰ διόρθωσιν ἀντὶ Δηφθῶσι. Ἡ δὲ παράφρασις τοῦ Κοραῆ οὐκ ἔρρωται, παραφραστέον γὰρ οἶμαι μᾶλλον ὧδέ πως· Οἱ μὲν ἄλλοι προδ., μέλλοντες ἀδικεῖν, τότε μόνον τιμωροῦνται, ὅταν μὴ φθῶσι διαπράξαντες τὴν προδοσίαν. Τίς γὰρ ἂν τότε τούτους καὶ τιμωρήσαιτο, προδεδομένων τῶν ἐχόντων συμφέρον πρὸς τοῦτο; οὗτος δὲ καὶ προδέδωκε, καὶ ἐπανελθὼν κρίνεται. 207) Φίλῳ.

τινες ὄντες ἐτύγχανον, νῦν δὲ πᾶσι φανερὸν ὅτι τοῖς αὐτοῖς ἤθεσι χρώμενοι τὴν πρὸς τοῦτον φιλίαν διαφυλάττουσιν· ὥστε πολὺ πρότερον ὑπὲρ αὐτῶν αὐτοῖς ἐστιν ἀπολογητέον, ἢ τοῦτον παρ' ὑμῶν ἐξαιτητέον.

Ἡγοῦμαι δ' ἔγωγε καὶ τὸν πατέρα αὐτῷ τὸν τετελευτηκότα, (εἴ τις ἄρα ἐστὶν αἴσθησις τοῖς ἐκεῖ περὶ τῶν ἐνθάδε γιγνομένων) ἁπάντων ἂν χαλεπώτατον γενέσθαι δικαστήν, οὐ τὴν χαλκῆν εἰκόνα ἕκοτον κατέλιπε τοῖς πολεμίοις ἐν τῷ τοῦ Διὸς τοῦ Σωτῆρος ἱεροσυλῆσαι[268] καὶ αἰκίσασθαι[269], καὶ ἣν ἐκεῖνος ἔστησε μνημεῖον τῆς αὐτοῦ μετριότητος, ταύτην αὐτὸς ἐπονειδιστον ἐποίησε· τοιούτου γὰρ υἱοῦ πατὴρ προσαγορεύεται. Διὸ καὶ πολλοί μοι προσεληλύθασιν, ὦ ἄνδρες, ἐρωτῶντες διὰ τί οὐκ ἐνέγραψα τοῦτο εἰς τὴν εἰσαγγελίαν, προδεδωκέναι[270] τὴν εἰκόνα τὴν τοῦ πατρὸς, τὴν ἐν τῷ τοῦ Διὸς τοῦ Σωτῆρος ἀνακειμένην. Ἐγὼ δὲ, ὦ ἄνδρες, οὐκ ἠγνόουν τοῦτο τὸ ἀδίκημα ἄξιον τῆς μεγίστης τιμωρίας, ἀλλ' οὐχ ἡγούμην δεῖν περὶ προδοσίας τοῦτον κρίνων, ὄνομα Διὸς Σωτῆρος ἐπιγράψαι πρὸς τὴν εἰσαγγελίαν[271]. Ἐκπέπληγμαι δὲ μάλιστα ἐπὶ τοῖς μήτε γένει μήτε φιλίᾳ μηδὲν προσήκουσι, μισθοῦ δὲ συναπολογουμένοις ἀεὶ τοῖς κρινομένοις, ἐλελήθασιν ὑμᾶς τῆς ἐσχάτης ὀργῆς δικαίως ἂν τυγχάνοντες. Τὸ γὰρ ὑπὲρ τῶν ἀδικημάτων ἀπολογεῖσθαι τεκμήριόν ἐστιν ὅτι καὶ τῶν πεπραγμένων οἱ τοιοῦτοι ἂν μετάσχοιεν. Οὐ γὰρ δὴ καθ' ὑμῶν γεγενῆσθαι δεῖ[272], ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῶν νόμων καὶ τῆς δημοκρατίας.

Καίτοι τινὲς αὐτῶν οὐκ ἔτι τοῖς λόγοις ὑμᾶς παρακρούσασθαι ζητοῦσιν ἀλλ' ἤδη ταῖς αὐτῶν λειτουργίαις[273] ἐξαιτεῖσθαι τοὺς κρινομένους ἀξιώσουσιν· ἐφ' οἷς ἔγωγε καὶ μάλιστ' ἀγανακτῶ. Εἰς γὰρ τὸν ἴδιον οἶκον αὐτὰ περιποιησάμενοι, κοινὰς χάριτας ὑμᾶς ἀπαιτοῦσιν. Οὐ γὰρ εἴτις ἱπποτερότροφηκεν ἢ κεχορήγηκε λαμπρῶς ἢ τῶν ἄλλων τῶν τοιούτων τι δεδαπάνηκεν, ἄξιός ἐστι παρ' ὑμῶν τοιαύτης χάριτος (ἐπὶ τούτοις γὰρ αὐτὸς μόνος στεφανοῦται, τοὺς ἄλλους οὐδὲν ὠφελῶν)· ἀλλ' εἴτις τετρηράρχηκε λαμπρῶς ἢ τείχη τῇ πατρίδι περιέβαλεν, ἢ πρὸς τὴν κοινὴν σωτηρίαν ἐκ τῶν ἰδίων συνεπόρησε· ταῦτα γάρ ἐστι κοινῶς ὑπὲρ ἡμῶν ἁπάντων, καὶ ἐν μὲν τούτοις ἐστὶν ἰδεῖν τὴν ἀρετὴν τῶν ἐπιδεδωκότων, ἐν ἐκείνοις δὲ τὴν εὐπορίαν μόνον τῶν δεδαπανηκότων. Ἡγοῦμαι δ' ἔγωγε οὐδένα ἂν οὕτω μεγάλην τὴν πόλιν εὐηργετηκέναι, ὥστ' ἐξαίρετον ἀξιοῦν λαμβάνειν χάριν τὴν κατὰ τῶν προδιδόντων τιμωρίαν, οὐδ' οὕτως ἀνόητον ὥστε φιλοτιμεῖσθαι μὲν πρὸς τὴν πόλιν, τούτῳ δὲ βοηθεῖν ὃς αὐτοῦ πρώτου[274] τὰς φιλοτιμίας ἠφάνισεν· εἰ μή, νὴ Δία, μὴ ταὐτὰ τῇ πατρίδι καὶ τούτοις ἐστὶ συμφέροντα.

Ἐχρῆν μὲν οὖν, ὦ ἄνδρες, εἰ καὶ περὶ οὐδενὸς ἄλλου νόμιμόν ἐστι παῖδας καὶ γυναῖκας παρακαθισαμένους ἑαυτοῖς τοὺς δικαστὰς δικάζειν, ἀλλ' οὔγε περὶ προδοσίας κρίνοντας οὕτως ὅσιον εἶναι τοῦτο πράττειν, ὅπως ὁπό-

---

268) Ἡ γραπτέον· Ἱερῷ συλῆσαι, ἢ ὑπεννοητέον τὴν δοτικὴν, ἐλλείπουσαν ἐκ κατωτέρω. 269) Ἀκρωτηριάσαι. περικόψαι. 270) Ὡς ἐπεξήγησις τοῦ Τοῦτο. 271) Ἦν γὰρ ἂν καλὸς οἰωνὸς αὐτῷ πρὸς σωτηρίαν. 272) Κατὰ διόρθωσιν, ἀντὶ Δεινόν. 273) (Ἐπὶ) ταῖς αὐτῶν λειτουργίαις, ὡς ἀμοιβὴν τῶν πρὸς τὴν πόλιν λειτουργιῶν ἐξαιτοῦνται τὴν ἄφεσιν τῶν κρινομένων. 274) Τοῦ εὐεργετήσαντος.

σοι τοῦ κινδύνου μετεῖχον, ἐν ὀφθαλμοῖς ὄντες καὶ ὁρώμενοι, καὶ ἀναμιμνήσκοντες ὅτι τοῦ κοινοῦ παρὰ πᾶσιν ἐλέου[276] οὐκ ἠξιώθησαν, πικροτέρας τὰς γνώσεις[276] κατὰ τοῦ ἀδικοῦντος παρασκευάζωσιν. Ἐπειδὴ δ' οὐ νόμιμον οὐδ' εἰθισμένον ἐστίν, ἀλλ'[277] ἀναγκαῖον ὑμᾶς ὑπὲρ ἐκείνων δικάζειν, τιμωρησάμενοι οὖν Λεωκράτην καὶ ἀποκτείναντες αὐτόν, ἀπαγγείλατε τοῖς ὑμετέροις αὐτῶν παισὶ καὶ γυναιξὶν ὅτι ὑποχείριον λαβόντες τὸν προδότην αὐτῶν ἐτιμωρήσασθε. Καὶ γὰρ δεινὸν καὶ σχέτλιον, ὅταν νομίζῃ δεῖν Λεωκράτης ἴσον ἔχειν ὁ φυγὼν ἐν τῇ τῶν μεινάντων πόλει, καὶ ὁ μὴ κινδυνεύσας ἐν τῇ τῶν παραταξαμένων, καὶ ὁ μὴ διαφυλάξας ἐν τῇ τῶν σωσάντων· ἀλλ' ἥκῃ ἱερῶν, ὁσίων, ἀγορᾶς, νόμων, πολιτείας μεθέξων, ὑπὲρ ὧν τοῦ μὴ καταλυθῆναι[278] χίλιοι τῶν ὑμετέρων πολιτῶν ἐν Χαιρωνείᾳ ἐτελεύτησαν, καὶ δημοσίᾳ αὐτοὺς ἡ πόλις ἔθαψεν. Ὧν οὗτος οὐδὲ τὰ ἐλεγεῖα τὰ ἐπιγεγραμμένα τοῖς μνημείοις[278*] ἐπανιὼν εἰς τὴν πόλιν ᾠδέσθη, ἀλλ' οὕτως ἀναιδῶς ἐν τοῖς ὀφθαλμοῖς τῶν πενθησάντων τὰς ἐκείνων συμφορὰς ἡγεῖται δεῖν ἀναστρέφεσθαι. Καὶ αὐτίκα μάλ' ὑμᾶς ἀξιώσει ἀκούειν αὐτοῦ ἀπολογουμένου κατὰ τοὺς νόμους· ὑμεῖς δ' ἐρωτᾶτε αὐτόν, ποίους; οὓς ἐγκαταλιπὼν ᾤχετο; Καὶ ἐάσετε αὐτὸν οἰκεῖν ἐν τοῖς τείχεσι τῆς πατρίδος· ποίοις; ἃ μόνος τῶν πολιτῶν οὐ συνδιεφύλαξε; Καὶ ἐπικαλέσεται τοὺς θεοὺς σώσοντας αὐτὸν ἐκ τῶν κινδύνων· τίνας; οὐχ ὧν τοὺς νεὼς καὶ τὰ ἕδη καὶ τὰ τεμένη προὔδωκεν; Καὶ δεήσεται καὶ ἱκετεύσει ἐλεῆσαι αὐτόν· τίνων[279]; οὐχ οἷς[280] τὸν αὐτὸν ἔρανον εἰς τὴν σωτηρίαν εἰσενεγκεῖν οὐκ ἐτόλμησεν; Ῥοδίους ἱκετευέτω· τὴν γὰρ ἀσφάλειαν ἐν τῇ ἐκείνων πόλει μᾶλλον ἢ ἐν τῇ ἑαυτοῦ πατρίδι ἐνόμισεν εἶναι. Ποία δὲ ἡλικία δικαίως ἂν τοῦτον ἐλεήσειε; πότερον ἡ τῶν πρεσβυτέρων; ἀλλ' οὐδὲ γηροτροφηθῆναι οὐδ' ἐν ἐλευθέρῳ ἐδάφει τῆς πατρίδος αὐτοῖς ταφῆναι τὸ καθ' αὑτὸν μέρος παρέδωκεν. Ἀλλ' ἡ τῶν νεωτέρων; καὶ τίς, ἀναμνησθεὶς τῶν ἡλικιωτῶν τῶν ἐν Χαιρωνείᾳ ἑαυτοῖς συμπαραταξαμένων καὶ τῶν κινδύνων τῶν αὐτῶν μετασχόντων, σώσειε τὸν τὰς ἐκείνων θήκας προδεδωκότα, καὶ τῇ αὐτῇ ψήφῳ τῶν μὲν ὑπὲρ τῆς ἐλευθερίας τελευτησάντων παράνοιαν καταγνοίη, τὸν δὲ καταλιπόντα τὴν πατρίδα ὡς εὖ φρονοῦντα ἀθῶον ἀφήσει; Ἐξουσίαν ἄρα δώσετε τῷ βουλομένῳ καὶ λόγῳ καὶ ἔργῳ τὸν δῆμον καὶ ὑμᾶς κακῶς ποιεῖν. Οὐ γὰρ μόνον νῦν οἱ φεύγοντες κατέρχονται, ὅταν ὁ ἐγκαταλιπὼν τὸν πόλιν καὶ φυγὴν αὐτὸς ἑαυτοῦ καταγνοὺς καὶ οἰκήσας ἐν Μεγάροις ἐπὶ προσάτου πλείω πέντ' ἢ ἓξ ἔτη ἐν τῇ χώρᾳ καὶ ἐν τῇ πόλει ἀναστρέφηται, ἀλλὰ καὶ ὁ μηλόβοτον τὴν Ἀττικὴν εἶναι φανερᾷ τῇ ψήφῳ καταψηφισάμενος[281], οὗτος ἐν ταύτῃ τῇ χώρᾳ σύνοικος ὑμῶν γενήσεται.

Βούλομαι δ' ἔτι βραχέα πρὸς ὑμᾶς εἰπὼν καταβῆναι, καὶ τὸ ψήφισμα τοῦ δήμου παρασχόμενος ὃ περὶ εὐσεβείας ἐποιήσατο· χρήσιμον γὰρ ὑμῖν ἐστι τοῖς μέλλουσι τὴν ψῆφον φέρειν. Καί μοι λέγε τὸ αὐτό[282] ψήφισμα.

---

276) Κοινῶς γὰρ ἅπαντες ἐλεοῦσι τοὺς παῖδας καὶ τὰς γυναῖκας. 276) Τὰς κρίσεις, τὰς ἀποφάσεις. 277) Ὁ Κορ. διέγραψε τὸν Ἀλλά. 278) Σημειωτέα ἡ κατ' ἐφελκυσμὸν αὕτη φράσις. 278*) Ἴδε τὸ ἐν ἡρωελεγείῳ τῷ μέτρῳ τοῦτο ἐπίγραμμα ἐν τῷ περὶ Στεφάνου τοῦ Δημοσθ. (§. ρλς'). 279) Ἡ γενικὴ εἰς τὸ Δεήσεται. 280) Ἐκείνων, οἷς· ἡ δὲ δοτικὴ διὰ τὸ τὸν αὐτόν. 281) Ἐλάνθας ἡ Ἡριανθας ἐκαλεῖτο οὗτος, Θηβαῖος, περὶ οὗ ἴδε Ξενοφ. (Ἑλλην. ΙΔ', 2 καὶ 19.). 282) Ὁ Κορ. ἔγραψεν Αὐτὸ τό.

ΨΗΦΙΣΜΑ.

Ἐγὼ μὲν τοίνυν μηνύω[285] τὸν ἀφανίζοντα ταῦτα πάντα[286] πρὸς ὑμᾶς τοὺ
κυρίους ὄντας κολάσαι, ὑμέτερον δέ ἐστι καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν
τιμωρήσασθαι Λεωκράτην. Τὰ γὰρ ἀδικήματα, ἕως μὲν ἂν ᾖ ἄκριτα, παρὰ
τοῖς πράξασίν ἐστιν· ἐπειδὰν δὲ κρίσις γένηται, παρὰ τοῖς μὴ δικαίως ἐπ
ἐξελθοῦσιν. Εὖ δὲ ἴστε, ὦ ἄνδρες, ὅτι νῦν κρύβδην ψηφιζόμενος ἕκαστος ὑμῶν
φανερὰν ποιήσει τὴν αὑτοῦ διάνοιαν τοῖς θεοῖς. Ἡγοῦμαι δὲ, ὦ ἄνδρες, ὑπὲρ
ἁπάντων τῶν μεγίστων καὶ δεινοτάτων ἀδικημάτων μίαν ὑμᾶς ψῆφον ἐν τῇ
τήμερον ἡμέρᾳ φέρειν, οἷς[287] ἅπασιν ἔνοχον ὄντα Λεωκράτην ἔστιν ἰδεῖν
προδοσίας μὲν, ὅτι τὴν πόλιν ἐγκαταλιπὼν τοῖς πολεμίοις ὑποχείριον ἐποίη
σε· δήμου δὲ καταλύσεως, ὅτι οὐχ ὑπέμεινε τὸν ὑπὲρ τῆς ἐλευθερίας κίν
δυνον· ἀσεβείας δ', ὅτι τοῦ τὰ τεμένη τέμνεσθαι καὶ τοὺς νεὼς κατασκά
πτεσθαι τὸ καθ' ἑαυτὸν γέγονεν αἴτιος· τοκέων δὲ κακώσεως, [ὅτι] τὰ μνη
μεῖα αὐτῶν ἀφανίζων καὶ τῶν νομίμων ἀποστερῶν· λειποταξίου δὲ καὶ
ἀστρατείας, οὐ παρασχὼν τὸ σῶμα τάξαι τοῖς στρατηγοῖς. Ἔπειτα τούτο
τίς ἀποψηφιεῖται, καὶ συγγνώμην ἕξει τῶν κατὰ προαίρεσιν ἀδικημάτων
καὶ τοσοῦτον ἔρως ἀνόητος, ὥστε, τοῦτον σώζων, τὴν ἑαυτοῦ σωτηρίαν προέ
σθαι τοῖς ἐγκαταλιπεῖν βουλομένοις; καὶ τοῦτον ἐλεήσας αὐτὸς ἀνελεήτο
ὑπὸ τῶν πολεμίων ἀπολέσθαι προαιρήσεται; καὶ τῷ προδότῃ τῆς πατρίδο
χάριν θέμενος ὑπεύθυνος εἶναι τῇ παρὰ τῶν θεῶν τιμωρίᾳ;

Ἐγὼ μὲν οὖν καὶ τῇ πατρίδι βοηθῶν καὶ τοῖς ἱεροῖς καὶ τοῖς νόμοις
ἀποδέδωκα τὸν ἀγῶνα[288] ὀρθῶς καὶ δικαίως, οὔτε τῶν ἄλλων τούτου βία
διαβαλὼν, οὔτ' ἔξω τοῦ πράγματος οὐδὲν κατηγορήσας. Ὑμῶν δ' ἕκαστο
χρὴ νομίζειν, τὸν Λεωκράτους ἀποψηφιζόμενον, θάνατον τῆς πατρίδος κα
ἀνδραποδισμὸν καταψηφίζεσθαι, καὶ δυοῖν καδίσκοιν[289] κειμένοιν, τοῦ μὲ
προδοσίας, τοῦ δὲ σωτηρίας εἵνεκα, τὰς ψήφους φέρεσθαι, τὰς μὲν[288] ὑπὲ
ἀναστάσεως τῆς πατρίδος, τὰς δὲ[289] ὑπὲρ ἀσφαλείας καὶ τῆς ἐν τῇ πόλ
εὐδαιμονίας. Ἐὰν μὲν[290] Λεωκράτην ἀπολύσητε, προδιδόναι τὴν πόλιν καὶ τ
ἱερὰ καὶ τὰς ναῦς ψηφιεῖσθε· ἐὰν δὲ τοῦτον ἀποκτείνητε, διαφυλάττειν κα
σώζειν τὴν πατρίδα καὶ τὰς προσόδους καὶ τὴν εὐδαιμονίαν παρακελεύσα
σθε. Νομίζοντες οὖν, ὦ Ἀθηναῖοι, ἱκετεύειν ὑμῶν τὴν χώραν καὶ τὰ δένδρ
δεῖσθαι[291] τοὺς λιμένας, τὰ νεώρια καὶ τὰ τείχη τῆς πόλεως, ἀξιοῦν
καὶ τοὺς νεὼς καὶ τὰ ἱερὰ βοηθεῖν αὐτοῖς, παράδειγμα ποιήσατε Λεωκράτη
ἀναμνησθέντες τῶν κατηγορημένων, [καὶ[292]] ὅτι οὐ πλέον ἰσχύει παρ' ὑμ
ἔλεος οὐδὲ δάκρυα τῆς ὑπὲρ[293] τῶν νόμων καὶ τοῦ δήμου σωτηρίας.

---

285) Ἐν ἄλλοις· Ἐγὼ τοίνυν ὑμῖν μηνύω. 286) Τὰ ἐν τῷ ψηφίσματι ἀναφερόμενα. 287) Ἀδικήμασιν. 288) Ἐξεπλήρωσα τὴν κατηγορίαν. 287) Καδίσκος, σκεῦος, εἰς ὃ ψηφοφόραν, κάλπη. » Ἰδοὺ, δέχου τὴν ψῆφον, ὁ καδίσκος δέ σοι, Ὁ μὲν ἀπολοῦν οὗτ ὁ δ' ἀπολλὺς ὄδι », Φρύνιχ. Μούσαις. 288) Τὰς μὲν ὑπὲρ σωτηρίας αὐτοῦ. 289) Τὰς περὶ προδοσίας. 290) Ὁ Κορ. ἐπράτθεσε καὶ ἄλλον σύνδεσμον, τὸν Οὖν. Ἴσως προκριτ τερος ὁ Γάρ. 291) Ἴσως ἐλλείπει ὁ Δέ. 292) Περιττὸς ἔδοξε καὶ τῷ Κοραῆ ὁ Καί. γὰρ Ὅτι οὐκ ἰσχύει, ἴσον τῷ Τοῦ μὴ ἰσχύειν, ἀναφέρεται εἰς τὸ παράδει μα. 293) Περιττὴ ἡ πρόθεσις.

Β'. ΑΙΣΧΙΝΟΥ

ΛΟΓΟΣ

ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ.

Τὴν ὑπόθεσιν τοῦ λόγου ταύτου καὶ τὴν ἐποχὴν καθ' ἣν ἐξεφωνήθη, ἴδε ἐν τῇ ἀρχῇ τοῦ περὶ Στεφάνου τοῦ Δημοσθένους.

ΤΗΝ μὲν παρασκευὴν[1] ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν παράταξιν, ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνται τινες ὑπὲρ τοῦ τὰ μέτρια[2] καὶ τὰ συνήθη[3] μὴ γίγνεσθαι ἐν τῇ πόλει· ἐγὼ δὲ πεπιστευκὼς ἥκω, πρῶτον μὲν τοῖς Θεοῖς, δεύτερον δὲ τοῖς νόμοις καὶ ὑμῖν, ἡγούμενος οὐδεμίαν παρασκευὴν μεῖζον ἰσχύειν παρ' ὑμῖν τῶν νόμων καὶ τῶν δικαίων. Ἐβουλόμην μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν βουλὴν τοὺς πεντακοσίους[4], καὶ τὰς ἐκκλησίας ὑπὸ τῶν ἐφεστηκότων ὀρθῶς διοικεῖσθαι, καὶ τοὺς νόμους, οὓς ἐνομοθέτησεν ὁ Σόλων περὶ τῆς τῶν ῥητόρων εὐκοσμίας, ἰσχύειν, ἵνα ἐξῇ πρῶτον μὲν τῷ πρεσβυτάτῳ τῶν πολιτῶν, ὥσπερ οἱ νόμοι κελεύουσι, σωφρόνως ἐπὶ τὸ βῆμα παρελθόντι ἄνευ θορύβου καὶ ταραχῆς ἐξ ἐμπειρίας τὰ βέλτιστα τῇ πόλει συμβουλεύειν· δεύτερον δ' ἤδη, καὶ τῶν ἄλλων πολιτῶν τὸν βουλόμενον καθ' ἡλικίαν χωρὶς καὶ ἐν μέρει[5] περὶ ἑκάστου γνώμην ἀποφαίνεσθαι· οὕτω γὰρ ἄν μοι δοκεῖ ἥ τε πόλις ἄριστα διοικεῖσθαι, αἵ τε κρίσεις ἐλάχιστα γίνεσθαι. Ἐπειδὴ δὲ πάντα τὰ πρότερον ὡμολογημένα καλῶς ἔχειν νυνὶ καταλέλυται, καὶ γράφουσί τινες ῥᾳδίως παρανόμους γνώμας, καὶ ταῦτα ἕτεροί τινες[7] τὰ ψηφίσματα ἐπιψηφίζουσιν[8] οὐκ ἐκ τοῦ δικαιοτάτου τρόπου λαχόντες προεδρεύειν, ἀλλ' ἐκ παρασκευῆς καθεζόμενοι[9]· ἐὰν δέ τις τῶν ἄλλων βουλευτῶν ὄντως λάχῃ κληρούμενος προεδρεύειν, καὶ τὰς ὑμετέρας χειροτονίας ὀρθῶς ἀναγορεύῃ, τοῦτον οἱ τὴν πολιτείαν οὐκέτι κοινὴν, ἀλλ' ἰδίαν αὑτῶν ἡγούμενοι εἶναι, ἀπειλοῦσιν εἰσαγγέλλειν, καταδουλούμενοι τοὺς ἰδιώτας καὶ δυναστείας ἑαυτοῖς περιποιοῦντες, καὶ τὰς κρίσεις τὰς μὲν ἐκ τῶν νόμων καταλελύκασι, τὰς δὲ ἐκ τῶν ψηφισμάτων μετ' ὀργῆς[10] κρίνουσι· σεσίγηται[11] μὲν τὸ κάλλιστον καὶ σωφρονέστατον κήρυγμα τῶν ἐν τῇ πόλει α Τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων, καὶ πάλιν ἐν μέρει α τῶν ἄλλων Ἀθηναίων ν, τῆς δὲ τῶν ῥητόρων ἀκοσμίας οὐκέτι κρατεῖν δύνανται οὔθ' οἱ νόμοι οὔθ' οἱ πρυτάνεις οὔθ' οἱ

---

1) Σκευωρίαν, ῥᾳδιουργίαν, δικανικὴ λέξις, καθὼς καὶ τὸ Παράταξιν, ἀπὸ μεταφορᾶς τῶν στρατευμάτων. 2) Τὰ δίκαια. 3) Τὰ νόμιμα. 4) Πρὸς διαχολὴν τῆς ἐν Ἀρείῳ Πάγῳ. 5) Χωριστὰ ἢ κατὰ σειρὰν ἕκαστος. 6) Προτείνεσι, καθὼς ὁ Κτησιφῶν. 7) Καθὼς ἔπραξεν ὁ προεδρεύων, φαίνεται, τῆς Βουλῆς ὅτε εἰσήχθη τὸ περὶ οὗ ὁ λόγος ψήφισμα.
8) Καθυποβάλλουσιν εἰς ψηφοφορίαν. 9) Ἐπὶ τῆς ἕδρας τοῦ προέδρου,=προεδρεύοντες.
10) Ὄχι ἀπαθῶς. 11) Ἀποδοσις τοῦ Ἐπειδή.

πρόεδροι[45] οὔθ' ἡ προεδρεύουσα[45] φυλή, τὸ δέκατον μέρος τῆς πόλεως. Τούτων δ' ἐχόντων οὕτως, καὶ τῶν καιρῶν ὄντων τῇ πόλει τοιούτων, ὁποίους τινὰς αὐτοὺς ὑμεῖς ὑπολαμβάνετε εἶναι[46] ἓν ὑπολείπεται μέρος τῆς πολιτείας, εἴ τι κἀγὼ τυγχάνω γινώσκων, αἱ τῶν παρανόμων γραφαί[47]. εἰ δὲ καὶ ταύτας καταλύσετε, ἢ τοῖς καταλύουσιν ἐπιτρέψετε, προλέγω ὑμῖν, ὅτι λήσετε κατὰ μικρὸν τῆς πολιτείας τισὶ παραχωρήσαντες[48]. Εὖ γὰρ ἴσθι, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι τρεῖς εἰσι πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς, καὶ ὀλιγαρχία, καὶ δημοκρατία· διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις[49] τῶν ἐφεστηκότων· αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. Μηδεὶς οὖν ὑμῶν τοῦτ' ἀγνοείτω, ἀλλὰ σαφῶς ἕκαστος ἐπιστάσθω, ὅτι, ὅταν εἰσίῃ εἰς δικαστήριον γραφὴν παρανόμων δικάσων, ἐν ταύτῃ τῇ ἡμέρᾳ μέλλει τὴν ψῆφον φέρειν περὶ τῆς ἑαυτοῦ[50] παῤῥησίας. Διόπερ καὶ ὁ νομοθέτης τοῦτο πρῶτον ἔταξεν ἐν τῷ τῶν δικαζῶν ὅρκῳ, « Ψηφιοῦμαι κατὰ τοὺς νόμους », ἐκεῖνό γε εὖ εἰδώς, ὅτι, ὅταν διατηρηθῶσιν οἱ νόμοι τῇ πόλει, σώζεται καὶ ἡ δημοκρατία. Ἃ χρὴ διαμνημονεύοντας ὑμᾶς, μισεῖν τοὺς τὰ παράνομα γράφοντας, καὶ μηδὲν ἡγεῖσθαι μικρὸν εἶναι τῶν τοιούτων ἀδικημάτων, ἀλλ' ἕκαστον ὑπερμέγεθες, καὶ τοῦθ' ὑμῶν[51] τὸ δίκαιον μηδένα ἀνθρώπων ἐξαιρεῖσθαι, μήτε τὰς τῶν στρατηγῶν συνηγορίας, οἳ ἐπὶ πολὺν ἤδη χρόνον συνεργοῦντες τισι τῶν ῥητόρων λυμαίνονται τὴν πολιτείαν, μήτε τὰς τῶν ξένων[52] δεήσεις, οὓς ἀναβιβαζόμενοί τινες, ἐκφεύγουσιν ἐκ τῶν δικαστηρίων, παράνομον πολιτείαν πολιτευόμενοι· ἀλλ' ὥςπερ ἂν ὑμῶν ἕκαστος αἰσχυνθείη τὴν τάξιν λιπεῖν, ἣν ἂν ταχθῇ ἐν τῷ πολέμῳ, οὕτω καὶ νῦν αἰσχύνθητε ἐκλιπεῖν τὴν τάξιν, ἣν τέταχθε ὑπὸ τῶν νόμων, φύλακες[53] τῆς δημοκρατίας τήν δὲ τὴν ἡμέραν. Κἀκεῖνο δὲ χρὴ διαμνημονεύειν, ὅτι νῦν ἅπαντες οἱ πολῖται, παρακαθήμενοι τὴν πόλιν ὑμῖν καὶ τὴν πολιτείαν διαπιστεύσαντες, οἱ μὲν πάρεισι καὶ ἐπακούουσι τῇδε τῇς κρίσεως, οἱ δὲ ἄπεισιν ἐπὶ τῶν ἰδίων ἔργων· οὓς αἰσχυνόμενοι, καὶ τῶν ὅρκων, οὓς ὠμόσατε, μεμνημένοι, καὶ τῶν νόμων, ἐὰν ἐλέγξωμεν Κτησιφῶντα καὶ παράνομα γράψαντα καὶ ψευδῆ καὶ ἀσύμφορα τῇ πόλει, λύετε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς παρανόμους γνώμας, βεβαιοῦτε τῇ πόλει τὴν δημοκρατίαν, κολάζετε τοὺς ὑπεναντίως τοῖς νόμοις καὶ τῇ πόλει καὶ τῷ συμφέροντι τῷ ὑμετέρῳ πολιτευομένους· κἂν ταύτην ἔχοντες τὴν διάνοιαν, ἀκούοιτε τῶν μελλόντων ῥηθήσεσθαι λόγων, εὖ οἶδ' ὅτι δίκαια καὶ εὔορκα καὶ συμφέροντα ὑμῖν αὐτοῖς ψηφιεῖσθε καὶ πάσῃ τῇ πόλει.

Περὶ μὲν οὖν τῆς ὅλης κατηγορίας μετρίως μοι ἐλπίζω προειρῆσθαι· περὶ δὲ αὐτῶν τῶν νόμων, οἳ κεῖνται περὶ τῶν ὑπευθύνων, παρ' οὓς[54] τὸ ψήφισμα τοῦτο τυγχάνει γεγραφὼς Κτησιφῶν, διὰ βραχέων εἰπεῖν βούλομαι. Ἐν γὰρ τοῖς

---

45) Ἴδε Δημοσθ. περι Στεφ. σημ. 169. 45)=Πρυτανεύσασα. 46) Δηλ. δυσχερῶν, τὸ ὁποῖον ἀποφεύγει νὰ εἴπῃ, διὰ τὸ εὔφημον. 47) Κατηγορίαι κατὰ τῶν παράνομα ψηφίσματα εἰσαγόντων. 48) Ὀλιγαρχίαν δηλ. ἀντὶ δημοκρατίας καταστήσετε. 49) Κατὰ τὴν θέλησιν. 50) Καθὸ πολίτου. 51) Ἐξαιρεῖσθαι ὑμῶν, νὰ σᾶς τὸ ἀφαιρέσῃ. 52) Τῶν ἐν ἄλλαις συμμάχοις πόλεσιν ἰσχυόντων, οἱ ὁποῖοι ἤρχοντο συνηγορήσοντες τοῖς ἐν Ἀθήναις κρινομένοις, καθὼς π. χ. ὁ Μάτων, τύραννος τῆς Θεσσαλίας, ἦλθε πρὸς χάριν σοῦ στρατηγοῦ Τιμοθέου, ὅταν ἐκρίνετο. 53) (Ὥστε εἶναι) φύλακες. 54) Νόμες τοὺς περὶ τῶν ὑπευθύνων.

ἔμπροσθεν χρόνοις ἄρχοντές τινες τὰς μεγίστας ἀρχὰς, καὶ τὰς προσόδους διοικοῦντες, καὶ δωροδοκοῦντες περὶ ἕκαστα τούτων, προσλαμβάνοντες τούς τε ἐκ τοῦ βουλευτηρίου ῥήτορας καὶ τοὺς ἐκ τοῦ δήμου, πόρρωθεν προκατελάμβανον τὰς εὐθύνας ἐπαίνοις καὶ κηρύγμασιν, ὥστε ἐν ταῖς εὐθύναις τῶν ἀρχῶν[22*] εἰς τὴν μεγίστην μὲν ἀπορίαν ἀφικνεῖσθαι τοὺς κατηγόρους, πολὺ δὲ ἔτι μᾶλλον τοὺς δικαστάς. πολλοὶ γὰρ πάνυ τῶν ὑπευθύνων, ἐπ' αὐτοφώρῳ κλέπται τῶν δημοσίων χρημάτων ὄντες ἐξελεγχόμενοι, διεφύγγανον ἐκ τῶν δικαστηρίων. εἰκότως ἠσχύνοντο γὰρ, οἶμαι, οἱ δικασταὶ, εἰ φανήσεταί ὁ αὐτὸς ἀνὴρ ἐν τῇ αὐτῇ πόλει, τυχὸν δὲ καὶ ἐν τῷ αὐτῷ ἐνιαυτῷ, πρῴην μέν ποτε ἀναγορευόμενος ἐν τοῖς ἀγῶσιν[23], ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης ὑπὸ τοῦ δήμου χρυσῷ στεφάνῳ, ὁ δὲ αὐτὸς ἀνὴρ μικρὸν ἐπισχὼν ἔξεισιν ἐκ τοῦ δικαστηρίου κλοπῆς ἕνεκα τὰς εὐθύνας ὠφληκώς· ὥστε ἠναγκάζοντο τὴν ψῆφον φέρειν οἱ δικασταὶ οὐ περὶ τοῦ παρόντος ἀδικήματος, ἀλλ' ὑπὲρ τῆς αἰσχύνης τοῦ δήμου. Κατιδὼν δὲ τις ταῦτα νομοθέτης τίθησι νόμον, καὶ μάλα καλῶς ἔχοντα, τὸν διαῤῥήδην ἀπαγορεύοντα τοὺς ὑπευθύνους μὴ στεφανοῦν. Καὶ ταῦτα οὕτως εὖ προκατειλημμένου τοῦ νομοθέτου, εὑρίσκονται λόγοι κρείττονες τῶν νόμων, οὓς εἰ μή τις ὑμῖν ἐρεῖ, λήσετε ἐξαπατηθέντες. Τούτων γάρ τινες τῶν τοὺς ὑπευθύνους στεφανούντων παρὰ τοὺς νόμους οἱ μὲν φύσει μέτριοί εἰσιν, εἰ δή τίς ἐστι μέτριος τῶν τὰ παράνομα γραφόντων· ἀλλ' οὖν προβάλλονταί γέ τι πρὸ τῆς αἰσχύνης· προσεγγράφουσι γὰρ πρὸς τὰ ψηφίσματα στεφανοῦν τὸν ὑπεύθυνον, ἐπειδὰν λόγον καὶ εὐθύνας τῆς ἀρχῆς ᾖ. καὶ ἡ μὲν πόλις τὸ ἴσον ἀδίκημα ἀδικεῖται· προκαταλαμβάνονται γὰρ ἐπαίνοις καὶ στεφάνοις αἱ εὐθύναι· ὁ δὲ τὸ ψήφισμα γράφων ἐνδείκνυται τοῖς ἀκούουσιν, ὅτι γέγραφε μὲν παράνομα, αἰσχύνεται δὲ ἐφ' οἷς ἥμαρτηκε. Κτησιφῶν δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπερπηδήσας τὸν νόμον τὸν περὶ τῶν ὑπευθύνων κείμενον, καὶ τὴν πρόφασιν, ἣν ἐγὼ ἀρτίως προεῖπον ὑμῖν, ἀνελὼν, πρὶν λόγον, πρὶν εὐθύνας δοῦναι, γέγραφε μεταξὺ Δημοσθένην ἄρχοντα[24] στεφανοῦν.

Δέξουσι δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἕτερόν τινα λόγον ὑπεναντίον τῷ ἀρτίως εἰρημένῳ, ὡς ἄρα ὅσα τις αἱρετὰς ὢν πράττει κατὰ ψήφισμα[25], οὐκ ἔζι ταῦτα ἀρχή, ἀλλ' ἐπιμέλειά τις καὶ διακονία· ἀρχὰς δὲ φήσουσιν ἐκείνας εἶναι, ἃς οἱ θεσμοθέται ἀποκληροῦσιν ἐν τῷ Θησείῳ[26], κἀκείνας, ἃς ὁ δῆμος εἴωθε χειροτονεῖν ἐν ἀρχαιρεσίαις, στρατηγοὺς, καὶ ἱππάρχους, καὶ τὰς μετὰ τούτων ἀρχὰς[27], τὰ δ' ἄλλα πάντα πραγματείας[28] προστεταγμένας κατὰ ψήφισμα. Ἐγὼ δὲ πρὸς τοὺς λόγους τοὺς τούτων νόμον ὑμέτερον παρέξομαι, ὃν ὑμεῖς ἐνομοθετήσατε, λύσειν ἡγούμενοι τὰς τοιαύτας προφάσεις, ἐν ᾧ διαῤῥήδην γέγραπται, « Τὰς χειροτονητάς » φησιν » ἀρχὰς », ἁπάσας ἑνὶ περιλαβὼν ὀνόματι ὁ Νομοθέτης, καὶ προσειπὼν ἀρχὰς ἁπάσας εἶναι, ἃς ὁ δῆμος χειροτονεῖ, « καὶ Τοὺς ἐπιστάτας » φησὶ » τῶν δημοσίων ἔργων », ἔστι δὲ ὁ Δημοσθένης τειχοποιός, ἐπιστάτης τοῦ μεγίστου τῶν ἔργων· « καὶ πάντας, ὅσοι

22*) Ἀντὶ ἀρχόντων. 23) Τοῖς ἐν τῷ θεάτρῳ. 24) Μεταξὺ ἄρχοντα, εἰς τὸ διάστημα τῆς ἀρχῆς τ. 25) Καθὼς, π. χ., ὁ Δημ. διορισθεὶς τειχοποιός. 26) Οἷον Λογιστὰς, Συνηγόρους κτλ. 27) Τοὺς ἐπὶ τῶν ὑπηρετικῶν, τοὺς ἐπὶ τῆς διοικήσεως κτλ. 28) Βάρη, ὑπηρεσίας.

διαχειρίζουσί τι τῶν τῆς πόλεως πλέον ἢ τριάκονθ' ἡμέρας, καὶ ὅσοι λαμβάνουσιν ἡγεμονίας δικαστηρίων»· οἱ δὲ τῶν ἔργων ἐπιστάται πάντες ἡγεμονίᾳ χρῶνται δικαστηρίου· τί τούτους κελεύει ποιεῖν; οὐ διακονεῖν, ἀλλ' ἄρχειν δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ· ἐπειδὴ καὶ αἱ κληρωταὶ ἀρχαὶ οὐκ ἀδοκίμαστοι, ἀλλὰ δοκιμασθεῖσαι ἄρχουσι· καὶ λόγον καὶ εὐθύνας ἐγγράφειν πρὸς τὸν γραμματέα καὶ τοὺς λογιστάς, καθάπερ καὶ τὰς ἄλλας ἀρχάς, κελεύει. Ὅτι δὲ ἀληθῆ λέγω, τοὺς νόμους αὐτοὺς ὑμῖν ἀναγνώσεται.

ΝΟΜΟΙ.

Ὅταν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἃς ὁ νομοθέτης ἀρχὰς ὀνομάζει, οὗτοι προσαγορεύωσι πραγματείας καὶ ἐπιμελείας, ὑμέτερον ἔργον ἐστὶν ἀπομνημονεύειν καὶ ἀντιτάττειν τὸν νόμον πρὸς τὴν τούτων ἀναίδειαν, καὶ ὑποβάλλειν αὐτοῖς, ὅτι οὐ προσδέχεσθε κακοῦργον σοφιστὴν οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, ἀλλ' ὅσῳ ἂν τις ἄμεινον λέγῃ παράνομα γεγραφὼς, τοσούτῳ μείζονος ὀργῆς τεύξεται. Χρὴ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα καὶ τὸν νόμον· ὅταν δὲ ἑτέραν μὲν φωνὴν ἀφῇ ὁ νόμος, ἑτέραν δὲ ὁ ῥήτωρ, τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον, οὐ τῇ τοῦ λέγοντος ἀναισχυντίᾳ.

Πρὸς δὲ δὴ τὸν ἄφυκτον λόγον, ὃν φησὶ[49] Δημοσθένης, βραχέα βούλομαι προειπεῖν· λέξει γὰρ οὗτος· τειχοποιός εἰμι· ὁμολογῶ· ἀλλ' ἐπιδέδωκα τῇ πόλει μνᾶς ἑκατόν[50] καὶ τὸ ἔργον μεῖζον ἐξείργασμαι· τίνος οὖν εἰμι ὑπεύθυνος, εἰ μή τίς ἐστιν εὐνοίας εὐθύνη; Πρὸς δὴ ταύτην τὴν πρόφασιν ἀκούσατέ μου λέγοντος καὶ δίκαια καὶ ὑμῖν συμφέροντα· ἐν γὰρ ταύτῃ τῇ πόλει, οὕτως ἀρχαίᾳ οὔσῃ καὶ τηλικαύτῃ τὸ μέγεθος, οὐδείς ἐστιν ἀνυπεύθυνος τῶν καὶ ὁπωσοῦν πρὸς τὰ κοινὰ προσεληλυθότων· διδάξω δ' ὑμᾶς πρῶτον ἐπὶ τῶν παραδόξων, οἷον τοὺς ἱερεῖς καὶ τὰς ἱερείας ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, καὶ συλλήβδην ἅπαντας καὶ χωρὶς ἑκάστους κατὰ σῶμα, τοὺς τὰ γέρα[51] μόνον λαμβάνοντας καὶ τὰς εὐχὰς ὑπὲρ ὑμῶν πρὸς τοὺς Θεοὺς εὐχομένους· καὶ οὐ μόνον ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ κατὰ γένη, Εὐμολπίδας[52] καὶ Κήρυκας[53], καὶ τοὺς ἄλλους ἅπαντας[54]· πάλιν τοὺς τριηράρχους ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, οὐ τὰ κοινὰ διαχειρίσαντας, οὐδ' ἀπὸ τῶν ὑμετέρων προσόδων πολλὰ μὲν ὑφαιρουμένους[55], βραχέα δὲ καταθέντας, ἐπιδιδόναι δὲ φάσκοντας, ἀποδιδόντας δὲ ὑμῖν τὰ ὑμέτερα, ἀλλ' ὁμολογουμένως τὰς πατρῴας οὐσίας εἰς τὴν πρὸς ὑμᾶς ἀνηλωκότας φιλοτιμίαν. Οὐ τοίνυν μόνοι οἱ τριήραρχοι, ἀλλὰ καὶ τὰ μέγιστα τῶν ἐν τῇ πόλει συνεδρίων ὑπὸ τὴν τῶν δικαστηρίων ἔρχε-

---

49) Κυρίως ἔπρεπε νὰ ἦνε: Φήσει· διότι ὁ Δημοσθένης ὡμίλησεν ἔπειτα. Ἀλλὰ καὶ πρὶν τῆς δίκης ἐξέθετεν εἰς τὰς συναναστροφὰς τὰ δίκαια τῆς ἀπολογίας του, ἐξ ὧν ὁ Αἰσχίνης τὰ ἐμάνθανε, καθὼς τοῦτο ἀποδεικνύεται καὶ ἀπὸ ἄλλα μέρη τοῦ παρόντος λόγου, ὅπου ὁ κατήγορος μεταχειρίζεται τὰς αὐτὰς σχεδὸν λέξεις τῆς ἀπολογίας.

50) Ἀλλὰ τὸ ψήφισμα λέγει ῥητῶς Τρία τάλαντα, τὰς δὲ ἑκατὸν μνᾶς ἐπέδωκεν ὡς προσθήκην εἰς τὰ θεωρικὰ χρήματα. Φαίνεται λοιπὸν ὅτι εἶναι λάθος μνημονικὸν τοῦ Αἰσχίνου, ἢ ἐκεῖνος ὃς τις τῷ ἀπέστερ τί ἔλεγεν ὁ Δημοσθ. 51) Τὰ κατὰ προαίρεσιν δῶρα, οἷον ἀπαρχὰς καρπῶν, μέρη τινὰ τοῦ ἱερείου κτλ. 52) Τοὺς ἀπογόνους τοῦ Εὐμόλπου, βασιλέως τῶν Θρᾳκῶν, υἱοῦ τοῦ Ποσειδῶνος ἢ τῆς νύμφης Χιόνης, ἐλθόντος εἰς Ἐλευσῖνα ἢ μυηθέντος. 53) Τοὺς ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ καὶ τῆς Ἀγλαύρου, ἀδελφοῦ τοῦ Εὐμόλπου. 54) Τοὺς κατὰ γένος ἱερεῖς. 55) Ἐπαινίττεται τὸν Δημοσθένην.

ται ψῆφον. Πρῶτον μὲν γὰρ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ Πάγῳ ἐγγράφειν πρὸς τοὺς λογιστὰς ὁ νόμος κελεύει λόγον, καὶ εὐθύνας διδόναι, καὶ τὴν ἐκεῖ σκυθρωπὸν[50] καὶ τῶν μεγίστων κύριον ἄγει ὑπὸ τὴν ὑμετέραν ψῆφον. Οὐκ ἄρα στεφανωθήσεται ἡ βουλὴ ἡ ἐξ Ἀρείου Πάγου; οὐδὲ γὰρ[51] πάτριον αὐτοῖς ἐστιν. οὐκ ἄρα φιλοτιμοῦνται; πάνυ γε· ἀλλ' οὐκ ἀγαπῶσιν, ἐάν τις παρ' αὐτοῖς μὴ ἀδικῇ, ἀλλ' ἐάν τις ἐξαμαρτάνῃ κολάζουσιν· οἱ δὲ ὑμέτεροι ῥήτορες τρυφῶσι[52]. Πάλιν τὴν βουλήν, τοὺς πεντακοσίους, ὑπεύθυνον πεποίηκεν ὁ Νομοθέτης, καὶ οὕτως ἰσχυρῶς ἀπιστεῖ τοῖς ὑπευθύνοις, ὥστ' εὐθέως ἀρχόμενος τῶν νόμων, λέγει· « Ἀρχὴν ὑπεύθυνον, φησί, μὴ ἀποδημεῖν ». Ὦ Ἡράκλεις[53]! ὑπολάβοι ἄν τις, ὅτι ἦρξα, μὴ ἀποδημήσω; Ἵνα γε[54] μὴ προλαβὼν χρήματα τῆς πόλεως ἢ πράξεις, ὅρασμῷ χρήσῃ. Πάλιν ὑπεύθυνον οὐκ ἐᾷ τὴν οὐσίαν καθιεροῦν, οὐδὲ ἀνάθημα ἀναθεῖναι, οὐδὲ ἐκποίητον[55] γενέσθαι, οὐδὲ διαθέσθαι τὰ ἑαυτοῦ, οὐδὲ ἄλλα πολλά· ἐνὶ δὲ λόγῳ ἐνεχυράζει τὰς οὐσίας ὁ Νομοθέτης τὰς τῶν ὑπευθύνων, ἕως ἂν λόγον ἀποδῶσι τῇ πόλει. Ναί[56]· ἀλλ' ἔστι τις ἄνθρωπος, ὃς οὔτε εἴληφεν οὐδὲν τῶν δημοσίων, οὔτ' ἀνήλωκε, προσῆλθε δὲ πρός τι[57] τῶν κοινῶν· καὶ τοῦτον ἀποφέρειν[58] κελεύει λόγον πρὸς τοὺς λογιστάς. Καὶ πῶς ὅ γε μηδὲν λαβὼν μηδ' ἀναλώσας ἀποίσει λόγον τῇ πόλει; Αὐτὸς ὑποβάλλει καὶ διδάσκει ὁ νόμος, ἃ χρὴ γράφειν· κελεύει γὰρ αὐτὸ τοῦτο ἐγγράφειν, ὅτι α οὔτ' ἔλαβον οὐδὲν τῶν τῆς πόλεως, οὔτ' ἀνήλωσα· ἀνεύθυνον δὲ καὶ ἀζήτητον καὶ ἀνεξέταστον οὐδέν ἐστι τῶν ἐν τῇ πόλει. Ὅτι δὲ ἀληθῆ λέγω, αὐτῶν ἀκούσατε τῶν νόμων.

ΝΟΜΟΙ.

Ὅταν τοίνυν μάλιστα θρασύνηται Δημοσθένης, λέγων, ὡς διὰ τὴν ἐπίδοσιν[59] οὐκ ἔστιν ὑπεύθυνος, ἐκεῖνο αὐτῷ ὑποβάλλετε· Οὔκουν ἐγρῆν σε, ὦ Δημόσθενες, ἐᾶσαι τὸν τῶν λογιστῶν κηρυκα κηρύξαι τὸ πάτριον καὶ ἔννομον κήρυγμα τοῦτο· « Τίς βούλεται καταγορεῖν; « Ἔασον ἀμφισβητῆσαί σοι τὸν βουλόμενον τῶν πολιτῶν, ὡς οὐκ ἐπιδέδωκας, ἀλλ' ἀπὸ πολλῶν, ὧν ἔχεις εἰς τὴν τῶν τειχῶν οἰκοδομίαν, μικρὰ κατέθηκας, δέκα τάλαντα[60] εἰς ταῦτα ἐκ τῶν τῆς πόλεως εἰλημμένα. Μὴ ἅρπαζε τὴν φιλοτιμίαν, μηδὲ ἐξαιροῦ τῶν δικαστῶν τὰς ψήφους ἐκ τῶν χειρῶν, μηδ' ἔμπροσθ

---

50) Κατὰ διορθ. ἀντὶ: Καὶ τῶν ἐκεῖ σκυθρωπῶν. Ἀποκαλεῖ δὲ σκυθρωπὸν τὴν βουλὴν ταύτην, εἴτε διότι ἔκρινε περὶ φόνων· εἴτε διότι τὰ μέλη αὐτῆς ἐπετήδευον τὴν σκυθρωπότητα, ἵνα ἐμπνέωσι σέβας. Ὅθεν βλέπομεν· π. χ. ὅτι ὁ Λυκόλυκος εἷς τῶν Ἀρειοπαγιτῶν, « σεμνῶς » καὶ ἀξίως τοῦ συνεδρίου ἐκείνου βεβιωκώς », καθὼς λέγει ὁ Αἰσχίνης (ἐν τῷ κατὰ Τιμάρχου §. κέ.), ὁμιλῶν πρὸς τὸν δῆμον ἐκ μέρους ὅλου τοῦ σωματος τῆς βουλῆς, ἐπειδή, προϊόντος τοῦ λογου, « ἐθορύβησεν ὁ δῆμος, καὶ ἔφη ἀληθῆ λέγειν αὐτὸν, μάλα σκυθρωπάσας καὶ διαλιπὼν εἶπεν (ὅ,τι δήποτε). Ἐπειδὴ δὲ ἐπὶ τοῖς εἰρημένοις μείζων ἀπήντα παρὰ τοῦ δήμου μετὰ γέλωτος θόρυβος... παρέρχεται Πύρρανδρος ἐπιτιμήσων τῷ δήμῳ, ᾧ ἤρετο Εἰ οὐκ αἰσχύνεσθε γελῶντες παρούσης τῆς βουλῆς τῆς ἐξ Ἀρείου Πάγου; Ὁ δὲ δῆμος ὑπέλαβεν· Ἴσμεν, ὦ Πύρρανδρε, ὅτι οὐ δεῖ γελᾶν τούτων ἐναντίον· ἀλλὰ κτλ ».

51) (Ἐνν.) Οὔμενον, πρὶν εὔθυνας δῶ. Οὐ γὰρ πάτριον αὐτῇ. 52) Ἐντρυφῶσι τοῖς νόμοις. 53) Ἡ ἐπίκλησις τοῦ Ἡρακλέους, διὰ τὸ παράδοξον τοῦ πράγματος. 54) Βεβαιωτικὸς μὲν ἔμφασιν· Ναί βέβαια, μάλιστα. 55) Ἐκδοθῆναι ὑπὸ τῶν γονέων ὡς εἰσποίητον εἰς ἄλλην οἰκίαν. 56) Ἀλλὴ ἀνθυποφορά. 57) Ἔλαβε μέρος εἴς τι. 58) Τὸ ὁποῖον ἀνωτέρω εἶπε καὶ κατωτέρω θέλει εἰπεῖ· Ἐγγράφειν λόγον. 59) Τῶν τριῶν ταλάντων καὶ τῶν ἑκατὸν μνῶν. 60) Κατωτέρω (§ ι.) λέγει· Μικροῦ δεῖν δέκα τάλαντα.

θεν τῶν νόμων, ἀλλ' ὕστερος πολιτεύου· ταῦτα γὰρ ὀρθοῖ τὴν Δημοκρατίαν.

Πρὸς μὲν οὖν τὰς κενὰς προφάσεις, ἃς οὗτοι προφασιοῦνται, μέχρι δεῦρο εἰρήσθω μοι. Ὅτι δὲ ὄντως ἦν ὑπεύθυνος ὁ Δημοσθένης, ὃθ' οὗτος εἰσήνεγκε τὸ ψήφισμα, ἄρχων μὲν τὴν ἐπὶ τῷ θεωρικῷ[46*] ἀρχήν, ἄρχων δὲ τὴν τῶν τειχοποιῶν, οὐδετέρας δὲ πω τῶν ἀρχῶν τούτων λόγον ὑμῖν οὐδ' εὐθύνας δεδωκώς, ταῦτ' ἤδη πειράσομαι ὑμᾶς διδάσκειν ἐκ τῶν δημοσίων γραμμάτων. Καί μοι ἀνάγνωθι, ἐπὶ τίνος ἄρχοντος, καὶ ποίου μηνός, καὶ ἐν τίνι ἡμέρᾳ, καὶ ἐν ποίᾳ ἐκκλησίᾳ ἐχειροτονήθη Δημοσθένης τὴν ἀρχὴν τὴν ἐπὶ τῷ θεωρικῷ· ὅτι μεσοῦντα τὴν ἀρχὴν[47], ἔγραψεν αὐτὸν στεφανοῦν. Ἀνάγνωσκε.

ΔΙΑΔΟΓΙΣΜΟΣ ΤΩΝ ΗΜΕΡΩΝ.

Οὐκοῦν, εἰ μηδὲν ἔτι περαιτέρω τούτου δείξαιμι, δικαίως ἂν ἁλίσκοιτο Κτησιφῶν· αἱρεῖ γὰρ αὐτὸν οὐχ ἡ κατηγορία ἡ ἐμή, ἀλλὰ τὰ δημόσια γράμματα.

Πρότερον μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀντιγραφεὺς ἦν χειροτονητὸς τῇ πόλει, ὃς καθ' ἑκάστην πρυτανείαν[48] ἀπελογίζετο τὰς προσόδους τῷ δήμῳ· διὰ δὲ τὴν πρὸς Εὔβουλον[49] γενομένην πίστιν ὑμῖν, οἱ ἐπὶ τὸ θεωρικὸν[50] κεχειροτονημένοι ἦρχον μέν, πρὶν ἢ τὸν Ἠγήμονος[51] νόμον γενέσθαι, τὴν τοῦ ἀντιγραφέως ἀρχήν, ἦρχον δὲ τὴν τῶν ἀποδεκτῶν[52] καὶ νεωρίων[53] ἀρχήν, καὶ σκευοθήκην[54] ᾠκοδόμουν, ἦσαν δὲ καὶ ὁδοποιοί, καὶ σχεδὸν τὴν ὅλην διοίκησιν εἶχον τῆς πόλεως· καὶ οὐ κατηγορῶν αὐτῶν, οὐδ' ἐπιτιμῶν λέγω, ἀλλ' ἐκεῖνο ὑμῖν ἐνδείξασθαι βούλομαι, ὅτι ὁ μὲν Νομοθέτης, ἐάν τις μιᾶς ἀρχῆς τῆς ἐλαχίστης ὑπεύθυνος ᾖ, τοῦτον οὐκ ἐᾷ, πρὶν ἂν λόγους καὶ εὐθύνας δῷ, στεφανοῦν· ὁ δὲ Κτησιφῶν Δημοσθένην τὸν συλλήβδην ἁπάσας τὰς Ἀθήνησιν ἀρχὰς ἄρχοντα οὐκ ὤκνησε γράψαι στεφανῶσαι.

Ὡς τοίνυν καὶ τὴν τῶν τειχοποιῶν ἀρχὴν ἦρχεν, ὃθ' οὗτος τὸ ψήφισμα ἔγραψε, καὶ τὰ δημόσια χρήματα διεχείριζε, καὶ ἐπιβολὰς[55] ἐπέβαλλε, καθάπερ καὶ οἱ ἄλλοι ἄρχοντες, καὶ δικαστηρίων ἡγεμονίας ἐλάμβανε, τούτων ὑμῖν αὐτὸν Δημοσθένην καὶ Κτησιφῶντα μάρτυρας παρέξομαι. Ἐπὶ γὰρ Χαιρώνδου[56] ἄρχοντος, Θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνον-

---

46*) (ἐνν.) Ἀργυριφ. Ἐν ἄλλοις: Τῶν Θεωρικῶν (ἐνν. χρημάτων), ἴδε Ὀλυνθ. Γ'. 47) τὸ ὁποῖον ἀνωτέρω εἶπε· Μεταξὺ ἄρχοντα, (ἴδε σημ. 24.). 48) Κάθε 35 ἡμέρας. 49) Τὸν Ἀναφλύστιον, ὅστις, «πίστιν ἔχων ἐν τοῖς μάλιστα ᾗ δύναμιν, οὐδὲν τῶν Ἑλ» ληνικῶν ἔπραξεν, οὐδ' ἐπὶ στρατηγίαν ἦλθεν· ἀλλ' ἐπὶ τὰ χρήματα τάξας ἑαυτόν, » ἠύξησε τὰς κοινὰς προσόδους, ᾗ μεγάλα τὴν πόλιν ὠφέλησε,» κατὰ τὸν Πλούτ. (Πολιτ. κτλ.). 50) Ἴδε σημ. 46* 51) Ῥήτωρ, γραμμάτων ἄπειρος, ὡς λέγεται, ᾗ φιλιππίζων· ἀπέθανε δὲ μετὰ Φωκίωνος ὑπὸ τῆς πόλεως. 52) Οἱ Ἀποδέκται ἦσαν, κατὰ τὸν Ἀριστοτ. δέκα ἄρχοντες, ἔργον ἔχοντες νὰ διαγράφωσιν, ἐνώπιον τῆς Βουλῆς ἐν τῷ Βουλευτηρίῳ τὰ ὀνόματα τῶν πληρονόντων ὀφειλετῶν τοῦ δημοσίου. 53) Ὁ Ἐρρ. Στέφ. διορθ. Νεωρῶν, τὸ ὁποῖον ἐξηγεῖ ὁ Ἡσυχ. Νεωριοφυλάκων. 54) Ἀποθήκην τῶν πολεμικῶν σκευῶν. 55) Προστίμων, ζημίας. Διότι, ὡς ἐπιστάτης τῆς τῶν τειχῶν ἐπισκευῆς, εἶχε τοῦτο τὸ δικαίωμα. «Πάντες γὰρ οἱ τῶν ἔργων ἐπιστάται ἡγεμονίᾳ χρῶνται δι» καστηρίου», καθὼς εἶπεν ἀνωτέρω ὁ ῥήτωρ. 56) Τὸ ὄνομα τούτου τοῦ ἄρχοντος (περὶ οὗ ἴδε καὶ τὴν σημ. 184· τοῦ περὶ Στεφ. τοῦ Δημοσθ.) παρεζάλισε τοὺς χρονολόγους καὶ κριτικούς· διότι, κατὰ τὸν Πλούταρχον, ἐπὶ Χαιρώνδου ἄρχοντος τῇ ε. ἢ ς'. τοῦ Ἐλαφηβολιῶνος, ἐνάτου μηνὸς τοῦ γ'. ἔτος τῆς ριθ'. Ὀλυμπ. εἰσήχθη ᾗ ἡ κατὰ τοῦ Κτησιφ. γραφὴ ὑπὸ Αἰσχίνου, τὸ ὁποῖον δὲν συμβιβάζεται οὔτε μὲ αὐτὰ τὰ δύο ἔγγραφα, οὔτε μὲ τὰς τῶν ἀρχόντων καὶ Ὀλυμπιάδων ἀναγραφάς· ὅθεν ἔπεται, ἢ ὅτι,

τος[57], ἐκκλησίας οὔσης, ἔγραψε ψήφισμα Δημοσθένης, ἀγορὰν[58] ποιῆσαι τῶν ἐνῶν, Σκιροφοριῶνος[59] δευτέρᾳ ἱσαμένου καὶ τρίτῃ, καὶ ἐπέταξεν ἐν τῷ ψηφίσματι ἑκάστῃ τῶν φυλῶν ἑλέσθαι τοὺς ἐπιμελησομένους τῶν ἔργων ἐπὶ τὰ τείχη καὶ ταμίας, καὶ μάλα ὀρθῶς, ἵν' ἡ πόλις ἔχῃ ὑπεύθυνα σώματα, παρ' ὧν ἐμέλλε τῶν ἀνηλωμένων λόγον ἀπολήψεσθαι. καί μοι λέγε τὰ ψηφίσματα.

ΨΗΦΙΣΜΑΤΑ.

Ναί· ἀλλ' ἀντιδιαπλέκει[60] πρὸς τοῦτο εὐθύς, ὡς οὔτ' ἔλαχε τειχοποιὸς οὔτ' ἐχειροτονήθη ὑπὸ τοῦ δήμου. καὶ περὶ τούτου Δημοσθένης μὲν καὶ Κτησιφῶν πολὺν ποιήσονται λόγον· ὁ δὲ γε ἐμὸς[60*] βραχὺς καὶ σαφὴς καὶ ταχὺ λύων τὰς τούτων τέχνας· μικρὰ δὲ ὑμῖν ὑπὲρ αὐτῶν πρώτων προειπεῖν βούλομαι. Ἔστι γάρ, ὦ Ἀθηναῖοι, τῶν περὶ τὰς ἀρχὰς εἴδη τρία· ὧν ἓν μὲν καὶ πᾶσι φανερώτατον, οἱ κληρωτοὶ καὶ οἱ χειροτονητοὶ ἄρχοντες· δεύτερον δὲ, ὅσοι τι διαχειρίζουσι τῶν τῆς πόλεως ὑπὲρ τριάκοντα ἡμέρας καὶ οἱ τῶν δημοσίων ἔργων ἐπιστάται· τρίτον δ' ἐν τῷ νόμῳ γέγραπται, α καὶ εἰσιν ἄλλοι αἱρετοὶ ἡγεμονίας δικαστηρίων λαμβάνουσι, καὶ τούτους ἄρχειν δοκιμασθέντας ν. Ἐπειδὰν δ' ἀφέλῃ τις τοὺς ὑπὸ τοῦ δήμου κεχειροτονημένους καὶ τοὺς κληρωτοὺς ἄρχοντας, καταλείπεται, οἷς αἱ φυλαὶ καὶ αἱ τριττύες[62] καὶ οἱ δῆμοι ἐξ ἑαυτῶν αἱροῦνται τὰ δημόσια χρήματα διαχειρίζειν, τούτους αἱρετοὺς ἄρχοντας εἶναι· τοῦτο δὲ γίγνεται, ὅταν, ὥς περ νῦν, ἐπιταχθῇ τι ταῖς φυλαῖς, ἢ τάφρους ἐξεργάζεσθαι, ἢ τριήρεις ναυπηγεῖσθαι[63]. ὅτι δὲ ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν νόμων μαθήσεσθε.

ΝΟΜΟΙ.

Ἀναμνήσθητε δὴ τοὺς προειρημένους λόγους, ὅτι ὁ μὲν Νομοθέτης τοὺς ἐκ τῶν φυλῶν ἄρχειν κελεύει δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ, ἡ δὲ Πανδιονὶς φυλὴ ἄρχοντα καὶ τειχοποιὸν ἀπέδειξε Δημοσθένην, ὃς ἐκ τῆς διοικήσεως[64] εἰς ταῦτα ἔχει μικροῦ δεῖν δέκα τάλαντα, ἕτερος δ' ἀπαγορεύει νόμος ἀρχὴν ὑπεύθυνον μὴ στεφανοῦν, ὑμεῖς δὲ ὀμωμόκατε κατὰ τοὺς νόμους ψηφιεῖσθαι, ὁ δὲ ῥητωρ γέγραφε τὸν ὑπεύθυνον στεφανοῦν οὐ προσ-

---

κατὰ τὸν Κορσίνιον, τόσον αὐτὸς, ὅσον καὶ ἄλλοι ἄρχοντες, ἀναφερόμενοι μὲν εἰς τοὺς ῥητορικοὺς λόγους, μὴ συμβιβαζόμενοι δὲ μὲ τὰς τῶν Ὀλυμπιάδων ἀναγραφὰς, ἦσαν ἄρχοντες προσωρινῶς, ἀπόντος ἢ θανόντος ἢ πεπαυμένου τοῦ καθαυτὸ ἐπωνύμου ἄρχοντος· ἢ ὅτι τὰ παρὰ τοῖς ῥήτορσιν ὀνόματα τῶν ἀρχόντων εἶναι ψευδώνυμα, τεθέντα ὕστερον κατ' ἀρέσκειαν. Λύτικα γὰρ ὁ Χαιρώνδας οὗτος, ἄρχων τὸ γ'. ἡ δ' ἔτος τῆς ρί. Ὀλυμπ., εἴτε αὐτὸς, εἴτε ἄλλος ὁμώνυμος αὐτοῦ, ἀναιρέρεται ἐν μὲν τῷ περὶ τῆς ἐπιστασίας ταύτης τοῦ Δημοσθ. ψηφίσματι, ἀντὶ τοῦ καθαυτὸ ἄρχοντος Θεοφράστου· ἐν δὲ τῇ γραφῇ τοῦ Αἰσχ. ἀντὶ τοῦ Λυσιμαχίδου. [57]) Τῇ 28. Εἰς τρεῖς γὰρ δεκάδας διῃρεῖτο ὁ πλήρης Ἀττικὸς μήν, ὧν τῆς μὲν πρώτης αἱ ἡμέραι ἠριθμοῦντο· δευτέρα, τρίτη κτλ. ἀρχομένη ἢ ἱσαμένη μηνὸς· τῆς δὲ δευτέρας, μεσοῦντος ἢ ἐπὶ δέκα· τῆς δὲ τρίτης, φθίνοντος ἢ λήγοντος. Ἀλλὰ τῆς τελευταίας ταύτης ἡ ἀπαρίθμησις ἐγίνετο ἀνάπαλιν, ὥστε ἐννάτη φθίνοντος ἦτον ἡ εἰκοστὴ πρώτη, ὑγδόη φθίνοντος ἡ εἰκοστὴ δευτέρα κ καθεξῆς. Ὁ δὲ Θαργηλιὼν ἀντιστοιχεῖ κατά μέρος μὲ τὸν καθ' ἡμᾶς Μάϊον—Ἰούνιον. [58]) Συνέλευσιν. [59]) Τοῦ μετὰ τὸν Θαργηλιῶνα, Ἰουν.—Ἰουλ. [60]) Δολίως ἀντιτάττει. [60*]) Ἐν ἄλλοις: Ὁ δέ γε νόμος. [61]) Ἡ μεταφορὰ σύμφωνος τῇ ἀνωτέρω Ἀντιδιαπλέκει. [62]) Τριττύς ἐστι τὸ τρίτον μέρος τῆς φυλῆς, κατὰ τὸν Πολυδ. καὶ Ἁρποκρ., ὅθεν καὶ Τριττυάρχας, καὶ Ἄρχων τριττύος. [63]) Ἴδε τὸν περὶ Συμμορ. τοῦ Δημοσθ. [64]) Καθὼς λέγομεν τώρα: Ἀπὸ τοῦ δημοτικοῦ ταμείου. Ἴδε καὶ τὴν 96 σημ. τοῦ περὶ Στεφ. λόγου τοῦ Δημ.

θεὶς α ἐπειδὰν δῷ λόγον καὶ εὐθύνας ᾖ, ἐγὼ δὲ ἐξελέγχω τὸ παράνομον μάρτυρας ἅμα τοὺς νόμους καὶ τὰ ψηφίσματα καὶ τοὺς ἀντιδίκους παρεγόμενος. Πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδείξειεν ἄνθρωπον παράνομα γεγραφότα;

Ὡς τοίνυν καὶ τὴν ἀνάῤῥησιν τοῦ στεφάνου παρανόμως ἐν τῷ ψηφίσματι κελεύει γίγνεσθαι, καὶ τοῦθ' ὑμᾶς διδάξω. Ὁ γὰρ νόμος διαῤῥήδην κελεύει, ἐὰν μέν τινα στεφανοῖ ἡ βουλὴ, ἐν τῷ βουλευτηρίῳ ἀνακηρύττεσθαι· ἐὰν δὲ ὁ δῆμος, ἐν τῇ ἐκκλησίᾳ, ἄλλοθι δὲ μηδαμοῦ. καὶ μοι λέγε τὸν νόμον

ΝΟΜΟΣ.

Οὗτος ὁ νόμος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μάλα καλῶς ἔχει. οὐ γάρ, οἶμαι, ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα σεμνύνεσθαι πρὸς τοὺς ἔξωθεν, ἀλλ' ἀγαπᾶν ἐν αὐτῇ τῇ πόλει τιμώμενον ὑπὸ τοῦ δήμου, καὶ μὴ ἐργολαβεῖν[63] ἐν τοῖς κηρύγμασιν. Ὁ μὲν νομοθέτης οὕτως· ὁ δὲ Κτησιφῶν πῶς; Ἀναγίνωσκε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ[64].

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ὁ μὲν νομοθέτης κελεύει ἐν τῷ δήμῳ ἐν Πυκνὶ τῇ ἐκκλησίᾳ[67] ἀνακηρύττειν τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον, ἄλλοθι δὲ μηδαμοῦ· Κτησιφῶν δὲ ἐν τῷ θεάτρῳ, οὐ τοὺς νόμους μόναν ὑπερβὰς, ἀλλὰ καὶ τὸν τόπον μετενεγκών· οὐδὲ ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ τραγῳδῶν ἀγωνιζομένων καινῶν[68]· οὐδ' ἐναντίον τοῦ δήμου, ἀλλ' ἐναντίον τῶν Ἑλλήνων, ἵν' ἡμῖν συνειδῶσιν, οἷον ἄνδρα τιμῶμεν. Οὕτω τοίνυν περιφανῶς παράνομα γεγραφὼς, παραταχθεὶς[69] μετὰ Δημοσθένους, ἐποίσει τέχνας τοῖς νόμοις· ἃς ἐγὼ δηλώσω, καὶ προερῶ ὑμῖν, ἵνα μὴ λάθητε ἐξαπατηθέντες. Οὗτοι γὰρ, ὡς μὲν οὐκ ἀπαγορεύουσιν οἱ νόμοι τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττειν ἔξω τῆς ἐκκλησίας, οὐχ ἕξουσι λέγειν· οἴσουσι δὲ εἰς τὴν ἀπολογίαν τὸν Διονυσιακὸν νόμον[70], καὶ χρήσονται τοῦ νόμου μέρει τινὶ κλέπτοντες τὴν ἀκρόασιν ὑμῶν, καὶ παρέξονται νόμον οὐδὲν προσήκοντα τῇδε τῇ γραφῇ, καὶ λέξουσιν, ὡς εἰσὶ τῇ πόλει δύω νόμοι κείμενοι περὶ τῶν κηρυγμάτων, εἷς μὲν, ὃν νῦν ἐγὼ παρέχομαι, διαῤῥήδην ἀπαγορεύων τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας, ἕτερον δ' εἶναι νόμον φήσουσιν ἐναντίον[71] τούτῳ, τὸν δεδωκότα ἐξουσίαν ποιεῖσθαι τὴν ἀνάῤῥησιν τοῦ στεφάνου τραγῳδοῖς[72] ἐν τῷ θεάτρῳ, ἐὰν ψηφίσηται ὁ δῆμος· κατὰ δὴ τοῦτον τὸν νόμον φήσουσι γεγραφέναι τὸν Κτησιφῶντα. Ἐγὼ δὲ πρὸς τὰς τούτων τέχνας παρέξομαι συνηγόρους τοὺς νόμους τοὺς ὑμετέρους, ὅπερ διατελῶ σπουδάζων παρὰ πᾶσαν τὴν κατηγορίαν. Εἰ γὰρ τοῦτό ἐστιν ἀληθὲς καὶ τοιοῦτον ἔθος παραδέδυκεν ὑμῶν εἰς τὴν πολιτείαν, ὥστε ἀκύρους νόμους ἐν τοῖς κυρίοις ἀναγεγράφθαι καὶ δύο περὶ μιᾶς πράξεως ὑπεναντίους ἀλλήλοις, τί ἂν ἔτι ταύτην εἴποι τις εἶναι

---

63) Κερδοσκοπεῖν. 64) Ἴδε τὸ ψήφισμα ἐν τῷ περὶ Στεφ. τοῦ Δημοσθ.

67) (Ἐν) τῇ ἐκκλ., = Ἐκκλησιαζόντων Ἀθηναίων, καθὼς λέγει παρακάτω.

68) Ἴδε τὴν ὑπόθεσιν τοῦ Περὶ Στεφ. 69) Ἴδε σημ. 1. 70) Τὸν περὶ τῶν ἐν τοῖς Διονυσίοις τραγικῶν ἢ μή. 71) Προδιαβάλλει τὴν ἔνστασιν τῶν ἐναντίων· διότι ἐναντίοι νόμοι δὲν ὑπῆρχον, οὔτε πρέπει νὰ ὑπάρχουν, καθὼς λέγει παρακατιών. 72) (Ἐνν. εἰσιοῦσι] τραγῳδοῖς.

τὴν πολιτείαν, ἐν ᾗ ταὐτὰ προστάττουσιν οἱ νόμοι ποιεῖν καὶ μὴ ποιεῖν; Ἀλλ' οὐκ ἔχει ταῦθ' οὕτως· μηθ' ὑμεῖς ποτε εἰς τοσαύτην ἀταξίαν τῶν νόμων προβαίητε, οὔτε ἠμέληται περὶ τῶν τοιούτων τῷ νομοθέτῃ τῷ τὴν δημοκρατίαν καταστήσαντι, ἀλλὰ διαῤῥήδην προστέτακται τοῖς θεσμοθέταις καθ' ἕκαστον ἐνιαυτὸν διορθοῦν ἐν τῷ δήμῳ τοὺς νόμους, ἀκριβῶς ἐξετάσαντας καὶ σκεψαμένους, εἴ τις ἀναγέγραπται νόμος ἐναντίος ἑτέρῳ νόμῳ ἢ ἄκυρος ἐν τοῖς κυρίοις, ἢ εἰ πού εἰσι νόμοι πλείους ἑνὸς ἀναγεγραμμένοι περὶ ἑκάστης πράξεως· κἂν τι τοιοῦτον εὑρίσκωσιν, ἀναγεγραφότας ἐν σανίσιν ἐκτιθέναι κελεύει πρόσθεν τῶν ἐπωνύμων[75], τοὺς δὲ πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐπιγράψαντας[76] νομοθέτας, τὸν δ' ἐπιστάτην τῶν προέδρων[75] διαχειροτονίαν διδόναι τῷ δήμῳ, καὶ τοὺς μὲν ἀναιρεῖν τῶν νόμων, τοὺς δὲ καταλείπειν, ὅπως ἂν εἷς ᾖ νόμος, καὶ μὴ πλείους, περὶ ἑκάστης πράξεως. καί μοι λέγε τοὺς νόμους.

ΝΟΜΟΙ.

Εἰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀληθὴς ἦν ὁ παρὰ τούτων λόγος καὶ ἦσαν δύω κείμενοι νόμοι περὶ τῶν κηρυγμάτων, ἐξ ἀνάγκης, οἶμαι, τῶν μὲν θεσμοθετῶν ἐξευρόντων, τῶν δὲ πρυτάνεων ἀποδόντων τοῖς νομοθέταις, ἀνήρει ἂν ὁ ἕτερος τῶν νόμων, ἤτοι ὁ τὴν ἐξουσίαν δεδωκὼς ἀνειπεῖν, ἢ ὁ ἀπαγορεύων· ὁπότε δὲ μηδὲν τούτων γεγένηται, φανερῶς δήπου ἐξελέγχονται οὐ μόνον ψευδῆ λέγοντες, ἀλλὰ καὶ παντελῶς ἀδύνατα γενέσθαι. Ὅθεν δὲ δὴ τὸ ψευδὲς τοῦτο ἐπιφέρουσιν, ἐγὼ διδάξω ὑμᾶς, προειπὼν, ὧν ἕνεκα οἱ νόμοι ἐτέθησαν οἱ περὶ τῶν ἐν τῷ θεάτρῳ κηρυγμάτων. Γινομένων[76] γὰρ τῶν ἐν ἄστει[77] τραγῳδῶν, ἀνεκήρυττόν τινες, οὐ πείσαντες τὸν δῆμον, οἱ μὲν, ὅτι στεφανοῦνται ὑπὸ τῶν φυλετῶν, ἕτεροι δὲ ὑπὸ τῶν δημοτῶν· ἄλλοι δέ τινες ὑποκηρυξάμενοι[78] τοὺς αὑτῶν οἰκέτας ἀφίεσαν ἀπελευθέρους, μάρτυρας τῆς ἀπελευθερίας τοὺς Ἕλληνας ποιούμενοι· ἃ δ' ἦν ἐπιφθονώτατον, προξενίας τινὲς εὑρημένοι[79] ἐν ταῖς ἔξω πόλεσι, διεπράττοντο ἀναγορεύεσθαι, ὅτι στεφανοῖ αὐτοὺς ὁ δῆμος, εἰ οὕτω τύχοι, ὁ τῶν Ῥοδίων ἢ Χίων, ἢ καὶ ἄλλης τινὸς πόλεως, ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας· καὶ ταῦτ' ἔπραττον οὐχ ὥσπερ οἱ ὑπὸ τῆς βουλῆς τῆς ὑμετέρας στεφανούμενοι, ἢ ὑπὸ τοῦ δήμου, πείσαντες ἡμᾶς καὶ μετὰ ψηφίσματος, πολλὴν χάριν καταθέμενοι, ἀλλ' αὐτοὶ[80] προελόμενοι ἄνευ δόγματος ὑμετέρου· ἐκ δὲ τούτου τοῦ τρόπου συνέβαινε τοὺς μὲν θεατὰς καὶ τοὺς χορηγοὺς καὶ τοὺς ἀγωνιστὰς ἐνοχλεῖσθαι, τοὺς δὲ ἀνακηρυττομένους ἐν τῷ θεάτρῳ μείζοσι τιμαῖς τιμᾶσθαι τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων· τοῖς μὲν γὰρ ἀπεδέδεικτο τόπος ἡ ἐκκλησία, ἐν ᾗ χρῆν στεφανοῦσθαι, καὶ ἀπείρητο ἄλλοθι μηδαμοῦ κηρύττεσθαι· οἱ δὲ ἀνηγορεύοντο ἐνώπιον ἁπάντων τῶν Ἑλλήνων· κἀκεῖνοι μὲν μετὰ ψηφίσματος πείσαντες ὑμᾶς· οὗτοι δ' ἄνευ ψηφίσματος·

---

[75]) Τῶν παρὰ τὴν ἐκκλησίαν τοῦ δήμου ἱδρυμένων ἀγαλμάτων δέκα ἡρώων, ἀφ' ὧν ἐπωνομάζοντο αἱ φυλαί. [76]) Καθοποδαλόντας εἰς τὴν ἐπικύρωσιν τοῦ δήμου. [77]) Ἴδε σημ. 169 τοῦ περὶ Στεφ. τοῦ Δημοσθ. [78]) Διορθωτέον, κατά τινας, λ γ ω ν ι ζ ο μ έ ν ω ν. [77]) Ἴδε τὴν 118 σημ. τοῦ περὶ Στεφ. τοῦ Δημοσθ. [75]) Ἴδε τὸ Δεξ. [79]) Εἰρωνικῶς ἡ ἐν ᾖ δει. [80]) Κατορθώσαντες, ἐπιτυχόντες. [81]) Οἰκοθεν, μόνοι των.

Συνιδὼν δή τις ταῦτα νομοθέτης, τίθησι νόμον οὐδὲν ἐπικοινωνοῦντα τῷ περὶ τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων νόμῳ, οὔτε λύσας ἐκεῖνον· οὐδὲ γὰρ ἡ ἐκκλησία ἠνωχλεῖτο, ἀλλὰ τὸ θέατρον· οὔτ' ἐναντίον τοῖς πρότερον κειμένοις νόμοις τιθεὶς· οὐ γὰρ ἔξεστιν· ἀλλὰ περὶ τῶν ἄνευ ψηφίσματος ὑμετέρου στεφανουμένων ὑπὸ τῶν φυλετῶν καὶ δημοτῶν καὶ περὶ τῶν τοὺς οἰκέτας ἀπελευθερούντων καὶ περὶ τῶν ξενικῶν στεφάνων, καὶ διαρρήδην ἀπαγορεύει μήτ' οἰκέτην ἀπελευθεροῦν ἐν τῷ θεάτρῳ, μήθ' ὑπὸ τῶν φυλετῶν ἢ δημοτῶν ἀναγορεύεσθαι στεφανούμενον, μήθ' ὑπ' ἄλλου, φησί, μηδενός, ἢ ἄτιμον εἶναι τὸν κήρυκα. Ὅταν οὖν ἀποδείξῃ τοὺς μὲν ὑπὸ τῆς βουλῆς στεφανουμένους εἰς τὸ βουλευτήριον ἀναῤῥηθῆναι, τοὺς δὲ ὑπὸ τοῦ δήμου στεφανουμένους εἰς τὴν ἐκκλησίαν, τοὺς δ' ὑπὸ τῶν δημοτῶν στεφανουμένους καὶ φυλετῶν ἀπείπῃ μὴ κηρύττεσθαι τοὺς τραγῳδοῖς[*], ἵνα μηδεὶς ἐρανίζων στεφάνους καὶ κηρύγματα ψευδῆ φιλοτιμίαν κτᾶται, προσαπείπῃ δὲ ἐν τῷ νόμῳ μηδὲ ὑπὸ ἄλλου μηδενὸς ἀνακηρύττεσθαι ἀπούσης βουλῆς καὶ δήμου καὶ φυλετῶν καὶ δημοτῶν· ὅταν δή τις ταῦτα ἀφέληται, τί τὸ καταλειπόμενόν ἐστι, πλὴν οἱ ξενικοὶ στέφανοι; Ὅτι δὲ ἀληθῆ λέγω, μέγα σημεῖον ὑμῖν τούτου ἐξ αὐτῶν τῶν νόμων ἐπιδείξω. αὐτὸν γὰρ τὸν χρυσοῦν στέφανον, ὃς ἂν ἐν τῷ θεάτρῳ τῷ ἐν ἄστει ἀναῤῥηθῇ, ἱερὸν εἶναι τῆς Ἀθηνᾶς ὁ νόμος κελεύει, ἀφελόμενος τὸν στεφανούμενον. Καίτοι τίς ἂν ὑμῶν τολμήσειε τοσαύτην ἀνελευθερίαν καταγνῶναι τοῦ δήμου τῶν Ἀθηναίων; μὴ γὰρ ὅτι πόλις, ἀλλ' οὐδ' ἂν ἰδιώτης οὐδὲ εἷς οὕτως ἀγενὴς γένοιτο, ὥστε ὃν αὐτὸς ἔδωκε στέφανον ἅμα ἀνακηρύττειν καὶ ἀφαιρεῖσθαι καὶ καθιεροῦν· ἀλλ', οἶμαι, διὰ τὸ ξενικὸν εἶναι τὸν στέφανον καὶ ἡ καθιέρωσις γίγνεται, ἵνα μηδεὶς ἀλλοτρίαν εὔνοιαν περὶ πλείονος ποιούμενος τῆς πατρίδος χείρων γένηται τὴν ψυχήν· ἀλλ' οὐκ ἐκεῖνον τὸν ἐν τῇ ἐκκλησίᾳ ἀναῤῥηθέντα στέφανον οὐδεὶς καθιεροῖ, ἀλλ' ἔξεστι κεκτῆσθαι, ἵνα μὴ μόνον αὐτὸς, ἀλλὰ καὶ οἱ ἐξ ἐκείνου, ἔχοντες ἐν τῇ οἰκίᾳ τὸ ὑπόμνημα, μηδέποτε κακοὶ τὴν ψυχὴν εἰς τὸν δῆμον γίγνωνται· καὶ διὰ τοῦτο προσέθηκεν ὁ Νομοθέτης μὴ κηρύττεσθαι τὸν ἀλλότριον στέφανον ἐν τῷ θεάτρῳ, ἐὰν μὴ ψηφίσηται ὁ δῆμος, ἵν' ἡ πόλις ἡ βουλομένη τινὰ τῶν ἡμετέρων στεφανοῦν πρέσβεις πεμψασα δεηθῇ τοῦ δήμου, ἵνα κηρυττόμενος μείζω χάριν εἰδῇ τῶν στεφανούντων ὑμῖν, ὅτι κηρύξαι ἐπετρέψατε· ὅτι δὲ ἀληθῆ λέγω, τῶν νόμων αὐτῶν ἀκούσατε.

ΝΟΜΟΙ.

Ἐπειδὰν τοίνυν ἐξαπατῶντες ὑμᾶς λέγωσιν, ὡς προσγέγραπται ἐν τῷ νόμῳ ἐξεῖναι στεφανοῦν, ἐὰν ψηφίσηται ὁ δῆμος, ἀπομνημονεύετε αὐτοὺς ὑποβάλλειν· ναί, εἴ γέ σέ τις ἄλλη πόλις στεφανοῖ· εἰ δὲ ὁ δῆμος ὁ Ἀθηναίων, ἀποδέδεικταί σοι τόπος, ὅπου δεῖ τοῦτο γενέσθαι· ἀπείργται [δέ σοι ἔξω τῆς ἐκκλησίας μὴ κηρύττεσθαι. α τὸ γάρ, ἀλλοθι δὲ μηδαμοῦ», ὅτι ἐστὶν, ὅλην τὴν ἡμέραν λέγε· οὐ γὰρ ἀποδείξεις, ὡς ἔννομα γέγραφας.

Ἔστι δὲ ὑπόλοιπόν μοι μέρος τῆς κατηγορίας, ἐφ' ᾧ μάλιστα σπουδάζω· τοῦτο δέ ἐστιν ἡ πρόφασις, δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι. Λέγει γὰρ οὕτως ἐν τῷ ψηφίσματι· α Καὶ τὸν κήρυκα ἀναγορεύειν ἐν τῷ θεάτρῳ πρὸς τοὺς Ἑλ-

λήνας, ὅτι στεφανοῖ αὐτὸν ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας[82], καὶ, τὸ μέγιστον ϖ, ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ ϖ. Ἁπλοῦς δὴ παντάπασιν ὁ μετὰ ταῦτα ἡμῖν λόγος γίνεται, καὶ ὑμῖν ἀκούσασι κρῖναι εὐμαθής· δεῖ γὰρ δήπου τὸν μὲν κατηγοροῦντα ἐμὲ τοῦθ' ὑμῖν ἐπιδεικνύναι, ὡς εἰσὶν οἱ κατὰ Δημοσθένους ἔπαινοι ψευδεῖς καὶ ὡς οὔτ' ἤρξατο λέγειν τὰ βέλτιστα οὔτε νῦν διατελεῖ πράττων τὰ συμφέροντα τῷ δήμῳ· κἂν τοῦτο ἐπιδείξω, δικαίως δήπου τὴν γραφὴν ἀλώσεται Κτησιφῶν· ἅπαντες γὰρ ἀπαγορεύουσιν οἱ νόμοι μηδένα ψευδῆ γράμματα γράφειν ἐν τοῖς δημοσίοις ψηφίσμασι· τῷ δ' ἀπολογουμένῳ τοὐναντίον τούτου δεικτέον ἔξιν· ὑμεῖς δ' ἡμῖν ἔσεσθε τῶν λόγων κριταί· ἔχει δ' οὕτως. Ἐγὼ τὸν μὲν βίον τὸν Δημοσθένους ἐξετάζειν μακροτέρου λόγου ἔργον ἡγοῦμαι εἶναι. Τί γὰρ δεῖ νῦν ταῦτα[83] λέγειν, ἢ τὰ περὶ τὴν τοῦ τραύματος γραφὴν αὐτῷ συμβεβηκότα, ὅτ' ἐγράψατο εἰς Ἄρειον Πάγον Δημομέλη τὸν Παιανιέα, ἀνεψιὸν ὄντα ἑαυτῷ, καὶ τὴν τῆς κεφαλῆς ἐπιτομήν; ἢ τὰ περὶ τὴν Κηφισοδότου στρατηγίαν καὶ τὸν τῶν νεῶν ἔκπλουν τὸν εἰς Ἑλλήσποντον, ὅτε εἷς ὢν τῶν τριηράρχων Δημοσθένης καὶ περιάγων τὸν στρατηγὸν ἐπὶ τῆς νεὼς[84] καὶ συσσιτῶν καὶ συνθύων καὶ συσπένδων, καὶ τούτων ἀξιωθεὶς[85] διὰ τὸ πατρικὸς αὐτῷ φίλος εἶναι, οὐκ ὤκνησεν ἀπ' εἰσαγγελίας[86] αὐτοῦ κρινομένου[87] περὶ θανάτου κατήγορος γενέσθαι· ἢ[88] ταῦτα ἦδη τὰ περὶ Μειδίαν[89] καὶ τοὺς κονδύλους, οὓς ἔλαβεν ἐν τῇ ὀρχήστρᾳ χορηγὸς ὤν, καὶ ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς αὐτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτονίαν[90], ἣν ἐν Διονύσου[91] κατεχειροτόνησε Μειδίου. Ταῦτα μὲν οὖν μοι δοκῶ καὶ τἄλλα τὰ τούτοις ὅμοια ὑπερβήσεσθαι, οὐ προδιδοὺς ὑμᾶς, οὐδὲ τὸν ἀγῶνα καταχαριζόμενος, ἀλλ' ἐκεῖνο φοβούμενος, μή μοι παρ' ὑμῶν ἀπαντήσῃ τὸ δοκεῖν μὲν ἀληθῆ λέγειν, ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα. Καίτοι, ὦ Κτησιφῶν, ὅτῳ τὰ μέγιστα τῶν αἰσχρῶν οὕτως ἐστὶ πιστὰ καὶ γνώριμα τοῖς ἀκούουσιν, ὥστε τὸν κατήγορον μὴ δοκεῖν ψευδῆ λέγειν, ἀλλὰ παλαιὰ καὶ λίαν προωμολογημένα, πότερα αὐτὸν δεῖ χρυσῷ στεφάνῳ στεφανωθῆναι, ἢ ψέγεσθαι; καὶ σὲ, τὸν ψευδῆ καὶ πα-

---

82) Τὸ ψήφισμα λέγει Καλοκἀγαθίας. Ἀλλ' ὁ Αἰσχίνης, ἀπὸ κακοήθειαν βέβαια, μετεχειρίσθη τὸ Ἀνδραγαθίας, χλευάζων ὡς ἄνανδρον τὸν Δημοσθ. Ἴδε καὶ τὴν σημ. 120 τοῦ περὶ Στεφ. 83) Μήπως πρέπει ἁρά γε νὰ γραφῇ: Ταῦτά; Διότι τὰ ἴδια εἶπε καὶ ἐν τῷ περὶ Παραπρεσθ. §. λγ'. « Ὑπέμεινας τὴν ἐπιβολὴν τῆς βουλῆς τῆς ἐξ Ἀρείου Πάγου, οὐκ » ἐπεξιὼν τῇ τραύματος γραφῇ, ἣν ἐγράψω Δημομέλην τὸν Παιανιέα, ἀνεψιὸν ὄντα, ἐπι» τιμῶν τὴν σαυτοῦ κεφαλήν ». 84) Δοκεῖ δὲ τοῦτο, λέγει ὁ Σχολ., ὥσπερ τιμή τις εἶ» ναι τοῦ τριηράρχου ἐκείνου, οὗ ἂν ὁ στρατηγὸς ἐπιβῇ τῆς νεώς, καθὸ δοκεῖ τῶν ἄλλων » τριηράρχων προκρίνειν τὴν ἐκείνου τριήρη ὡς καλῶς κατεσκευασμένην ».

85) Διότι ὅλα ταῦτα ἦσαν τιμαὶ γινόμεναι πρὸς αὐτὸν ἐκ μέρους τοῦ στρατηγοῦ.

86) Ἴδε τὸ λεξ. 87) Εἰσηγγέλθη δὲ διὰ τὴν πρὸς Χαρίδημον τὸν Ὠρείτην, δημοποίητον Ἀθηναῖον, στρατηγὸν γενομένην συνθήκην περὶ τῆς Ἀλωπεκοννήσου, ἣν ἐπολιόρκει ὁ Κηφισόδ. καὶ καταψηφισθείς, πέντε ταλάντοις ἐζημιώθη, κατὰ τὸν Σχολ. 88) Ἐν ἄλλοις Καί. 89) Ἐναντίον τοῦ ὁποίου καὶ λόγος ὑπάρχει τοῦ Δημοσθένους, μὴ ἐκφωνηθείς, διότι προλαβὼν ὁ Μειδίας ἐσυμβιβάσθη μετὰ τοῦ ῥήτορος· ὅθεν καὶ ὁ λόγος εἶνε ἀνεπεξέργαστος.

90) Προβολὴν ὀνομάζει τὴν καταχειροτονίαν ταύτην τοῦ δήμου ὁ Δημοσθ., διότι ἦτον ὡς προδικασία, τρόπον τινά, τῆς κυρίως δίκης, ἡ ὁποία ἐδικάζετο ἢ ἀπὸ τὸν Ἄρ. Πάγον, ἢ πρὸς τεσσαράκοντα (κληρωτοὺς δικαστάς). 91) Ἐν τῷ ἱερῷ τοῦ Διονύσου.

ράνομα τολμῶντα γράφειν, πότερα χρὴ καταφρονεῖν τῶν δικαστηρίων, ἢ δίκην τῇ πόλει δοῦναι; Περὶ δὲ[92] τῶν δημοσίων ἀδικημάτων πειράσομαι σαφέστερον εἰπεῖν· καὶ γὰρ πυνθάνομαι[93] μέλλειν Δημοσθένην, ἐπειδὰν αὐτοῖς ὁ λόγος ἀποδοθῇ, καταριθμεῖσθαι πρὸς ὑμᾶς, ὡς ἄρα τῇ πόλει τέτταρες ἤδη γεγένηνται καιροί, ἐν οἷς αὐτὸς πεπολίτευται· ὧν ἕνα μὲν καὶ πάντων πρῶτον, ὡς ἔγωγε ἀκούω, καταλογίζεται ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ πρὸς Φίλιππον ὑπὲρ Ἀμφιπόλεως ἐπολεμοῦμεν[94]· τοῦτον δ' ἀφορίζεται τὸν χρόνον τῇ γενομένῃ[95] εἰρήνῃ καὶ συμμαχίᾳ, ἣν Φιλοκράτης ὁ Ἀγνούσιος ἔγραψε, καὶ αὐτὸς οὗτος μετ' ἐκείνου, ὡς ἐγὼ δείξω. Δεύτερον δὲ καιρὸν φησι γενέσθαι, ὃν ἡγεμὼν χρόνον τὴν εἰρήνην[96], δηλονότι μέχρι τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ καταλύσας τὴν ὑπάρχουσαν εἰρήνην τῇ πόλει ὁ αὐτὸς οὗτος ῥήτωρ ἔγραψε τὸν πόλεμον. Τρίτον δὲ ὃν ἐπολεμοῦμεν χρόνον μέχρι τῆς ἀτυχίας τῆς ἐν Χαιρωνείᾳ[97]. Τέταρτον δὲ τὸν νῦν παρόντα καιρόν. Ταῦτα δὲ καταριθμησάμενος, ὡς ἀκούω, μέλλει με παρακαλεῖν, καὶ ἐπερωτᾷν, ὁποίου τούτων τῶν τεττάρων αὐτοῦ καιρῶν κατηγορῶ, καὶ πότε αὐτὸν οὐ τὰ βέλτιστά φημι τῷ δήμῳ πεπολιτεῦσθαι· κἂν μὴ θέλω ἀποκρίνασθαι, ἀλλ' ἐγκαλύπτωμαι, καὶ ἀποδιδράσκω, ἐκκαλύψειν μέ φησι προσελθὼν καὶ ἄξειν ἐπὶ τὸ βῆμα, καὶ ἀναγκάσειν ἀποκρίνασθαι. Ἵν' οὖν μηθ' οὗτος ἰσχυρίζηται, ὑμεῖς τε προειδῆτε, ἐγώ τε ἀποκρίνωμαι[98] ἐναντίον σοι τῶν δικαστῶν, Δημόσθενες, καὶ τῶν ἄλλων πολιτῶν, ὅσοι δὴ ἔξωθεν περιεστᾶσι, καὶ τῶν Ἑλλήνων, ὅσοις ἐπιμελὲς γέγανεν ὑπακούειν τῆσδε τῆς κρίσεως· ὁρῶ δὲ οὐκ ὀλίγους παρόντας, ἀλλ' ὅσους οὐδεὶς πώποτε μέμνηται πρὸς ἀγῶνα δημόσιον παραγενομένους· ἀποκρίνομαι, ὅτι ἁπάντων τῶν τεττάρων καιρῶν κατηγορῶ σου, οὓς σὺ διαιρῇ, κἂν οἵ τε Θεοὶ θέλωσι καὶ οἱ δικασταὶ ἐξίσου ἡμῶν ἀκούσωσι, κἀγὼ δύνωμαι ἀπομνημονεῦσαι ἃ σοι σύνοιδα, πάνυ προσέχειν ἐπιδείξειν τοῖς δικασταῖς τῆς μὲν σωτηρίας τῇ πόλει τοὺς Θεοὺς αἰτίους γεγενημένους καὶ τοὺς φιλανθρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους[99], τῶν δὲ ἀτυχημάτων ἁπάντων Δημοσθένην αἴτιον γεγενημένον· καὶ χρήσομαι τῇ τοῦ λόγου τάξει ταύτῃ, ἣν τοῦτον πυνθάνομαι μέλλειν ποιεῖσθαι· λέξω δὲ πρῶτον περὶ τοῦ πρώτου καιροῦ καὶ δεύτερον περὶ τοῦ δευτέρου καὶ τρίτον περὶ τοῦ ἑφεξῆς καὶ τέταρτον περὶ τῶν νῦν καθεστηκότων πραγμάτων. Καὶ δὴ ἐπανάγω ἐμαυτὸν ἐπὶ τὴν εἰρήνην, ἣν σὺ καὶ Φιλοκράτης ἐγράψατε.

Ἡμῖν γὰρ ἐξεγένετ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν προτέραν ἐκείνην εἰρήνην ποιήσασθαι μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων, εἴ τινες ὑμᾶς εἴασαν περιμείναντας τὰς πρεσβείας, ἃς ἦτε ἐκπεπομφότες κατ' ἐκεῖνον τὸν καιρὸν εἰς τὴν Ἑλλάδα, παρακαλοῦντες ἐπὶ Φίλιππον μεταστεῖν[100] Ἑλληνικοῦ

---

92) Ἀπόδοσις τοῦ Τ α ῦ τ α μ ὲ ν οὖ ν. 93) Ἴδε σημ. 29. 94) Δηλ. τὸ γ'. ἔτος τῆς ρέ. Ὀλυμπ., ὅτε ἐκυρίευσε τῆς Ἀμφιπόλεως ὁ Φίλ. 95) Τὸ β'. ἔτος τῆς ρή. Ὀλυμπ. 96) Ἐξ ἔτη δηλ. διότι ὁ πόλεμος οὗτος ἤρχισε τὸ ά. ἔτος τῆς ρί. Ὀλυμπ. 97) Τὸ γ'. ἔτος τῆς ρί. Ὀλυμπ. τῇ ζ'. τοῦ Μεταγειτν. 98) Καὶ μὴ ἐγκαλυπτόμενος ἀποδιδράσκω δηλονότι. 99) Ἐννοεῖ τὸν Φίλιππον, ὁ ὁποῖος μετὰ τὴν ἐν Χαιρωνείᾳ νίκην, ἐφέρθη τῷ ὄντι μετριώτατα καὶ φιλανθρωπότατα πρὸς τοὺς Ἀθηναίους. 100) Ἐξεπέμψατε τὰς πρεσβ. παρακαλοῦντες αὐτὴν (τὴν Ἑλλάδα) μεταστεῖν Ἑλληνικοῦ συνεδρίου (συμμαχῆσαι) ἐπὶ

Συνεδρίου, καὶ προϊόντος τοῦ χρόνου παρ' ἑκόντων τῶν Ἑλλήνων ἀπολαβεῖν[102] τὴν ἡγεμονίαν καὶ τούτων ἀπεστερήθητε διὰ Δημοσθένην καὶ Φιλοκράτην καὶ τὰς τούτων ὠμορροκίας, ἃς ἐωμορρόκησαν συστάντες ἐπὶ τὸ δημόσιον τὸ ὑμέτερον[103]. Εἰ δέ τισιν ὑμῶν ἐξαίφνης ἀκούσασιν ἀπιστότερος προσπέπτωκεν ὁ τοιοῦτος λόγος, ἐκείνως[104] τὴν ὑπάλοιπον ποιήσασθε ἀκρόασιν, ὥσπερ[105] ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρόνου[106] καθεζώμεθα[107] ἐπὶ τοὺς λογισμούς· ἐρχόμεθα δήπου ψευδεῖς οἴκοθεν ἐνίοτε δόξας ἔχοντες κατὰ τῶν λογισμῶν· ἀλλ' ὅμως ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς ἡμῶν ἐστιν οὕτω δύσκολος τὴν φύσιν, ὅστις οὐκ ἀπέρχεται τοῦθ' ὁμολογήσας καὶ ἐπινεύσας ἀληθῆ εἶναι, ἃ ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ· οὕτω καὶ νῦν τὴν ἀκρόασιν ποιήσασθε· εἴ τινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἥκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν δόξαν, ὡς ἄρα ὁ Δημοσθένης οὐδὲν πώποτε εἴρηκεν ὑπὲρ Φιλίππου συστὰς μετὰ Φιλοκράτους, ὅστις οὕτω διάκειται, μήτε ἀπογνώτω μηδὲν μήτε καταγνώτω, πρὶν ἀκούσῃ· οὐ γὰρ δίκαιον· ἀλλ' ἐὰν ἐμοῦ διὰ βραχέων ἀκούσητε ὑπομιμνήσκοντος τοὺς καιροὺς καὶ τὸ ψήφισμα παρεγομένου, ὃ μετὰ Φιλοκράτους ἔγραψε Δημοσθένης, ἐὰν αὐτὸς ὁ τῆς ἀληθείας λογισμὸς ἐγκαταλαμβάνῃ τὸν Δημοσθένην πλείω μὲν γεγραφότα ψηφίσματα Φιλοκράτους περὶ τῆς ἐξ ἀρχῆς εἰρήνης καὶ συμμαχίας, καθ' ὑπερβολὴν δὲ αἰσχύνης κεκολακευκότα Φίλιππον καὶ τοὺς παρ' ἐκείνου πρέσβεις[108] οὐκ ἀναμείναντα, αἴτιον δὲ γεγονότα τῷ δήμῳ τοῦ μὴ μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον δὲ Φιλίππῳ πεποιηκότα Κερσοβλέπτην τὸν Θράκης βασιλέα, ἄνδρα φίλον καὶ σύμμαχον τῇ πόλει· ἐὰν ταῦθ' ὑμῖν σαφῶς ἐπιδείξω, δέησομαι ὑμῶν μετρίαν δέησιν· ἐπινεύσατέ μοι, πρὸς Θεῶν! τὸν πρῶτον τῶν τεττάρων καιρῶν μὴ καλῶς αὐτὸν πεπολιτεῦσθαι. λέξω δὲ ὅθεν[107] μάλιστα παρακολουθήσετε.

Ἔγραψε Φιλοκράτης ἐξεῖναι Φιλίππῳ δεῦρο κήρυκας καὶ πρέσβεις πέμπειν περὶ εἰρήνης καὶ συμμαχίας· τοῦτο τὸ ψήφισμα ἐγράφη παρανόμων. ἦκον οἱ τῆς κρίσεως χρόνοι· κατηγόρει μὲν Δυκῖνος ὁ γραψάμενος, ἀπελογεῖτο δὲ Φιλοκράτης, συναπελογεῖτο δὲ καὶ Δημοσθένης· ἀπέφυγε[108] Φιλοκράτης. μετὰ ταῦτα ἐπῆλθεν ὁ χρόνος[109], Θεμιστοκλῆς ἄρχων[110]· ἐνταῦθ' εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης, οὔτε λαγὼν οὔτ' ἐπιλαγὼν[111], ἀλλ' ἐκ παρασκευῆς[112] πριάμενος, ἵν' εἰς ὑποδοχὴν[112*] ἅπαντα καὶ

Φίλιππον (κατὰ τοῦ Φιλ.). 101) Ἐξεγένετο ἂν ἀπολαβεῖν. 102) Κατὰ τοῦ ὑμετέρα δημοσίου. 103) Ἐκείνως, ὥσπερ κατ' ἐκεῖνον (τὸν ἐξῆς) τρόπον. 104) Μετὰ πολὺν χρόνον.

105) Συνεδριαζωμεν. 106) Τοὺς πρέσβεις ὡς ἀντικειμ. τοῦ κεκολακευκότα. Φαίνεται δὲ ὅτι ἐξεβράδυναν, διὰ τὴν συγκυρίαν, καὶ ἄλλαι τέσσαρες-πέντε λέξεις τοῦ κειμένου, ἃς καὶ ἀναπληρωτέον οὕτω πως: Κεκολακευκότα Φίλιππον καὶ τοὺς παρ' ἐκείνου πρέσβεις· Τοὺς δὲ παρ' ὑμῶν [πρέσβεις] οὐκ ἀναμείναντα κτλ. Διότι, ὡς ἐκ τῶν ἑξῆς γίνεται δῆλον, ὁ Δημ. τοὺς μὲν τοῦ Φιλ. πρέσβεις ὑπερεθεράπευσε· τὴν δὲ ἐπιστροφὴν τῶν πρέσβεων, τῶν εἰς τὰς Ἑλληνίδας πόλεις σταλέντων ὑπὸ τῶν Ἀθην., οὐ περιέμεινε.

107) (Ἐνν.) Ἐκεῖθεν ἀρξάμενος, ὅθεν. 108) Ἀφώνδετος ὁ λόγος, ἐμφαίνων ἀφέλειαν καὶ ἁπλότητα πρὸς δήλωσιν ἀληθείας.

109) Ὁ τῶν ἀρχαιρεσιῶν. 110) Τὸ β'. ἔτος τῆς ρή. Ὀλυμ. 111) Οὔτε καθαυτὸ βουλευτὴς λαγών, οὔτε ἀναπληρωτικός (τοῦτο γὰρ δηλοῖ τὸ Ἐπιλαγών) ἀντὶ τοῦ λαχόντος.

112) Ἀνταλλάξας εἰς τὸ πινάκιον τὸ ὄνομα τοῦ λαχόντος, ὃν ἔπεισε διὰ χρημάτων. Ἀλλ' ἐχθροῦ λόγοι οὗτοι καὶ τοῦ χαρακτῆρος τοῦ Δημοσθένους ἀνοίκειοι. 112*) Εἰς ὑποδοχήν.

λέγοι καὶ πράττοι Φιλοκράτει, ὡς αὐτὸ ἔδειξε τὸ ἔργον. νικᾷ γὰρ ἕτερον ψήφισμα Φιλοκράτης, ἐν ᾧ κελεύει ἑλέσθαι δέκα πρέσβεις[113], οἵτινες ἀφικόμενοι πρὸς Φίλιππον ἀξιώσουσιν αὐτὸν δεῦρο πρέσβεις αὐτοκράτορας πέμπειν ὑπὲρ τῆς εἰρήνης. τούτων εἷς ἦν Δημοσθένης. κἀκεῖθεν ἐπανήκων ἐπαινέτης ἦν τῆς εἰρήνης, καὶ ταὐτὰ τοῖς ἄλλοις πρέσβεσιν ἀπήγγειλε, καὶ μόνος τῶν βουλευτῶν ἔγραψε σπείσασθαι τῷ κήρυκι τῷ παρὰ τοῦ Φιλίππου καὶ τοῖς πρέσβεσιν, ἀκόλουθα γράφων Φιλοκράτει· ὁ μέν γε[114] τὴν ἐξουσίαν δέδωκε τοῦ δεῦρο κήρυκα καὶ πρέσβεις πέμπεσθαι· ὁ δὲ[115] τῇ πρεσβείᾳ σπένδεται. Τὰ δὲ μετὰ ταῦτα ἤδη μοι σφόδρα προσέχετε τὸν νοῦν· ἐπράττετο γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις τὰ[116] πολλὰ, συκοφαντηθέντας ὕστερον ἐκ μεταβολῆς[117] ὑπὸ Δημοσθένους, ἀλλὰ πρὸς Φιλοκράτην καὶ Δημοσθένην, εἰκότως· τοὺς ἅμα μὲν πρεσβεύοντας, ἅμα δὲ τὰ ψηφίσματα γράφοντας, πρῶτον μὲν ὅπως[118] μὴ περιμείνητε τοὺς πρέσβεις, οὓς ἦτε ἐκπεπομφότες, παρακαλοῦντες ἐπὶ Φίλιππον, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων, ἀλλ' ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην· δεύτερον δ' ὅπως μὴ μόνον τὴν εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν εἶναι ψηφιεῖσθε πρὸς Φίλιππον, ἵν' εἴ τινες[119] προσέχοιεν τῷ πλήθει τῷ ὑμετέρῳ, εἰς τὴν ἐσχάτην ἐμπέσοιεν ἀθυμίαν, ὁρῶντες ὑμᾶς αὐτοὺς[120] μὲν παρακαλοῦντας ἐπὶ τὸν πόλεμον, οἴκοι δὲ μὴ μόνον εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν ἐψηφισμένους ποιεῖσθαι· τρίτον δὲ, ὅπως Κερσοβλέπτης ὁ Θρᾴκης βασιλεὺς μὴ ἔσται ἔνορκος[121], μηδὲ μετέσται τῆς συμμαχίας καὶ τῆς εἰρήνης αὐτῷ· παρήγγελτο[122] δ' ἤδη ἐπ' αὐτὸν στρατεία. καὶ ταῦθ' ὁ μὲν ἐξωνούμενος[123] οὐκ ἠδίκει· πρὸ γὰρ τῶν ὅρκων καὶ τῶν συνθηκῶν ἀνεμέστητον ἦν αὐτῷ πράττειν τὰ συμφέροντα· οἱ δὲ ἀποδόμενοι καὶ κατακοινώσαντες[124] τὰ τῆς πόλεως ἰσχυρὰ, μεγάλης ὀργῆς ἦσαν ἄξιοι. ὁ γὰρ μισαλέξανδρος νυνὶ φάσκων εἶναι καὶ τότε μισοφίλιππος Δημοσθένης, ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τὴν Ἀλεξάνδρου[125], γράφει ψήφισμα, τοὺς καιροὺς τῆς πόλεως ὑφαιρούμενος, ἐκκλησίαν ποιεῖν τοὺς πρυτάνεις τῇ ὀγδόῃ ἱσταμένου τοῦ Ἐλαφηβολιῶνος μηνὸς, ὅτ' ἦν τῷ Ἀσκληπιῷ ἡ θυσία καὶ ὁ προαγὼν[126], ἐν τῇ ἱερᾷ[127] ἡμέρᾳ, ὃ πρότερον οὐδεὶς μέμνηται γενόμενον, τίνα πρόφασιν ποιησάμενος; Ἵνα, φησὶν, ἐὰν ἤδη παρῶσιν οἱ τοῦ Φιλίππου πρέσβεις, βουλεύσηται ὁ δῆμος ὡς τάχιστα περὶ τῶν πρὸς Φίλιππον, τοῖς οὔπω παροῦσι πρέσβεσι προκαταλαμβάνων τὴν ἐκκλησίαν, καὶ τοὺς χρόνους ὑμῶν ὑποτεμνόμενος, καὶ τὸ πρᾶγμα κατασπεύδων, ἵνα μὴ μετὰ τῶν

Ἐκεῖνος νὰ προτείνῃ, καὶ αὐτὸς, ὑποδεχόμενος τοὺς λόγους ἐκείνου, νὰ ἐπιψηφίζῃ, καὶ νὰ συμπράττῃ. [113]) Ἦσαν δὲ οἱ ἑξῆς: Κτησιφῶν, Φιλοκράτης, Κίμων, Ἀριστόδημος, Ναυσικλῆς ἢ Ἰατροκλῆς, Φρύνων, Δέρκυλλος (Λυκοκλέους Ἀγνούσιος), Ἀριστόδημος ὁ ὑποκριτὴς, Αἰσχίνης, Δημοσθένης· οἷς προσετέθη ἔπειτα ὑπὸ τοῦ δήμου ὡς ἑνδέκατος, ὁ Ἀγλαοκρέων ὁ Τενέδιος, ὡς ἐκ μέρους τῶν συμμάχων. [114]) Αἰτιολογικός. [115]) Ὁ δὲ Δημοσθ. [116]) Ἐν ἄλλοις: Τοὺς πολλὰ συκοφαντηθέντας. [117]) Μεταβαλόντος τρόπον. [118]) Γράφοντας. [119]) Τῶν ἄλλων Ἑλλήνων. [120]) Τοὺς ἄλλως Ἕλλ. [121]) Μὴ προφθάσῃ νὰ συμπεριληφθῇ εἰς τοὺς ὅρκους. [122]) Ὑπὸ τοῦ Φιλ. [123]) Ὁ Φίλιππος. [124]) Κατὰ διόρθ. τοῦ Ῥεϊσκ. ἀντὶ Κατακοινωνήσαντες. Εἶη δ' ἂν τὸ Κατακοινώσαντες, ἐξευτελίσαντες ἐπὶ κακῷ τῆς πόλεως. [125]) Ἴδε Δημοσθ. ἐν τῷ Περὶ Στεφ. § κε'. [126]) Ἀγῶνες μουσικῆς, ἐὰν συμπεράνωμεν ἀπὸ τὰ τελούμενα ἐπίσημα Ἀσκληπιῆτα ἐν Ἐπιδαύρῳ. [127]) Καὶ ἐπομένως ἐορτασίμῳ, μὴ ἐργασίμῳ.

ἄλλων Ἑλλήνων, ἐπανελθόντων τῶν ὑμετέρων πρέσβεων, ἀλλὰ μόνοι ποιήσησθε τὴν εἰρήνην. Μετὰ δὲ ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, ἦκον οἱ τοῦ Φιλίππου πρέσβεις· οἱ δὲ ὑμέτεροι ἀπεδήμουν παρακαλοῦντες τοὺς Ἕλληνας ἐπὶ Φίλιππον. Ἐνταῦθ' ἕτερον ψήφισμα νικᾷ Δημοσθένης, ἐν ᾧ γράφει μὴ μόνον ὑπὲρ τῆς εἰρήνης, ἀλλὰ καὶ συμμαχίας ὑμᾶς βουλεύσασθαι, μὴ περιμείναντας τοὺς πρέσβεις τοὺς ὑμετέρους, ἀλλ' εὐθὺς μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει, τῇ ὀγδόῃ καὶ ἐννάτῃ ἐπὶ δέκα[128]. Ὅτι δὲ ἀληθῆ λέγω, ἀκούσατε τῶν ψηφισμάτων.

ΨΗΦΙΣΜΑΤΑ.

Ἐπειδὴ[129] τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, παρελήλυθε τὰ Διονύσια, ἐγίγνοντο δὲ αἱ ἐκκλησίαι, ἐν δὲ τῇ προτέρᾳ τῶν ἐκκλησιῶν ἀνεγνώσθη δόγμα κοινὸν τῶν συμμάχων, οὗ τὰ κεφάλαια διὰ βραχέων ἐγὼ προερῶ. Πρῶτον μὲν γὰρ ἔγραψαν ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι, τὸ δὲ τῆς συμμαχίας ὄνομα ὑπερέβησαν, οὐκ ἐπιλελησμένοι, ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν ἡ καλλίω[130] ὑπολαμβάνοντες εἶναι· ἔπειτα ἀπήντησαν ὀρθῶς ἰσάμενοι τὸ Δημοσθένους ὠροδόκημα[131], καὶ προσέγραψαν ἐν τῷ δόγματι ἐξεῖναι τῷ βουλομένῳ τῶν Ἑλλήνων ἐν τρισὶ μησὶν εἰς τὴν αὐτὴν στήλην ἀναγεγράφθαι μετ' Ἀθηναίων καὶ μετέχειν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, δύο μέγιστα προκαταλαμβάνοντες· πρῶτον μὲν τὸν χρόνον τὸν τῆς τριμήνου ταῖς τῶν Ἑλλήνων πρεσβείαις ἱκανὸν γενέσθαι παρασκευάζοντες, ἔπειτα τὴν τῶν Ἑλλήνων εὔνοιαν τῇ πόλει μετὰ κοινοῦ συνεδρίου κτώμενοι, ἵν', εἰ παραβαίνοιντο αἱ συνθῆκαι, μὴ μόνοι μηδ' ἀπαράσκευοι πολεμήσαιμεν· ἃ νῦν ὑμῖν παθεῖν συνέβη διὰ Δημοσθένην. Ὅτι δὲ ἀληθῆ λέγω, ἐξ αὐτοῦ τοῦ δόγματος ἀκούσαντες μαθήσεσθε.

ΔΟΓΜΑ ΣΥΜΜΑΧΩΝ.

Τούτῳ τῷ δόγματι συνειπεῖν ὁμολογῶ, καὶ πάντες[132] οἱ ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγοροῦντες· καὶ ὁ δῆμος ἀπῆλθε τοιαύτην τινὰ δόξαν εἰληφώς, ὡς ἔσαι μὲν ἡ εἰρήνη, περὶ δὲ συμμαχίας οὐκ ἄμεινον εἴη διὰ τὴν τῶν Ἑλλήνων παράκλησιν[133] βουλεύσασθαι· ἔσται δὲ κοινῇ μετὰ τῶν Ἑλλήνων ἁπάντων. νὺξ[134] ἐν μέσῳ, καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν. Ἐνταῦθα δὴ προκαταλαμβάνων Δημοσθένης τὸ βῆμα, οὐδενὶ τῶν ἄλλων παραλιπὼν λόγον, οὐδὲν ὄφελος ἔφη τῶν χθὲς εἰρημένων εἶναι λόγων, εἰ ταῦθ' οἱ Φιλίππου μὴ συμπεισθήσονται πρέσβεις, οὐδὲ γιγνώσκειν ἔφη τὴν εἰρήνην, ἀπούσης συμμαχίας. οὐ γὰρ ἔφη δεῖν, (καὶ γὰρ τὸ ῥῆμα μέμνημαι ὡς εἶπε, διὰ τὴν ἀηδίαν τοῦ λέγοντος ἅμα καὶ τοῦ ὀνόματος[135])

---

128) Ἐκ τούτου μανθάνομεν ὅτι τὰ ἐν ἄστει ἢ μεγάλα ταῦτα Διονύσια ἐτελοῦντο μεταξὺ τῶν 10—18 τοῦ Ἐλαφηβολιῶνος. 129) Ἀναναπάδοτος ὁ Ἐπειδή, διὰ τὰ παρεμπεσόντα μεταξύ. Τοῦτο δὲ συχνάκις ἀπαντᾶται παρὰ τοῖς ῥήτορσιν. Ἴδε καὶ τὴν 316 σημ. τοῦ Περὶ στεφ. τοῦ Δημοσθ. 130) Ἐξ ἀνάγκης ὑπαγορευθεῖσαν μᾶλλον ἢ καλήν.

131) Τὸ διὰ τὴν ὠροδοκίαν σφάλμα. 132) Σημειωτέα ἡ κατ' ἔφελκ. αὕτη φράσις, ἔχουσα ὑπονοούμενον τὸ Συνεῖπον. 133) Διότι ἀπῆσαν πρέσβεις ἡμῶν παρακαλέσοντες ἐπὶ συμμαχίαν τοὺς Ἕλληνας. 134) (ἐνν.) Ἐγένετο μία. 135) Δὲν εἴμεθα σήμερον εἰς κατάστασιν νὰ κρίνωμεν διατί ἐφάνη τόσον ἀηδὴς ἡ λέξις Ἀπορρήξαι εἰς τὸν Αἰσχ. Γνωρίζο-

ἀπορρῆξαι τῆς εἰρήνης τὴν συμμαχίαν, οὐδὲ τὰ τῶν Ἑλλήνων ἀναμένειν μελλήματα, ἀλλ' ἢ πολεμεῖν αὐτοὺς[136], ἢ τὴν εἰρήνην ἰδίᾳ ποιεῖσθαι. Καὶ τελευτῶν ἐπὶ τὸ βῆμα παρακαλέσας Ἀντίπατρον[137], ἐρώτημά τι ἠρώτα, προεπὼν μὲν ἃ ἐρήσεται, προδιδάξας δὲ ἃ χρὴ κατὰ τῆς πόλεως ἀπακρίνασθαι· καὶ τέλος ταῦτα ἐνίκα, τῷ μὲν λόγῳ προβιασαμένου Δημοσθένους, τὸ δὲ ψήφισμα γράψαντος Φιλοκράτους. Ὃ δὲ ἦν ὑπόλοιπον αὐτοῖς, Κερσοβλέπτην καὶ τὸν ἐπὶ Θράκης τόπον ἕκδοτον ποιῆσαι, καὶ τοῦτ' ἔπραξαν ἕκτῃ φθίνοντος[138] τοῦ Ἐλαφηβολιῶνος μηνός, πρὶν ἐπὶ τὴν ὑστέραν ἀπαίρειν[139] πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους Δημοσθένην· ὁ γὰρ μισαλέξανδρος καὶ μισοφίλιππος ὑμῖν οὗτος ῥήτωρ εἰς ἐπρέσβευσεν ἐν Μακεδονίᾳ, ἐξὸν μηδὲ ἅπαξ, ὁ νυνὶ κελεύων τῶν Μακεδόνων καταπτύειν. Εἰς δὲ τὴν ἐκκλησίαν, τὴν τῇ ἕκτῃ[140] λέγω, καθεζόμενος[105] βουλευτὴς ὢν ἐκ παρασκευῆς, ἔκδοτον Κερσοβλέπτην μετὰ Φιλοκράτους ἐποίησε. λανθάνει γὰρ ὁ μὲν Φιλοκράτης ἐν ψηφίσματι μετὰ τῶν ἄλλων γραμμάτων παρεγγράψας, ὁ δ'[141] ἐπιψηφίσας, Δημοσθένης, ἐν ᾧ γέγραπται, α ἀποδοῦναι δὲ τοὺς ὅρκους τοῖς πρέσβεσι τοῖς παρὰ Φιλίππου ἐν τῇδε τῇ ἡμέρᾳ τοὺς συνέδρους τῶν συμμάχων. » παρὰ δὲ Κερσοβλέπτου σύνεδρος οὐκ ἐκάθητο· γράψας δὲ τοὺς συνεδρεύοντας ὀμνύναι, τὸν Κερσοβλέπτην οὐ συνεδρεύοντα ἐξέκλεισε τῶν ὅρκων. Ὅτι δὲ ἀληθῆ λέγω, ἀνάγνωθί μοι, τίς ἦν ὁ ταῦτα γράψας καὶ τίς ὁ ταῦτα ἐπιψηφίσας πρόεδρος.

ΨΗΦΙΣΜΑ. ΠΡΟΕΔΡΟΣ.

Καλόν, ὦ ἄνδρες Ἀθηναῖοι, καλὸν ἡ τῶν δημοσίων γραμμάτων φυλακή· ἀκίνητον γάρ ἐστι, καὶ οὐ συμμεταπίπτει τοῖς αὐτομολοῦσιν[142] ἐν τῇ πολιτείᾳ, ἀλλ' ἐπέδωκε τῷ δήμῳ, ὁπόταν βούληται, συνιδεῖν τοὺς πάλαι μὲν πονηροὺς, ἐκ μεταβολῆς δ' ἀξιοῦντας εἶναι χρηστούς.

Ὑπόλοιπον δ' ἐστί μοι τὴν κολακείαν αὐτοῦ διεξελθεῖν. Δημοσθένης γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἑνιαυτὸν βουλεύσας οὐδεμίαν πώποτε φανεῖται πρεσβείαν εἰς προεδρίαν καλέσας, ἀλλὰ τότε πρῶτον καὶ μόνον πρέσβεις εἰς προεδρίαν ἐκάλεσε, καὶ προσκεφάλαια ἔθηκε καὶ φοινικίδας[143] περιεπέτασε, καὶ ἅμα τῇ ἡμέρᾳ[144] ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συρίττεσθαι διὰ τὴν ἀσχημοσύνην καὶ κολακείαν· καὶ ὅτ' ἀπῆσαν εἰς Θήβας, ἐμισθώσατο αὐτοῖς τρία ζεύγη ὁρικὰ[145], καὶ τοὺς πρέσβεις προὔπεμψεν εἰς Θήβας, καταγέλαστον τὴν πόλιν ποιῶν. Ἵνα δ' ἐπὶ τῆς ὑποθέσεως μείνω, λάβε μοι τὸ ψήφισμα τὸ περὶ τῆς προεδρίας.

μεν ἐν τούτοις ὅτι ὁ Δημοσθένης δὲν ἠμποροῦσε νὰ προφέρῃ τρανῶς (οὐ διηκρίβωσε) τὸ ρ. 136) Ἡμᾶς, ἡμεῖς μονοι. 137) Ἕνα τῶν παρὰ Φιλίππου πρέσβεων. 138) Ὄχι τῇ 26, καθὼς τὸ μετέφρασεν ὁ Οὐόλφ., ἀλλὰ τῇ 24. Ἴδε καὶ τὴν σημ. 276 τοῦ περὶ Στεφ. 139) Πρὶν τὸν Δημοσθ. ἀπαίρειν, πρὶν κινήσῃ ὁ Δ. διὰ τὴν πρ. 140) Τὴν (γενομένην) τῇ ἕκτῃ. 141) Λανθάνει γὰρ ὁ μὲν Φ. παρεγγράψας, ὁ δὲ Δ. (καθὼ πρόεδρος) ἐπιψηφίσας. 142) Ἀπὸ μεταφορᾶς τῶν στρατ. 143) Ἡ προεδρία αὕτη, ἤτις καὶ Πρῶτον ξύλον ἐλέγετο, ἦτον εἶδος τιμῆς, τὴν ὁποίαν ἀπελάμβανον εἰς τὸ ἐν Διονυσίοις θέατρον ὅσοι ἐκρίνοντο ἄξιοι αὐτῆς ὑπὸ τοῦ Δήμου. 144) Φοινικὰ παραπετάσματα, ἵνα μὴ τοὺς ἐνοχλῇ ὁ ἥλιος. 145) Καθὼς λέγομεν τώρα· Μὲ τὰ ἡμερώματα. 146) Ὀχήματα συρόμενα ὑπὸ ὄρεων (ἡμιόνων).

ΨΗΦΙΣΜΑ.

Οὗτος τοίνυν, ὦ Ἀθηναῖοι, ὁ τηλικοῦτος τὸ μέγεθος κόλαξ, πρῶτος διὰ τῶν κατασκόπων, τῶν παρὰ Χαριδήμου[147], πυθόμενος τὴν Φιλίππου τελευτὴν[148], τῶν μὲν θεῶν συμπλάσας ἑαυτῷ ἐνύπνιον κατεψεύσατο, ὡς οὐ παρὰ Μαριδήμου τὸ πρᾶγμα πεπυσμένος, ἀλλὰ παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς, οἷς μεθ' ἡμέραν ἐπιορκῶν νύκτωρ φησὶν ἑαυτῷ διαλέγεσθαι καὶ τὰ μέλλοντα ἔσεσθαι προλέγειν, ἐβούλην ὁ ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα λαβὼν εὐθυθύτει καὶ παρηνόμει[149], τὴν μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προσειποῦσαν ἀπολέσας. Καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω, ἀλλὰ τὸν τρόπον ἐξετάζω· ὁ γὰρ μισότεκνος καὶ πατὴρ πονηρὸς οὐκ ἂν ποτε γένοιτο δημαγωγὸς χρηστός, οὐδὲ ὁ τὰ φίλτατα καὶ οἰκειότατα σώματα μὴ στέργων οὐδέποθ' ὑμᾶς περὶ πλείονος ποιήσεται τοὺς ἀλλοτρίους, οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς οὐκ ἂν ποτε γένοιτο δημοσίᾳ χρηστός, οὐδ' ὅστις ἐστὶν οἰκοι φαῦλος οὐδέποτ' ἦν ἐν Μακεδονίᾳ κατὰ τὴν πρεσβείαν καλὸς κἀγαθός· οὐ γὰρ τὸν τρόπον[150], ἀλλὰ τὸν τόπον[150] μόνον μετήλλαξε.

Πόθεν οὖν ἐπὶ τὴν μεταβολὴν ἦλθε τῶν πραγμάτων· οὗτος γάρ ἐστιν ὁ δεύτερος καιρός· καὶ τί ποτ' ἐστὶ τὸ αἴτιον, ὅτι Φιλοκράτης μὲν ἀπὸ[151] τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ' εἰσαγγελίας γεγένηται, Δημοσθένης δὲ ἐπέστη τῶν ἄλλων κατηγορος, καὶ πόθεν ποθ' ἡμᾶς εἰς τὰς ἀτυχίας ὁ μιαρὸς ἄνθρωπος ἐμβέβληκε, ταῦτ' ἤδη διαφερόντως ἄξιόν ἐστιν ἀκοῦσαι. Ὡς γὰρ τάχιστα εἶσω Πυλῶν Φίλιππος παρῆλθε καὶ τὰς τε ἐν Φωκεῦσι πόλεις παραδόξως ἀναστάτους ἐποίησε, Θηβαίους δὲ, ὡς τόθ' ὑμῖν ἐδόκει, περαιτέρω[152] τοῦ καιροῦ καὶ τοῦ ὑμετέρου συμφέροντος ἰσχυροὺς κατεσκεύασεν, ὑμεῖς δὲ ἐκ τῶν ἀγρῶν φοβηθέντες ἐσκευαγωγήσατε, ἐν ταῖς μεγίσταις δ' ἦσαν αἰτίαις οἱ πρέσβεις οἱ τὴν εἰρήνην πρεσβεύσαντες, πολὺ δὲ τῶν ἄλλων διαφερόντως Φιλοκράτης καὶ Δημοσθένης, διὰ τὸ μὴ μόνον πρεσβεύειν, ἀλλὰ καὶ ψηφίσματα γεγραφέναι, συνέβη δ' ἐν τοῖς αὐτοῖς χρόνοις διαφέρεσθαί τι Δημοσθένην καὶ Φιλοκράτην σγεδὸν ὑπὲρ τούτων, ὑπὲρ ὧν καὶ ὑμεῖς αὐτοὺς ὑπωπτεύσατε διενεχθῆναι, τοιαύτης δὲ[153] ἐμπιπτούσης ταραχῆς, μετὰ τῶν συμφύτων νοσημάτων αὐτῷ ἤδη τὰ μετὰ ταῦτα ἐδουλεύετο, μετὰ δειλίας καὶ τῆς πρὸς Φιλοκράτην ὑπὲρ τῆς ὠροδοκίας ζηλοτυπίας, καὶ ἠγήσατο, εἰ τῶν συμπρεσβευσάντων καὶ τοῦ Φιλίππου κατήγορος ἀναφανείη, τὸν μὲν Φιλοκράτην προδήλως ἀπολεῖσθαι, τοὺς δὲ ἄλλους πρέσβεις κινδυνεύσειν, αὐτὸς δ' εὐδοκιμήσειν καὶ, προδότης ὢν τῶν φίλων καὶ πονηρὸς, πιστὸς τῷ δήμῳ φανήσεσθαι. Κατιόντες δ' αὐτὸν οἱ τῆ τῆς πόλεως προσπολεμοῦντες ἡσυχίᾳ, ἄσμενοι παρεκάλουν ἐπὶ τὸ βῆμα, τὸν μόνον ἀδωροδόκητον ὀνομάζοντες τῇ πόλει· ὁ δὲ, παριὼν, ἀρχὰς αὐτοῖς ἐνεδίδου

---

147) Ὁ Χαρίδημος, περὶ οὗ ὅδε σημ. 87, εἶχε, φαίνεται, κατασκόπους εἰς τὴν αὐλὴν τοῦ Φιλίππου. 148) Ὁ Φιλ. ἐφονεύθη τῷ ά. ἔτει τῆς ριά. Ὀλυμπ. 149) Διότι ὁ ἔχων πένθος δὲν ἐλάμβανε μέρος εἰς τὰς θυσίας καὶ ἑορτάς. 150) Παρωνομασία τὸ σχῆμα.

151) Ἐξ αἰτίας τῶν αὐτῶν πολιτ. 152) Πλειότερον παρ' ὅσον ἀπῄτουν αἱ περιστάσεις ἢ τὰ συμφέροντά Σας. 153) Ἴσως ἦτον ἐπὶ

πολέμου καὶ ταραχῆς. Οὗτός ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὁ πρῶτος ἐξευρὼν Σέρριον[153] τεῖχος καὶ Δορίσκον[154] καὶ Ἐργίσκην καὶ Μουργίσκην[155] καὶ Γάνος[156] καὶ Γανίδα, χωρία, ὧν οὐδὲ τὰ ὀνόματα ἤδειμεν πρότερον· καὶ ἐς τοῦτο φέρων περιέστησε τὰ πράγματα, ὥστ', εἰ μὲν μὴ πέμποι, Φίλιππος πρέσβεις, καταφρονεῖν αὐτὸν ἔφη τῆς πόλεως, εἰ δὲ πέμποι κατασκόπους πέμπειν, ἀλλ' οὐ πρέσβεις· εἰ δὲ ἐπιτρέπειν[157] ἐθέλοι πόλει τινὶ ἴσῃ καὶ ὁμοίᾳ[158] περὶ τῶν ἐγκλημάτων, οὐκ εἶναι κριτὴν ἴσον ἡμῖν ἔφη καὶ Φιλίππῳ[159]. Ἀλόννησον[160] εἰδέτου· ὁ δ' ἀπηγόρευε μὴ λαμβάνειν, εἰ δίδωσιν, ἀλλὰ μὴ ἀποδίδωσι, περὶ συλλαβῶν διαφερόμενος· καὶ τὸ τελευταῖον στεφανώσας τοὺς μετὰ Ἀριστοδήμου[161] εἰς Θετταλίαν καὶ Μαγνησίαν παρὰ τὰς τῆς εἰρήνης συνθήκας ἐπιστρατεύσαντας, τὴν μὲν εἰρήνην διέλυσε, τὴν δὲ συμφορὰν καὶ τὸν πόλεμον παρεσκεύασε.

Ναί, ἀλλὰ χαλκοῖς καὶ ἀδαμαντίνοις τείχεσιν[162], ὡς αὐτός φησι, τὴν χώραν ἡμῶν ἐτείχισε, τῇ τῶν Εὐβοέων καὶ Θηβαίων συμμαχίᾳ. Ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ταῦτα τρία τὰ μάλιστα ἠδικήσθε καὶ μάλιστα ἠγνοήκατε. Σπεύδων δ' εἰπεῖν περὶ τῆς θαυμαστῆς[163] συμμαχίας τῆς τῶν Θηβαίων, ἵνα ἐφεξῆς[163*] εἴπω, περὶ τῶν Εὐβοέων πρῶτον μνησθήσομαι.

Ὑμεῖς γάρ, ὦ Ἀθηναῖοι, πολλὰ καὶ μεγάλα ἠδικημένοι ὑπὸ Μνησάρχου τοῦ Χαλκιδέως, τοῦ Καλλίου καὶ Ταυροσθένους πατρός, οὓς οὗτος νυνὶ μισθὸν λαβὼν Ἀθηναίους εἶναι τολμᾷ γράφειν, καὶ πάλιν ὑπὸ Θεμίσωνος[164] τοῦ Ἐρετριέως, ὃς ἡμῶν, εἰρήνης οὔσης, ὡρωπὸν ἀφείλετο, τούτων ἑκόντες ἐπιλανθανόμενοι, ἐπειδὴ διέβησαν εἰς Εὔβοιαν Θηβαῖοι, καταδουλώσασθαι τὰς πόλεις πειρώμενοι, ἐν πέντε ἡμέραις[164*] ἐβοηθήσατε αὐτοῖς καὶ ναυσὶ καὶ πεζικῇ δυνάμει, καὶ πρὶν τριάκοντα ἡμέρας διελθεῖν ὑποσπόνδους Θηβαίους ἀφήκατε, κύριοι τῆς Εὐβοίας γενόμενοι, καὶ τὰς τε πόλεις αὐτὰς[165] καὶ τὰς πολιτείας ἀπέδοτε ὀρθῶς καὶ δικαίως τοῖς παρακαταθεμένοις, οὐχ ἡγούμε-

---

153) Ἀκρωτήριον ἡ πόλις τῆς Θράκης, ἀντικρὺ Σαμοθράκης, τὴν σήμερον Μάκρη.

154) Πόλις τῆς Θράκης παρὰ τὰς ἐκβολὰς τοῦ Ἕβρου ποταμοῦ. Ἐδῶ ἐμέτρησεν ὁ Ξέρξης τὸ στράτευμά του, κατὰ τὸν Ἡρόδ. Ζ'. 59. 155) Τὴν Μουργίσκην ἔπλασε κατὰ συνήχησιν τῆς Ἐργίσκης ὁ Αἰσχίνης, πρὸς ἐξευτελισμὸν τῶν χωρίων τούτων, τῶν ὁποίων οὔτε τὰ ὀνόματα δῆθεν ἠδύνατο εἰς νὰ ἐνθυμηθῇ: τόσον ἄγνωστα καὶ ἀσήμαντα ἦσαν!

156) Τὸ Γάνος ἐν ἀπὸ τὰ Γανόχωρα τῆς Θράκης, διετήρησε καὶ σήμερον τὸ ὄνομά του, ἔχον καὶ ἐπίσκοπον τὸν Γάνου καὶ Χώρας. 157) Τὴν διαιτησίαν τῆς φιλονεικίας.

158) (ἴσνν.) Δίκῃ. 159) Καὶ εἶχε δίκαιον· διότι κάμμία τότε πόλις δὲν εἶχεν ἀρκετὴν δύναμιν, ὥστε νὰ ἀποφασίσῃ ἀδεῶς μεταξὺ τῶν διαφερομένων. 160) Νῆσος πλησίον τῆς Σκοπέλου, Ἡλιοδρόμια κοινῶς καλουμένη. Περὶ αὐτῆς καὶ λόγος σώζεται τοῦ Δημοσθ. ὅπου τῷ ὄντι ἐπιμένει εἰς τὴν λέξιν Ἀπολαμβάνειν, καὶ ὄχι ἁπλῶς Λαμβάνειν.

161) Ὁ Οὐολφ. νομίζει ὅτι ἀντὶ Ἀριστοδήμου γραπτέον Χαριδήμου. 162) Ἴδε Δημοσθ. περὶ Στεφ. § ρμ'. 163) Εἰρωνικῶς. 163*) Κατὰ χρονολογικὴν σειράν. 164) Ἴδε τὴν 227 σημ. τοῦ Περὶ Στεφ. λόγου τοῦ Δημοσθ. 164*) Ἐν τρισὶ μόναις, κατὰ τὸν Δημοσθ. ἐν τῷ κατὰ Ἀνδροτ., ὅτε καὶ σωθέντες οἱ Εὐβοεῖς ἐστεφάνωσαν τὸν δῆμον. Ἡ ταχύτης δὲ αὕτη καὶ προθυμία τῶν Ἀθην. ὑπῆρξε κατὰ μέγα μέρος ἔργον τῶν λόγων τοῦ στρατηγοῦ Τιμοθέου. « Δημηγορήσας γὰρ ἐν τῷ δήμῳ, εἶπεν οὕτω πως· « Εἰπέ μοι, βουλεύεσθε, ἔφη, Θη» βαίους ἔχοντες ἐν νήσῳ, τί χρήσεσθε καὶ τί δεῖ ποιεῖν; οὐκ ἐμπλήσετε τὴν θάλατταν, » ὦ ἄνδρες Ἀθηναῖοι, τριηρῶν; οὐκ ἀναστάντες ἤδη πορεύσεσθε εἰς Πειραιᾶ; οὐ καθέλ» ξετε τὰς ναῦς »; (Δημοσθ. ἐν τῷ περὶ τῶν ἐν Χερρονήσῳ πραγμ.). 165) Νομίζω ὅτι ὀρθότερον ἦτον Αὐτοῖς. Τὸ δὲ Τοῖς παρακαταθεμένοις, ὡς ἐπεξήγησις τοῦ Ὀρθῶς καὶ δικαίως.

νοι δίκαιον εἶναι τὴν ὀργὴν ἀπομνημονεύειν ἐν τῷ πεφευθῆναι[396]· καὶ τηλικαῦθ' ὑφ' ὑμῶν εὖ πεπονθότες οἱ Χαλκιδεῖς, αὐτὰς ὁμοίας ὑμῖν ἀπέδοσαν χάριτας, ἀλλ' ἐπειδὴ τάχιστα διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ[397] βοηθήσοντες, τοὺς μὲν πρώτους χρόνους ἀλλ' οὖν προσεποιοῦνθ' ὑμῖν εἶναι φίλοι, ἐπειδὴ δὲ τάχιστα εἰς Ταμύνας[398] παρήλθομεν, καὶ τὸ Κοτύλαιον ὀνομαζόμενον ὄρος ὑπερεβάλλομεν, ἐνταῦθα Καλλίας ὁ Χαλκιδεύς, ὃν Δημοσθένης μισθαρνῶν ἐνεκωμίαζεν, ὁρῶν τὸ στρατόπεδον τὸ τῆς πόλεως εἴς τινας δυσχωρίας κατακεκλεισμένον, ὅθεν μὴ νικήσασι μάχην οὐκ ἦν ἀναχώρησις οὐδὲ βοηθείας ἐλπίς, οὔτ' ἐκ γῆς οὔτ' ἐκ θαλάσσης, συναγείρας ἐξ ἁπάσης τῆς Εὐβοίας στρατόπεδον καὶ παρὰ Φιλίππου δύναμιν προσμεταπεμψάμενος, ὅ,τ' ἀδελφὸς αὐτοῦ Ταυροσθένης, ὁ νυνὶ πάντας δεξιούμενος καὶ προσγελῶν, τοὺς Φωκικοὺς ξένους διαβιβάσας, ἦλθον ἐφ' ὑμᾶς ὡς ἀναιρήσοντες καὶ εἰ μὴ πρῶτον μὲν θεῶν τις ἔσωσε τὸ στρατόπεδον, ἔπειθ' οἱ στρατιῶται οἱ ὑμέτεροι καὶ πεζοὶ καὶ ἱππεῖς ἄνδρες ἀγαθοὶ ἐγένοντο καὶ παρὰ τὸν ἱππόδρομον τὸν ἐν Ταμύναις ἐκ παρατάξεως μάχῃ κρατήσαντες[399] ἀφεῖσαν ὑποσπόνδους τοὺς πολεμίους, ἐκινδύνευσεν ἂν ὑμῶν ἡ πόλις αἴσχιστα παθεῖν· οὐ γὰρ τὸ δυστυχῆσαι κατὰ πόλεμον μέγιστόν ἐστι κακόν, ἀλλ' ὅταν τις πρὸς ἀνταγωνιστὰς ἀναξίους ἑαυτοῦ διακινδυνεύων ἀποτύχῃ, διπλασίαν εἰκὸς εἶναι τὴν συμφοράν. Ἀλλ' ὅμως ὑμεῖς τοιαῦτα πεπονθότες πάλιν διελύσασθε πρὸς αὐτούς. Τυχὼν δὲ παρ' ὑμῶν συγγνώμης Καλλίας ὁ Χαλκιδεύς, μικρὸν διαλιπὼν χρόνον, πάλιν ἦκε φερόμενος εἰς τὴν ἑαυτοῦ φύσιν, Εὐβοϊκὸν μὲν τῷ λόγῳ συνέδριον εἰς Χαλκίδα συνάγων, ἰσχυρὰν δὲ τὴν Εὔβοιαν ἐφ' ὑμᾶς ἔργῳ παρασκευάζων, ἐξαίρετον δ' αὐτῷ τυραννίδα περιποιούμενος· καὶ ταύτης ἐλπίζων συναγωνιστὴν Φίλιππον λήψεσθαι, ἀπῆλθεν εἰς Μακεδονίαν, καὶ περιῆλθε μετὰ Φιλίππου, καὶ τῶν ἑταίρων εἷς ὠνομάζετο· ἀδικήσας δὲ Φίλιππον, κἀκεῖθεν ἀποδρὰς, ὑπέβαλεν ἑαυτὸν φέρων Θηβαίοις· ἐγκαταλιπὼν δὲ κἀκείνους, καὶ πλείους τραπόμενος τροπὰς τοῦ Εὐρίπου[170], παρ' ὃν ᾤκει, εἰς μέσον πίπτει τῆς τε Θηβαίων ἔχθρας καὶ τῆς Φιλίππου· ἀπορῶν δ' ὅ,τι χρήσαιτο αὐτῷ, καὶ παραγγελλομένης ἐπ' αὐτὸν ἤδη στρατείας, μίαν ἐλπίδα λοιπὴν κατεῖδε σωτηρίας, ἔνορκον λαβεῖν τὸν δῆμον τῶν Ἀθηναίων, σύμμαχον ὀνομασθέντα, βοηθήσειν, εἴ τις ἐπ' αὐτὸν ἴοι· ὃ πρόδηλον ἦν ἐσόμενον, εἰ μὴ ὑμεῖς κωλύσετε. Ταῦτα δὲ διανοηθείς, ἀποστέλλει δεῦρο πρέσβεις Γλαυκέτην καὶ Ἐμπέδωνα καὶ Διόδωρον τὸν δολιχοδρομήσαντα, φέροντας τῷ μὲν δήμῳ ἐλπίδας κενὰς, Δημοσθένει δ' ἀργύριον καὶ τοῖς περὶ αὐτόν. Τρία δ' ἦν, ἃ ἅμα ἐξωνεῖτο, πρῶτον μὲν μὴ διασφαλῆναι τῆς πρὸς ὑμᾶς συμμαχίας· οὐδὲν γὰρ ἦν τὸ μέσον, εἰ μνησθεὶς τῶν προτέρων ἀδικημάτων ὁ δῆμος μὴ προσδέξαιτο τὴν συμμαχίαν, ἀλλ' ὑπῆρχεν αὐτῷ ἢ

---

396) Ἐν ᾧ σᾶς ἐπιστεύθησαν οἱ Εὐβοεῖς. 397) Τῷ τυράννῳ τῆς Ἐρετρίας, στρατηγοῦντος τοῦ Φωκίωνος, πιθανῶς τὸ δ'. ἔτος τῆς ρς'. Ὀλυμπ. 108) Πόλις τῆς Εὐβοίας ἐν τῇ χώρᾳ τῶν Ἐρετριέων, ἴδε Πλουτ. ἐν βίῳ Φωκίωνος. 399) Ὅπου ἠρίστευσε καὶ ὁ Αἰσχίνης αὐτὸς, ὁ καὶ πρῶτος ἀναγγείλας τὴν νίκην εἰς Ἀθήνας, καθὼς ὁ ἴδιος διηγεῖται ἐν τῷ περὶ Παραπρεσβ. § νη'. 400) Γνωσταὶ εἶναι αἱ περὶ τὸ στενὸν τῆς Εὐβοίας (τὸν Εὔριπον) παλίρροιαι, ἀφ' ὧν καὶ παροιμία, ἐπὶ τῶν εὐμεταβλήτων καὶ εὐριπίστων, Εὔριπος ἄνθρωπος.

φεύγειν ἐκ Χαλκίδος, ἢ τεθνᾶναι ἐγκαταλειφθέντι· τηλικαῦται δυνάμεις ἐπ' αὐτὸν ἐπεστράτευον, ἥ τε Φιλίππου καὶ Θηβαίων! δεύτερον δ' ἦκον οἱ μισθοὶ τῷ γράψαντι τὴν συμμαχίαν ὑπὲρ τοῦ μὴ συνεδρεύειν Ἀθηνῆσι Χαλκιδέας[474]· τρίτον δὲ, ὥστε μὴ τελεῖν συντάξεις. καὶ τούτων τῶν προαιρέσεων οὐδεμιᾶς ἀπέτυχε Καλλίας· ἀλλ' ὁ μισοτύραννος Δημοσθένης, ὡς αὐτὸς προσποιεῖται, ὃν φησι Κτησιφῶν τὰ βέλτιστα λέγειν, ἀπέδοτο μὲν τοὺς καιροὺς τοὺς τῆς πόλεως, ἔγραψε δ' ἐν τῇ συμμαχίᾳ βοηθεῖν ἡμᾶς Χαλκιδεῦσι, ῥῆμα μόνον ἀντικαταλλαξάμενος, ἀντὶ τούτων[475] εὐφημίας ἕνεκα προσγράψας, Χαλκιδέας βοηθεῖν, ἐάν τις ἴῃ ἐπ' Ἀθηναίους· τὰς δὲ συνεδρίας καὶ τὰς συντάξεις, ἐξ ὧν ἰσχύειν ὁ πόλεμος ἠμελλεν, ἀρὸην ἀπέδοτο, καλλίστοις ὀνόμασιν αἰσχίστας πράξεις γράφων, καὶ τῷ λόγῳ προσβιβάζων[476] ὑμᾶς, ὡς δεῖ[476] τὴν πόλιν τὰς μὲν βοηθείας πρότερον ποιεῖσθαι τοῖς ἀεὶ δεομένοις τῶν Ἑλλήνων, τὰς δὲ συμμαχίας ὑστέρας μετὰ τὰς εὐεργεσίας. Ἵνα δὲ εὖ εἰδῆτε, ὅτι ἀληθῆ λέγω, λάβε μοι τὴν Καλλίου γραφὴν[476] καὶ τὴν συμμαχίαν, καὶ ἀνάγνωθι τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

Οὔπω τοίνυν τοῦτό ἐστι δεινόν, εἰ οἱ[476] καιροὶ πέπρανται τηλικοῦτοι καὶ συνεδρίαι καὶ συντάξεις, ἀλλὰ πολὺ τούτου δεινότερον ὑμῖν φανήσεται, ἃ μέλλω λέγειν. εἰς γὰρ τοῦτο προήχθη Καλλίας μὲν ὁ Χαλκιδεὺς ὕβρεως καὶ πλεονεξίας, Δημοσθένης δὲ, ὃν ἐπαινεῖ Κτησιφῶν, δωροδοκίας, ὥστε τὰς ἐξ Ὠρεοῦ συντάξεις καὶ τὰς ἐξ Ἐρετρίας, τὰ δέκα τάλαντα, ὁρώντων, φρονούντων, βλεπόντων[477] ἔλαθον ὑμῶν ὑφελόμενοι, καὶ τοὺς ἐκ τῶν πόλεων τούτων συνέδρους παρ' ὑμῶν μὲν ἀνέστησαν, πάλιν δὲ εἰς Χαλκίδα καὶ τὸ καλούμενον Εὐβοϊκὸν Συνέδριον συνήγαγον· ὃν δὲ τρόπον, καὶ δι' οἵων κακουργημάτων, ταῦτ' ἤδη ἄξιόν ἐστιν ἀκοῦσαι. Ἀφικνεῖται γὰρ πρὸς ὑμᾶς οὐκ ἔτι δι' ἀγγέλων, ἀλλ' αὐτὸς ὁ Καλλίας, καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν λόγους διεξῆλθε κατεσκευασμένους ὑπὸ Δημοσθένους. εἶπε γὰρ, ὡς ἦκοι ἐκ Πελοποννήσου νεωστὶ σύνταγμα συντάξας εἰς ἑκατὸν ταλάντων πρόσοδον ἐπὶ Φίλιππον, καὶ διελογίζετο ὅσον ἑκάστους δεῖ συντελεῖν· Ἀχαιοὺς μὲν πάντας καὶ Μεγαρέας ἑξήκοντα τάλαντα, τὰς δ' ἐν Εὐβοίᾳ πόλεις ἁπάσας τετταράκοντα· ἐκ δὲ τούτων τῶν χρημάτων ὑπάρξειν καὶ ναυτικὴν καὶ πεζικὴν[477a] δύναμιν· εἶναι δὲ πολλοὺς καὶ ἄλλους τῶν Ἑλλήνων, οὓς βούλεσθαι κοινωνεῖν τῆς συντάξεως, ὥστε οὔτε χρημάτων οὔτε στρατιωτῶν ἔσεσθαι ἀπορίαν. καὶ ταῦτα μὲν τὰ φανερά· ἔφη δὲ καὶ πράξεις πράττειν ἑτέρας δι' ἀπορρήτων, καὶ τούτων εἶναί τινας μάρτυρας τῶν ἡμετέρων πολιτῶν,

---

474) Νὰ μὴ στέλλουν οἱ Χαλκιδεῖς, καθὸ σύμμαχοι τῶν Ἀθην., συνέδρους εἰς Ἀθήνας· ὥστε βιασθέντες νὰ σχηματίσουν τὸ ὑπὸ τοῦ Καλλίου πραττόμενον Εὐβοϊκὸν συνέδριον, καθὼς παρακατιὼν τὸ σαφηνίζει. 475) Ἀντὶ νὰ γράψῃ: Βοηθεῖν Χαλκιδεῦσιν Ἀθηναίους, τὸ ὁποῖον ἤθελεν ἐρεθίσῃ τὸν δῆμον, ἐνθυμούμενον τί ἔπαθεν ὑπὸ τῶν Χαλκιδέων, ἔγραψε· βοηθεῖν Χαλκιδέας, ἐάν τις ἐπ' Ἀθήνας ἴοι. 476) Φέρων βαθμηδὸν εἰς τὸν σκοπόν του.

476a) Λέγων, ὡς δεῖ τὴν πόλιν ποιεῖσθαι τὰς μὲν βοηθ. προτέρας, τὰς δὲ συμμαχίας ὑστέρας. 476b) Ἐπιστολήν. 476c) Περιττὸν τὸ Οἱ. 477) Τὸ Ὁρώντων καὶ Βλεπόντων ἐκ παραλλήλου, κατὰ σχῆμα ὑπερβολῆς, εἰ καὶ τινες ἐξέλαβον τὸ μὲν φυσικώτερον, τὸ Βλεπόντων· τὸ δὲ μεταφορικώτερον ἀντὶ Προσεχόντων.

477a) Ἐν ἄλλοις· Πεζήν.

καὶ τελευτῶν ὀνομαστὶ παρεκάλει Δημοσθένην καὶ συνειπεῖν ἠξίου. ὁ δὲ, σεμνῶς πάνυ παρελθών, τόν τε Καλλίαν ὑπερεπήνει, καὶ τὸ ἀπόῤῥητον προσεποιήσατο εἰδέναι· τὴν δὲ εἰς Πελοπόννησον πρεσβείαν, ἣν ἐπρέσβευσε[178], καὶ τὴν ἐξ Ἀκαρνανίας ἔφη δεῖ βούλεσθαι ὑμῖν ἀπαγγεῖλαι. ἦν δὲ αὐτῷ κεφάλαιον τῶν λόγων πάντας μὲν Πελοποννησίους ὑπάρχειν, πάντας δ' Ἀκαρνᾶνας συντεταγμένους ἐπὶ Φίλιππον ὑφ' ἑαυτοῦ, εἶναι δὲ τὸ σύνταγμα[179] χρημάτων μὲν εἰς ἑκατὸν νεῶν ταχυναυτουσῶν πληρώματα καὶ εἰς πεζοὺς στρατιώτας μυρίους καὶ ἱππέας χιλίους, ὑπάρξειν δὲ πρὸς τούτοις καὶ τὰς πολιτικὰς[180] δυνάμεις, ἐκ Πελοποννήσου μὲν πλείονας ἢ δισχιλίους ὁπλίτας, ἐξ Ἀκαρνανίας δὲ ἑτέρους τοσούτους· δεῖσθαι δὲ ἀπὸ πάντων τούτων τὴν ἡγεμονίαν ὑμῖν· πραχθήσεσθαι δὲ ταῦτα οὐκ εἰς μακράν, ἀλλ' εἰς τὴν ἕκτην ἐπὶ δέκα τοῦ Ἀνθεστηριῶνος μηνός· εἰρῆσθαι γὰρ ἐν ταῖς πόλεσιν ὑφ' ἑαυτοῦ καὶ παρηγγέλθαι πάντας ἥκειν συνεξεύσοντας Ἀθήναζε εἰς τὴν πανσέληνον[181]. καὶ γὰρ τοῦτο ἄνθρωπος ἴδιον καὶ οὐ κοινὸν ποιεῖ· οἱ μὲν γὰρ ἄλλοι ἀλαζόνες, ὅταν τι ψεύδωνται, ἀόριστα καὶ ἀσαφῆ πειρῶνται λέγειν, φοβούμενοι τὸν ἔλεγχον· Δημοσθένης δ' ὅταν ἀλαζονεύηται, πρῶτον μὲν μεθ' ὅρκου ψεύδεται, ἐξωλείαν ἐπαρώμενος αὑτῷ· δεύτερον δὲ, ἃ εὖ οἶδεν οὐδέποτ' ἐσόμενα, τολμᾷ λέγειν ἀριθμῶν εἰς ὁπότ' ἔσται[182], καὶ ὧν τὰ σώματα οὐχ ἑώρακε, τούτων τὰ ὀνόματα λέγει, κλέπτων τὴν ἀκρόασιν[183], καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας. διὸ καὶ σφόδρα ἄξιός ἐστι μισεῖσθαι, ὅτι πονηρὸς ὢν καὶ τὰ τῶν χρηστῶν σημεῖα διαφθείρει. ταῦτα δ' εἰπών, δίδωσιν ἀναγνῶναι ψήφισμα τῷ γραμματεῖ μακρότερον μὲν τῆς Ἰλιάδος[184], κενώτερον δὲ τῶν λόγων, οὓς εἰώθει λέγειν, καὶ τοῦ βίου, ὃν βεβίωκε, μεστὸν δ' ἐλπίδων οὐκ ἐσομένων καὶ στρατοπέδων οὐδέποτε συλλεγησομένων· ἀπαγαγὼν δ' ὑμᾶς ἄπωθεν ἀπὸ τοῦ κλέμματος, καὶ ἀνακρεμάσας ἀπὸ τῶν ἐλπίδων, ἐνταῦθα δὴ συστρέψας[185] γράφει, κελεύων ἑλέσθαι πρέσβεις εἰς Ἐρέτριαν, οἵτινες δεήσονται τῶν Ἐρετριέων (πάνυ γὰρ ἔδει δεηθῆναι) μηκέτι διδόναι τὴν σύνταξιν ὑμῖν τὰ πέντε τάλαντα, ἀλλὰ Καλλίᾳ, καὶ πάλιν ἑτέρους αἱρεῖσθαι εἰς Ὠρεὸν [πρὸς τοὺς Ὠρείτας[186]] πρέσβεις, οἵτινες δεήσονται τὸν αὐτὸν Ἀθηναίοις φίλον καὶ ἐχθρὸν νομίζειν εἶναι· ἔπειτα ἀναφαίνεται περὶ ἁπάντων ἐν τῷ ψηφίσματι πρὸς τῷ κλέμματι γράψας » καὶ τὰ πέντε τάλαντα τοὺς πρέσβεις ἀξιοῦν τοὺς Ὠρείτας, μὴ ὑμῖν, ἀλλὰ Καλλίᾳ διδόναι· Ὅτι δ' ἀληθῆ λέγω, ἀφελὼν τὸν κόμπον καὶ τὰς τριήρεις καὶ τὴν ἀλαζονείαν, ἀνάγνωθι, καὶ τοῦ κλέμματος ἄψαι, ὃ ὑφείλετο ὁ μιαρὸς καὶ ἀνόσιος ἄνθρωπος, ὃν φησι Κτησιφῶν καὶ ἐν τῷδε

---

178) Ἡ εἰς Πελοπόννησον πρεσβεία τοῦ Δημοσθ. ἐγένετο τὸ ἀ. ἔτος τῆς ρθ'. Ὀλυμπ. 179)=Συντέλεια, συνεισφορά. 180) Τὰς ἀπ' αὐτῶν τῶν πολιτῶν, καὶ ὄχι ξένων (μισθοφόρων) συγκειμένας. 181) Εἰς τὴν πανσέληνον, καθὼς τὸ ἔχω μερικὰ τῶν ἀντιγράφων, ἢ καθὼς τὸ ἐκφράζει καὶ παρακατιὼν ὁ ῥήτωρ. 182) Σπανίᾳ συνταξις. 183) Ἀπατῶν τοὺς ἀκροωμένους. 184) Παροιμία ἐπὶ τῶν μεγάλων καὶ διεξοδικῶν, καθὼς καὶ τὸ Ἰλιὰς κακῶν, =Πέλαγος κακῶν. 185) Ἀπὸ μεταφορὰς τῶν ὄρνεων, οἱ ὁποῖοι συρρέοντες ἑαυτοὺς (κελαριαζομενοι) τινάζονται· τὸ αὐτὸ παρατηρεῖται καὶ εἰς τὴν τιγρὶν καὶ εἰς τὴν κατοικίδιον γαλῆν κτλ. 186) Ἐνομίσθη περιττὸν καὶ περιεκλείσθη.

τῷ ψηφίσματι διατελεῖν λέγοντα καὶ πράττοντα τὰ ἄριστα τῷ δήμῳ τῶν Ἀθηναίων.

ΨΗΦΙΣΜΑ.

Οὐκοῦν τὰς μὲν τριήρεις καὶ τὴν πεζὴν στρατιὰν καὶ τὴν πανσέληνον καὶ τοὺς συνέδρους λόγῳ ἠκούσατε· τὰς δὲ συντάξεις τῶν συμμάχων, τὰ δέκα τάλαντα, ἔργῳ ἀπωλέσατε.

Ὑπόλοιπον δέ μοί ἐστιν εἰπεῖν, ὅτι λαβὼν τρία τάλαντα μισθὸν τὴν γνώμην ταύτην ἔγραψε Δημοσθένης, τάλαντον μὲν ἐκ Χαλκίδος παρὰ Καλλίου, τάλαντον δὲ ἐξ Ἐρετρίας παρὰ Κλειτάρχου τοῦ τυράννου[487], τάλαντον δὲ ἐξ Ὠρεοῦ· διὸ καὶ καταφανὴς ἐγένετο, δημοκρατουμένων τῶν Ὠρειτῶν καὶ πάντα πραττόντων μετὰ ψηφίσματος. ἐξανηλωμένοι γὰρ ἐν τῷ πρὸς Φίλιππον πολέμῳ καὶ παντελῶς ἀπόρως διακείμενοι, πέμπουσι πρὸς αὐτὸν Γνωσίδημον, τὸν Χαριγένους υἱόν, τοῦ συναγεύσαντός ποτε ἐν Ὠρεῷ, δεησόμενον αὐτοῦ τὸ μὲν τάλαντον ἀφεῖναι τῇ πόλει, ἐπαγγελλόμενον δ' αὐτῷ χαλκῆν εἰκόνα σταθήσεσθαι ἐν Ὠρεῷ· ὁ δὲ ἀπεκρίνατο τῷ Γνωσιδήμῳ, ὅτι ἐλαχίστου χαλκοῦ οὐδὲν δέοιτο[488], τὸ δὲ τάλαντον διὰ τοῦ Καλλίου εἰσπράττειν. Ἀναγκαζόμενοι δὲ οἱ Ὠρεῖται καὶ οὐκ εὐπορούντες, ὑπέθεσαν αὐτῷ τοῦ ταλάντου[489] τὰς δημοσίας προσόδους, καὶ τόκον ἤνεγκαν Δημοσθένει τοῦ ὡροδοκήματος δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς, ἕως τὸ κεφάλαιον ἀπέδοσαν· καὶ ταῦθ' ἐπράχθη μετὰ ψηφίσματος τοῦ δήμου. Ὅτι δ' ἀληθῆ λέγω, λάβε μοι τὸ ψήφισμα τῶν Ὠρειτῶν.

ΨΗΦΙΣΜΑ.

Τοῦτ' ἐστὶ τὸ ψήφισμα, ὦ ἄνδρες Ἀθηναῖοι, αἰσχύνη μὲν τῆς πόλεως, ἔλεγχος δὲ οὐ μικρὸς τῶν Δημοσθένους πολιτευμάτων, φανερὰ δὲ κατηγορία Κτησιφῶντος· τὸν γὰρ οὕτως αἰσχρῶς δωροδοκοῦντα οὐκ ἔστιν[490] ἄνδρα γεγονέναι ἀγαθόν, ἃ τετόλμηκεν οὗτος γράψαι ἐν τῷ ψηφίσματι.

Ἐνταῦθα ἤδη τέτακται καὶ ὁ τρίτος τῶν καιρῶν, μᾶλλον δ' ὁ πάντων πικρότατος χρόνος[491], ἐν ᾧ Δημοσθένης ἀπώλεσε τὰς τῶν Ἑλλήνων καὶ τῆς πόλεως πράξεις, ἀσεβήσας μὲν εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς, ἄδικον δὲ καὶ οὐδαμῶς ἴσην τὴν πρὸς Θηβαίους συμμαχίαν γράψας. ἄρξομαι δὲ ἀπὸ τῶν εἰς τοὺς Θεοὺς αὐτοῦ πλημμελημάτων λέγειν.

Ἔστι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ Κιρραῖον ὠνομασμένον πεδίον[492] καὶ λιμὴν ὁ νῦν ἐξάγιστος καὶ ἐπάρατος ὠνομασμένος. ταύτην ποτὲ τὴν χώραν κατῴκησαν Κιρραῖοι καὶ Ἀκραγαλλίδαι[493], γένη παρανομώτατα, οἳ εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς καὶ τὰ ἀναθήματα ἠσέβουν, ἐξημάρτανον δὲ καὶ εἰς

---

487) Τὸν ὁποῖον κατέστησεν ἐν Ἐρετρίᾳ ὁ Φίλιππος ἀντὶ τοῦ Πλουτάρχου. 488) Τὸ Ἐλαχίστου ἐξέλαβον ὡς ἐπίθετον τοῦ χαλκοῦ· ἀλλὰ νόημα δὲν ἔχει: Νομίζω λοιπὸν ὅτι πρέπει νὰ προστεθῇ πρὸ τοῦ Οὐδὲν ὁ Η, ἴν' ᾖ ὁ νοῦς. Ὅτι χαλκοῦ ἐλαχίστε (=ἐλάχιστα) ἢ οὐδὲν δέοιτο. 489) (Ἀντὶ) τοῦ ταλάντου. 490) Τὸ γεγονέναι οὐκ ἔστιν (ἐνν. οἷόν τε, δυνατόν).

491) Καιρὸς μὲν ὡς πρὸς τὸν Δημοσθ., χρόνος δὲ, καθὸ ἀπαίσιος, ὡς πρὸς τὴν πόλιν.

492) Κληθὲν ἀπὸ Κίρρας τοῦ ἐπινείου τῶν Δελφῶν, ἀπέχοντος αὐτῶν ξ'. στάδια, ὅπου τὸ νῦν Γαλαξίδι. 493) Ὁ Ἁρποκρ. ἀνέγνωσε Κραυαλλίδαι· ὁ δὲ Διδυμὸς φησι δεῖν γράφεσθαι Βραγχαλλίδαι.

τοὺς Ἀμφικτύονας. ἀγαναικτήσαντες δ' ἐπὶ τοῖς γενομένοις μάλιστα μὲν, ὡς λέγονται, οἱ πρόγονοι οἱ ὑμέτεροι, ἔπειτα καὶ οἱ ἄλλοι Ἀμφικτύονες, μαντείαν ἐμαντεύσαντο παρὰ τῷ Θεῷ, τίνι χρὴ τιμωρίᾳ τοὺς ἀνθρώπους τούτους μετελθεῖν. καὶ αὐτοῖς ἀναιρεῖ ἡ Πυθία πολεμεῖν Κιρραίοις καὶ Ἀκραγαλλίδαις πάντ' ἤματα καὶ πάσας νύκτας, καὶ τὴν χώραν αὐτῶν ἐκπορθήσαντας καὶ αὐτοὺς ἀνδραποδισαμένους ἀναθεῖναι τῷ Ἀπόλλωνι τῷ Πυθίῳ καὶ τῇ Ἀρτέμιδι καὶ Λητοῖ καὶ Ἀθηνᾷ Προνοίᾳ[491] ἐπὶ πάσῃ ἀεργίᾳ[492], καὶ ταύτην τὴν χώραν μήτ' αὐτοὺς ἐργάζεσθαι, μήτ' ἄλλον ἐᾶν. λαβόντες δὲ τὸν χρησμὸν οἱ Ἀμφικτύονες, ἐψηφίσαντο Σόλωνος εἰπόντος Ἀθηναίου τὴν γνώμην, ἀνδρὸς καὶ νομοθετῆσαι δυνατοῦ καὶ περὶ ποίησιν καὶ φιλοσοφίαν διατετριφότος, ἐπιστρατεύειν ἐπὶ τοὺς ἐναγεῖς κατὰ τὴν μαντείαν τοῦ Θεοῦ· καὶ συναθροίσαντες δύναμιν ἱκανὴν τῶν Ἀμφικτυόνων, ἐξηνδραποδίσαντο τοὺς ἀνθρώπους, καὶ τοὺς λιμένας ἔχωσαν, καὶ τὴν πόλιν αὐτῶν κατέσκαψαν, καὶ τὴν χώραν αὐτῶν καθιέρωσαν κατὰ τὴν μαντείαν· καὶ ἐπὶ τούτοις ὅρκον ὤμοσαν ἰσχυρὸν μήτε αὐτοὶ τὴν ἱερὰν γῆν ἐργάσεσθαι, μήτε ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ βοηθήσειν τῷ Θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ καὶ χειρὶ καὶ ποδὶ καὶ πάσῃ δυνάμει. καὶ οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι, ἀλλὰ καὶ προστροπὴν[496] καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο. γέγραπται γὰρ οὕτως ἐν τῇ ἀρᾷ· α εἴ τις τάδε, φησὶ, παραβαίνοι, ἢ πόλις, ἢ ἰδιώτης, ἢ ἔθνος, ἐναγὴς, φησὶν, ἔστω τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος καὶ Λητοῦς καὶ Ἀθηνᾶς προνοίας ϗ· καὶ ἐπεύχεται αὐτοῖς μήτε γῆν καρποὺς φέρειν, μήτε γυναῖκας τίκτειν γονεῦσιν ἐοικότα, ἀλλὰ τέρατα, μήτε βοσκήματα κατὰ φύσιν γονὰς ποιεῖσθαι, ἧττάν δὲ αὐτοῖς εἶναι πολέμου καὶ δικῶν καὶ ἀγορῶν[497], καὶ ἐξώλεις εἶναι καὶ αὐτοὺς καὶ οἰκίας καὶ γένος τὸ ἐκείνων· καὶ α μή ποτε, φησὶν, ὁσίως θύσαιεν τῷ Ἀπόλλωνι, μηδὲ τῇ Ἀρτέμιδι, μηδὲ τῇ Λητοῖ, μηδ' Ἀθηνᾷ Προνοίᾳ, μηδὲ δέξαιντο αὐτοῖς[498] τὰ ἱερά β. Ὅτι δ' ἀληθῆ λέγω, ἀνάγνωθι τὴν τοῦ θεοῦ μαντείαν. ἀκούσατε τῆς ἀρᾶς, ἀναμνήσθητε τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι μετὰ τῶν Ἀμφικτυόνων συνώμοσαν.

ΜΑΝΤΕΙΑ.

[490] α Οὐ πρὶν τῆιδε πόληος ἐρείψετε πύργον ἐλόντες,
πρὶν γε θεοῦ τεμένη κυανώπιδος Ἀμφιτρίτης[500]
κῦμα ποτικλύζῃ[499] κελαδοῦν ἱεραῖσιν ἐπ' ἀκταῖς β.

ΟΡΚΟΙ. ΑΡΑ.

Ταύτης τῆς ἀρᾶς καὶ τῶν ὅρκων καὶ τῆς μαντείας γενομένης, ἀναγεγραμμένων ἔτι καὶ νῦν, οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς[501], μᾶλλον δὲ οἱ προεστηκότες αὐτῶν, ἄνδρες παρανομώτατοι, ἐπειργάζοντο τὸ πεδίον, καὶ τὸν λι-

---

[491]) Ὁ Ἁρποκρ. συγχέει τὴν ἐν Δελφοῖς Ἀθηνᾶν Προναίαν καὶ τὴν ἐν τῷ καλουμένῳ Σωστῆρι τῆς Ἀττικῆς ἱδρυμένην Ἀθηνᾶν Πρόνοιαν, ὅπου καὶ οἱ βωμοὶ τοῦ Ἀπόλλωνος Πυθίου, τῆς Ἀρτέμιδος καὶ τῆς Λητοῦς, ἴδε Παυσαν. Α', 31. [495]) Ὥστε νὰ μείνῃ παντάπασιν ἀκαλλιέργητος. [496]) Ἴδε τὸ Λεξ. [497]) Καὶ ἀπὸ ἀγορῶν (ἐκκλησιῶν).
[498]) Κατ' ἀντίπτωσιν ἀντὶ Δ ὑτῶ ν. [499]) Φέρεται ᾧ παρὰ Παυσαν. (Φωκ. ΛΖ'). ὁ χρησμὸς οὗτος, μὲ μικράς τινας διαφοράς. [500]) Μετωνυμικῶς ἀντὶ τῆς θαλάσσης.
[500]) Ποιητ. ἀντὶ Προσκλύζει. [501]) Οἱ ἄλλως Κρισσαῖοι ἢ Κιρραῖοι, μοῖρα τῶν Ὀζολῶν.

μένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν καὶ συνῴκισαν, καὶ τέλη τοὺς καταπλέοντας ἐξέλεγον, καὶ τῶν ἀφικνουμένων εἰς Δελφοὺς Πυλαγορῶν ἑνίους χρήμασι διέφθειραν, ὧν εἷς ἦν Δημοσθένης. χειροτονηθεὶς γὰρ ὑφ' ὑμῶν Πυλαγόρας, λαμβάνει χιλίας δραχμὰς παρὰ τῶν Ἀμφισσέων τοῦ μηδεμίαν μνείαν περὶ αὐτῶν ἐν τοῖς Ἀμφικτύοσι ποιήσασθαι· ὡμολόγηθη δ' αὐτῷ καὶ εἰς τὸν λοιπὸν χρόνον ἀποστελήσεσθαι Ἀθήναζε τοῦ ἐνιαυτοῦ ἑκάστου μνᾶς εἴκοσι τῶν ἐξαγίστων καὶ ἐπαράτων χρημάτων, ἐφ' ᾧ τε βοηθήσειν τοῖς Ἀμφισσεῦσιν Ἀθήνῃσι κατὰ πάντα τρόπον· ὅθεν[201*] ἔτι μᾶλλον ἢ πρότερον συμβέβηκεν αὐτῷ, ὅτου ἂν προσάψηται ἀνδρὸς ἢ ἰδιώτου[202], ἢ δυνάστου, ἢ πόλεως δημοκρατουμένης, τούτων ἑκάστους ἀνιάτοις κακοῖς περιβάλλειν. Σκέψασθε δὴ τὸν δαίμονα καὶ τὴν τύχην, ὅσῳ περιεγένετο τῆς τῶν Ἀμφισσέων ἀσεβείας. ἐπὶ γὰρ Θεοφράστου ἄρχοντος[203], ἱερομνήμονος[204] ὄντος Διογνήτου Ἀναφλυστίου, Πυλαγόρας ὑμεῖς εἵλεσθε, Μειδίαν τε ἐκεῖνον[205] τὸν Ἀναγυράσιον[206], ὃν ἐβουλόμην ἂν πολλῶν ἕνεκα ζῆν, καὶ Θρασυκλέα τὸν ἐξ Οἴου[207], καὶ τρίτον δὲ μετὰ τούτων ἐμέ. συνέβη δὲ ἡμῖν ἀρτίως μὲν εἰς Δελφοὺς ἀφῖχθαι, παραχρῆμα δὲ τὸν ἱερομνήμονα Διόγνητον πυρέττειν· τὸ δ' αὐτὸ τοῦτο συνεπεπτώκει καὶ τῷ Μειδίᾳ· οἱ δ' ἄλλοι συνεκάθηντο[208] Ἀμφικτύονες· ἐξηγγέλλετο δ' ἡμῖν παρὰ τῶν βουλομένων εὔνοιαν ἐνδείκνυσθαι τῇ πόλει, ὅτι οἱ Ἀμφισσεῖς, ὑποπεπτωκότες τότε καὶ δεινῶς θεραπεύοντες τοὺς Θηβαίους, εἰσέφερον δόγμα κατὰ τῆς πόλεως, πεντήκοντα ταλάντοις ζημιῶσαι τὸν δῆμον τῶν Ἀθηναίων, ὅτι τὰς χουσᾶς ἀσπίδας ἀνέθεμεν πρὸς τὸν καινὸν νεὼν[208] πρὶν ἐξειργάσθαι[209], καὶ ἐπεγράψαμεν τὸ προσῆκον[210] ἐπίγραμμα α Ἀθηναῖοι ἀπὸ Μηδων καὶ Θηβαίων, ὅτε τἀναντία τοῖς Ἕλλησιν ἐμάχοντο ». Μεταπεμψάμενος δέ με ὁ ἱερομνήμων, ἠξίου εἰσελθεῖν εἰς τὸ συνέδριον καὶ εἰπεῖν τι πρὸς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς πόλεως, καὶ αὐτὸν[211] οὕτω προηρημένον. ἀρχομένου δέ μου λέγειν καὶ προθυμότερόν πως εἰσεληλυθότος[212] εἰς τὸ συνέδριον, τῶν ἄλλων Πυλαγορῶν μεθεστηκότων[213], ἀναβοήσας τις τῶν Ἀμφισσέων, ἄνθρωπος ἀσελγέστατος, καί, ὡς ἐμοὶ ἐφαίνετο, οὐδεμιᾶς παιδείας μετεσχηκώς, ἴσως

201*) Ὡς κατηραμένος δηλ. 202) Ἐν ἄλλοις· Ἢ ἀνδρὸς ἰδιώτου. 203) Τὸ ἀ. ἔτος τῆς ρἱ. Ὄλυμ. 205) Ἱερομνήμων ἡ Ἱερογραμματεὺς ἐλέγετο ὁ ἕτερος τῶν Ἀμφικτυόνων. 205) Τὸ Ἐκεῖνον, πρὸς ἔμφασιν, εἴτε διότι ἦτον πλούσιος, εἴτε διότι ἔγινεν ἐπίσημος διὰ τὴν πρὸς τὸν Δημοσθένην ἔχθραν του. 206) Ἐν ἄλλοις Ἀναγυράσιον. Ἀναγυροῦς δὲ ἡ Ἀνάγυρος, δῆμος τῆς Ἐρεχθηίδος φυλῆς, ἀπὸ τοῦ ὁμωνύμου δυσώδους φυτοῦ. 206) Ὁ Ῥείσκ. διώρθου: Τὸν Λεσβίου· ἄλλοι τὸν Λέκκιον. » Λέκκον γὰρ δῆμος τῆς Ἀντιοχίδος φυλῆς. «, κατὰ τὸν Ἡσύχ. ». Ἦσαν δὲ δύο δῆμοι ὑπὸ τοῦτο τὸ ὄνομα Οἶον· ὁ μὲν τῆς Λεοντίδος, ὁ δὲ τῆς Ἱπποθοωντίδος φυλῆς, καὶ ἐκλήθησαν οὕτω » διὰ τὸ μηδαμοῦ εὐοίκητον τόπον ἔχειν «, κατὰ τὸν Ἁρποκρ. Ἄλλος δῆμος ἦτον ἡ Οἷα ἡ Ὄη, τῆς Πανδιονίδος φυλῆς, ἧς οἱ δημόται Οἰῆθεν. 207) Συνεβρίαζον. 208) » Οὐ λέγει ὅτι δύο ἦσαν ναοὶ ἐν Δελφοῖς, ἀλλὰ τὸν αὐτὸν λέγει. Καλεῖ δὲ αὐτὸν καινόν, καθὸ τὸν παλαιὸν πρησθέντα ἀνῳκοδόμησαν οἱ Ἀμφικτύονες. . Λέγουσι δὲ ὅτι ἔμεινεν ἐπὶ πολὺν χρόνον ἀτελής, ἕως οὗ ὕστερον Νέρων ὁ βασιλεὺς Ῥωμαίων ἐπλήρωσεν αὐτὸν ἐκεῖσε παραγενόμενος, «. Σχολ. 209) Ὁ Ἁρποκρ. ἀνέγνωσεν Ἐξαράσασθαι, ᾗ τὸ ἐξῆγει: Ἐκτελέσαι τὰς ἀρὰς, τοὐτέστι τὰς εὐχὰς ἃς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν εἰώθασι ποιεῖσθαι ».

210) Προσῆκον μὲν ὡς πρὸς τὸν Αἰσχίνην καὶ τοὺς Ἀθηναίους· μὴ προσῆκον ὅμως ὡς πρὸς τοὺς Θηβαίους. 211) Καὶ ἐμὲ αὐτόν. 212) Ἡ φράσις ἀναλογεῖ μὲ τὸν Ἀμίλησα μὲ ζῆλον. 213) Μεταπεισθέντων ὑπὸ τῶν λόγων μου.

εἰ καὶ δαιμονίου τινὸς ἐξαμαρτάνειν αὐτὸν προαγομένου, α ἀρχὴν[214] δέγε, ἔφη, ὦ ἄνδρες Ἕλληνες, εἰ ἐσωφρονεῖτε, οὐδ' ἂν ὠνομάζετο τοὔνομα τοῦ δήμου τῶν Ἀθηναίων ἐν ταῖσδε ταῖς ἡμέραις, ἀλλ' ὡς ἐναγεῖς ἐξήγετ'[214a] ἂν ἐκ τοῦ ἱεροῦ». ἅμα δὲ ἐμέμνητο τῆς τῶν Φωκέων συμμαχίας, ἣν ὁ Κρώβυλος[215] ἐκεῖνος ἔγραψε, καὶ ἄλλα πολλὰ καὶ δυσχερῆ κατὰ τῆς πόλεως διεξῆει λέγων, ἃ ἐγὼ οὔτε τότ' ἑκατέρων ἀκούων, οὔτε νῦν ἡδέως μέμνημαι αὐτῶν. ἀκούσας δ' οὕτω παρῳξύνθην, ὡς οὐδεπώποτ' ἐν τῷ ἐμαυτοῦ βίῳ. Καὶ τοὺς μὲν ἄλλους λόγους ὑπερβήσομαι· ἐπεὶ[215a] δ' οὖν μοι ἐπὶ τὴν γνώμην μνησθῆναι τῆς τῶν Ἀμφισσέων περὶ τὴν γῆν τὴν ἱερὰν ἀσεβείας, καὶ αὐτόθεν ἑστηκὼς εὐείκνυον τοῖς Ἀμφικτύοσιν· ὑπόκειται γὰρ τὸ Κιρραῖον πεδίον τῷ ἱερῷ[216], καὶ ἔστιν εὐσύνοπτον· α ὁρᾶτε, ἔφην ἐγώ, ὦ ἄνδρες Ἀμφικτύονες, ἐξειργασμένον τουτὶ τὸ πεδίον ὑπὸ τῶν Ἀμφισσέων, καὶ κεραμεῖα ἐνῳκοδομημένα καὶ αὐλία· ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν ἐξάγιστον καὶ ἐπάρατον λιμένα τετειχισμένον· ἴστε τούτους αὐτοί, καὶ οὐδὲν[217] ἑτέρων δεῖσθε μαρτύρων, τέλη πεπραχότας, καὶ χρήματα λαμβάνοντας ἐκ τοῦ ἱεροῦ λιμένος». ἅμα δὲ ἀναγινώσκειν ἐκέλευον αὐτοῖς τὴν μαντείαν τοῦ Θεοῦ, τὸν ὅρκον τῶν προγόνων, τὴν ἀρὰν τὴν γενομένην, καὶ διωριζόμην, ὅτι ἐγὼ μὲν ὑπὲρ τοῦ δήμου τῶν Ἀθηναίων καὶ τοῦ σώματος καὶ τῶν τέκνων καὶ οἰκίας τῆς ἐμαυτοῦ βοηθῶ κατὰ τὸν ὅρκον καὶ τῷ Θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ, καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πᾶσιν οἷς δύναμαι, καὶ τὴν πόλιν τὴν ἡμετέραν τὰ πρὸς τοὺς Θεοὺς ἀφοσιῶ[218]· ὑμεῖς δὲ ὑπὲρ ὑμῶν αὐτῶν ἤδη βουλεύεσθε. ἐνῆρκται[219] μὲν τὰ κανᾶ, παρέστηκε δὲ τοῖς βωμοῖς τὰ θύματα, μέλλετε δ' αἰτεῖν τοὺς Θεοὺς ταγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ. σκοπεῖτε δή, ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι, τὰς ἱκεσίας ποιήσεσθε, τούτους παρόντες ἀτιμωρήτους, τοὺς ἐναγεῖς καὶ ταῖς ἀραῖς ἐνόχους· οὐ γὰρ δι' αἰνιγμάτων, ἀλλ' ἐναργῶς γέγραπται ἐν τῇ ἀρᾷ κατά τε τῶν ἀσεβησάντων, ἃ χρὴ παθεῖν αὐτοὺς, καὶ κατὰ τῶν ἐπιτρεψάντων, καὶ τελευταῖον ἐν τῇ ἀρᾷ γέγραπται[220] «μηδ' ὁσίως θύσαιεν οἱ μὴ τιμωροῦντες, φησὶ, τῷ Ἀπόλλωνι, μηδὲ τῇ Ἀρτέμιδι, μηδὲ τῇ Λητοῖ, μηδ' Ἀθηνᾷ Προνοίᾳ, μηδὲ δέξαιντο αὐτῶν τὰ ἱερά». Τοιαῦτα, καὶ πρὸς τούτοις ἕτερα πολλὰ διεξελθόντος ἐμοῦ, ἐπειδή ποτε ἀπηλλάγην καὶ μετέστην ἐκ τοῦ συνεδρίου[221], κραυγὴ πολλὴ καὶ θόρυβος ἦν τῶν Ἀμφικτυόνων, καὶ ὁ λόγος ἦν οὐκ ἔτι περὶ τῶν ἀσπίδων, ἃς ἡμεῖς ἀνέθεμεν, ἀλλ' ἤδη περὶ τῆς τῶν Ἀμφισσέων τιμωρίας. Ἤδη δὲ πόρρω τῆς ἡμέρας οὔσης, προσελθὼν[222] ὁ κήρυξ ἀνεῖπε, Δελφῶν ὅσοι ἐπὶ διετὲς ἥδωσι[223], καὶ δοῦλους καὶ ἐλευθέρους, ἧκειν ἅμα τῇ

---

214) Ἐν γένει, πρὸ πάντων. 214a) Ἐν ἄλλοις· Ἐξείργετ'. 215) Οὕτως ὀνομάζει τὸν Ὑπήσιππον, συμπολιτευόμενον τοῦ Δημοσθένους· Ἴδε τὸν περὶ Παραπρεσβ. τοῦ ῥήτορος.
215a) Ἐν ἄλλοις· Ἐπῆλθε. 216) Τῷ ἐν Δελφοῖς. 217) (Κατ') οὐδέν, οὐδαμῶς, ὅθεν τὸ παρ' ἡμῖν Δέν. 218) Ἀντὶ τοῦ Ἀποκαθαίρω, λέγει ὁ Ἁρποκρ.
219) Λέξις ἱερά, τὴν ὁποίαν εἶχον καὶ οἱ Ῥωμαῖοι: aras inchoare (Οὐίργ. Αἰν. ΣΤ'. 252). 220) Πρόσθετοι ἐκρίθησαν αἱ τέσσαρες αὗται λέξεις. 221) Φαίνεται ἐκ τούτου ὅτι, μετὰ τὸ τέλος τοῦ λόγου του, ἐξήργετο ὁ ἀγορεύσας τοῦ συνεδρίου, ἵνα ἀφήσῃ ἐλευθέραν τὴν συζήτησιν εἰς τοὺς ὑπολειπομένους. 222) Μήπως ἦνε μᾶλλον: Προελθὼν Διότι καὶ παρακατιὼν (ἐν § μά.) Προϊόντα τὸν κήρυκα, λέγει. 223) Ἤρηδοι ἐλέγοντο παρὰ τοῖς Ἀθηναίοις οἱ ὀκτωκαιδεκαετεῖς, οἱ ὁποῖοι καὶ «ἔμενον ἐν τοῖς ἐφήβοις δύο

ἡμέρᾳ, ἔχοντας ἅμας καὶ δικέλλας πρὸς τὸ Θυτεῖον ἐκεῖ[221] καλούμενον· καὶ πάλιν ὁ αὐτὸς κηρὺξ ἀνηγόρευε τοὺς Ἱερομνήμονας καὶ Πυλαγόρας ἥκειν εἰς τὸν αὐτὸν τόπον βοηθήσοντας τῷ Θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ· « ἥτις δ' ἂν μὴ παρῇ πόλις[225], εἰρξεται τοῦ ἱεροῦ, καὶ ἐναγὴς ἔσται καὶ τῇ ἁρᾷ ἔνοχος ». Τῇ δὲ ὑστεραίᾳ ἥκομεν ἕωθεν εἰς τὸν προειρημένον τόπον, καὶ κατέβημεν εἰς τὸ Κιρραῖον πεδίον, καὶ τὸν λιμένα κατασκάψαντες καὶ τὰς οἰκίας ἐμπρήσαντες ἀνεχωροῦμεν. ταῦτα δὲ ἡμῶν πραττόντων, οἱ Δοκροὶ οἱ Ἀμφισσεῖς, ἑξήκοντα στάδια ἄπωθεν οἰκοῦντες Δελφῶν, ἦκον ἐφ' ἡμᾶς μεθ' ὅπλων πανδημεί· καὶ εἰ μὴ ὁρόμῳ μόλις ἐξεφύγομεν εἰς Δελφούς, ἐκινδυνεύσαμεν ἂν ἀπολέσθαι. Τῇ δ' ἐπιούσῃ ἡμέρᾳ Κόττυφος, ὁ τὰς γνώμας ἐπιψηφίζων[226], ἐκκλησίαν ἐποίει τῶν Ἀμφικτυόνων· ἐκκλησίαν γὰρ ὀνομάζουσιν, ὅταν μὴ μόνον τοὺς Πυλαγόρας καὶ τοὺς Ἱερομνήμονας συγκαλέσωσιν, ἀλλὰ καὶ τοὺς συνθύοντας καὶ χρωμένους τῷ Θεῷ[227]. ἐνταῦθ' ἤδη πολλαὶ μὲν τῶν Ἀμφισσέων ἐγίγνοντο κατηγορίαι, πολὺς δ' ἔπαινος ἦν κατὰ τῆς ὑμετέρας πόλεως· τέλος δὲ παντὸς τοῦ λόγου ψηφίζονται ἥκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης Πυλαίας[228] ἐν ῥητῷ χρόνῳ εἰς Πύλας, ἔχοντας δόγμα[229], καθότι δίκας δώσουσιν οἱ Ἀμφισσεῖς ὑπὲρ ὧν εἰς τὸν Θεὸν καὶ τὴν γῆν τὴν ἱερὰν καὶ τοὺς Ἀμφικτύονας ἐξήμαρτον. Ὅτι δὲ ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

Τοῦ δόγματος οὖν τούτου ἀποδοθέντος[230] ὑφ' ἡμῶν ἐν τῇ βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ τῷ δήμῳ, καὶ τὰς πράξεις ἡμῶν ἀποδεξαμένου τοῦ δήμου, καὶ τῆς πόλεως πάσης προαιρουμένης εὐσεβεῖν, καὶ Δημοσθένους ὑπὲρ τοῦ μεσεγγυήματος[231] τοῦ ἐξ Ἀμφίσσης ἀντιλέγοντος, καὶ ἐμοῦ φανερῶς ἐναντίον ὑμῶν ἐξελέγχοντος, ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν πόλιν ὁ ἄνθρωπος οὐκ ἠδύνατο σφῆλαι, εἰσελθὼν εἰς τὸ βουλευτήριον καὶ μεταστησάμενος τοὺς ἰδιώτας ἐκφέρεται προβούλευμα εἰς τὴν ἐκκλησίαν, προσλαβὼν[232] τὴν τοῦ γράψαντος ἀπειρίαν· τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ ἐκκλησίᾳ διεπράξατο ἐπιψηφισθῆναι καὶ γενέσθαι τοῦ δήμου τὸ ψήφισμα, ἤδη ἐπαναστάσης[233] τῆς ἐκκλησίας, ἀπεληλυθότος ἐμοῦ (οὐ γὰρ ἂν ποτε ἐπέτρεψα) καὶ τῶν πολλῶν[234] διαφειμένων[234a]· οὗ[235] τὸ κεφάλαιόν ἐστι α τὸν δὲ ἱερομνήμονα, φησὶ τῶν Ἀθηναίων, καὶ τοὺς πυλαγόρας τοὺς εἰσφεῖ[236] πυλαγορεῦντας πορεύεσθαι εἰς Πύλας καὶ εἰς Δελφοὺς ἐν τοῖς τεταγμένοις χρόνοις ὑπὸ τῶν προγόνων ». εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς· κωλύει γὰρ εἰς τὸν σύλλογον τὸν ἐν Πύλαις[237] ἅπαντᾶν, ὃς ἐξ ἀνάγκης πρὸ τοῦ καθήκοντος ἔμελλε

ρ ἔτη, « κατὰ τὸν Ἀρποκρ. Ἐπὶ δίετες ἡβῶντες ἦσαν ἄρα οἱ ἔχοντες 22 ἐτῶν ἡλικίαν. 224) Ἐν Δελφοῖς. Τὸ δὲ Θυτεῖον εὕρηται γραφόμενον κ Θύστιον. 225) Ἐκ τῶν Ἀμφικτυονίδων. 226) Ὡς προεδρεύων τοῦ συνεδρίου. Ἴδε ᾗ 211. 227) Μαντευομένους. 228) Τῆς ἐν Πύλαις (Θερμοπύλαις) συνελεύσεως τῶν Ἀμφικτυόνων. 229) Ἀπόφασιν τῶν πόλεων των, δυνάμει τῆς ὁποίας. 230) Παρουσιασθέντες ὑφ' ἡμῶν μετὰ τὴν ἐπιστροφήν μας. 231) Χάριν τοῦ μεσεγγυήματος, τῶν εἴκοσι δηλαδὴ μνῶν, τὰς ὁποίας εἶπεν ἀνωτέρω ὅτι ἐλάμβανε κατ' ἔτος δωροδοκίαν ὁ Δημοσθ. παρὰ τῶν Ἀμφισσέων ἐκ τῶν ἐξαγίστων χρημάτων. 232) Ὠφεληθεὶς ᾗ ἀπο. 233) Ἀναστάσης πρὸς ἀναχώρησιν, διαλυθείσης τῆς συνεδριάσεως. Τὸ δὲ Ἤδη πρὸς τὸ Ἀπεληλυθότος. 234) Τῶν πλείστων ἐκ τῶν ἐκκλησιαζόντων. 234a) Κατὰ διορθ., ἀντὶ δὲ ἀφειμένων. 235) Ψηφίσματος. 236) Ὄχι πάντοτε, ἀλλὰ Ἀκάστοτε. 237) Τὸν ἔκτακτον, τὸν ὁποῖον εἶχον προκηρύξῃ, ὡς προεῖπεν, οἱ Ἀμφικτ.

χρόνου γίγνεσθαι. καὶ πάλιν ἐν τῷ αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ πικρότερον σύγγραμμα[238] γράφει, α τὸν ἱερομνήμονα, φησί, τῶν Ἀθηναίων καὶ τοὺς πυλαγόρας τοὺς ἀεὶ πυλαγοροῦντας μὴ μετέχειν τοῖς ἐκεῖ συλλεγομένοις μήτε λόγων μήτε ἔργων μήτε βουλευμάτων μήτε πράξεως μηδεμιᾶς. τὸ δὲ μὴ μετέχειν τί ἐστι; πότερα τἀληθὲς εἶπω, ἢ τὸ ἥδιστον ἀκοῦσαι; τἀληθὲς ἐρῶ· τὸ γὰρ ἀεὶ πρὸς ἡδονὴν λεγόμενον οὑτωσὶ[239] τὴν πόλιν διατέθεικεν· οὐκ ἐᾷ μεμνῆσθαι τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι ὤμοσαν, οὐδὲ τῆς ἀρᾶς, οὐδὲ τῆς τοῦ θεοῦ μαντείας.

Ἡμεῖς μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, κατεμείναμεν διὰ τοῦτο τὸ ψήφισμα, οἱ δ' ἄλλοι Ἀμφικτύονες συνελέγησαν εἰς Πύλας, πλὴν μιᾶς πόλεως, ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα εἴποιμι, μήθ' αἱ συμφοραὶ παραπλήσιοι γένοιντο αὐτῆς μηδενὶ τῶν Ἑλλήνων[240]. καὶ συνελθόντες ἐψηφίσαντο ἐπιστρατεύειν ἐπὶ τοὺς Ἀμφισσέας, καὶ στρατηγὸν εἵλοντο Κόττυφον τὸν Φαρσάλιον[241], τὸν τότε[242] τὰς γνώμας ἐπιψηφίζοντα, οὐκ ἐπιδημοῦντος ἐν Μακεδονίᾳ Φιλίππου, ἀλλ' οὐδ' ἐν τῇ Ἑλλάδι παρόντος, ἀλλ' ἐν Σκύθαις οὕτω μακρὰν ἀπόντος, ἂν αὐτίκα μάλα τολμήσει λέγειν Δημοσθένης, ὡς ἐγὼ ἐπὶ τοὺς Ἕλληνας ἐπήγαγον. καὶ παρελθόντες τῇ πρώτῃ στρατείᾳ, καὶ μάλα μετρίως ἐχρήσαντο τοῖς Ἀμφισσεῦσιν· ἀντὶ γὰρ τῶν μεγίστων ἀδικημάτων χρήμασιν αὐτοὺς ἐζημίωσαν, καὶ ταῦτα ἐν ῥητῷ χρόνῳ προείπον τῷ θεῷ καταθεῖναι· καὶ τοὺς μὲν ἐναγεῖς καὶ τῶν πεπραγμένων αἰτίους μετεστήσαντο[243], τοὺς δὲ δι' εὐσέβειαν φυγόντας[244] κατήγαγον. ἐπειδὴ δὲ οὔτε τὰ χρήματα ἐξέτινον τῷ θεῷ, τούς τ' ἐναγεῖς κατήγαγον καὶ τοὺς εὐσεβεῖς κατελθόντας διὰ τῶν Ἀμφικτυόνων ἐξεβάλον, οὕτως ἤδη τὴν δευτέραν ἐπὶ τοὺς Ἀμφισσεῖς στρατείαν ἐποιήσαντο, πολλῷ χρόνῳ ὕστερον ἐπανελθόντος Φιλίππου ἐκ τῆς ἐπὶ τοὺς Σκύθας στρατείας, τῶν μὲν θεῶν τὴν ἡγεμονίαν τῆς εὐσεβείας[245] ἡμῖν παραδεδωκότων, τῆς δὲ Δημοσθένους δωροδοκίας ἐμποδὼν γεγενημένης.

Ἀλλ' οὐ προὔλεγον, οὐ προεσήμαινον ἡμῖν οἱ θεοὶ φυλάξασθαι, μονονοὺχ ἀνθρώπων φωνὰς προηκάμενοι[246]; οὐδεμίαν τοι πώποτε ἔγωγε μᾶλλον πόλιν εὐόρακα ὑπὸ μὲν τῶν θεῶν σωζομένην, ὑπὸ δὲ τῶν ῥητόρων ἐνίων ἀπολλυμένην. οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν σημεῖον φυλάξασθαι, ἢ τῶν μυστῶν τελευτή[247]; οὐ περὶ τούτων Ἀμυνιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι καὶ πέμπειν εἰς Δελφοὺς ἐπερησομένους τὸν Θεὸν ὅ, τι χρὴ πράττειν, Δημοσθένης δὲ ἀντέλεγε, φιλιππίζειν τὴν Πυθίαν φάσκων, ἀπαίδευτος ὤν, καὶ ἀπολαύων καὶ ἐμπιπλάμενος[248] τῆς διδομένης ὑφ' ὑμῶν αὐτῷ ἐξουσίας; οὐ τὸ τελευταῖον[249], ἀθύτων καὶ ἀκαλλιερήτων τῶν ἱερῶν

---

238) Ἡ Σὺν σημαίνει τέχνην, σκοπὸν ὑποκεκρυμμένον. 239) Κακῶς δηλαδή. 240) Τὰς Θήβας ἐννοεῖ, καταστραφείσας ὑπὸ Ἀλεξάνδρου τὸ β'. ἔτος τῆς ρια'. Ὀλυμπ. ἐπὶ Εὐαινέτου ἄρχοντος. 241) Ἀρκάδα λέγει τοῦτον ὁ Δημοσθ. (ἐν τῷ περὶ Στεφ.), καὶ ὡς ἐκ τοῦ ὀνόματος του φαίνεται ὅτι ἦτον Ἀρκάς, λέγει ὁ Hemsterhusius, μετοικήσας εἰς Φάρσαλον. 242) Ἐν τῇ τελευταίᾳ συνόδῳ. 243) Ἐφυγάδευσαν. 244) Ὡς μὴ θελήσαντας νὰ συμφωνήσωσι μετὰ τῶν ἄλλων ὡς πρὸς τὴν κατάσχεσιν τῆς ἱερᾶς γῆς. 245) Τῆς εὐσεβοῦς ταύτης ἐκστρατείας. 246) Κατὰ διόρθωσιν ἀντὶ προσκτησάμενοι. 247) Κατὰ τὸν Σχολ. ἐννοεῖ τὴν ὑπὸ κήτους ἁρπαγὴν ἑνὸς ἢ δύο τῶν μυστῶν, κατελθόντων ἐπὶ τὴν θάλατταν πρὸς τὸ καθαρθῆναι. 248) Ἐντρυφῶν, καταχρώμενος. 249) Εἰς τὴν ἐν Χαιρωνείᾳ μάχην.

ὄντων ἐξέπεμψε τοὺς στρατιώτας ἐπὶ τὸν προδηλον κίνδυνον, καίτοι γε πρώην ἀπετόλμησε λέγειν ὅτι παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν ἡμῶν ἐπὶ τὴν χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά; Τίνος οὖν ζημίας ἄξιος εἶ τυγχεῖν, ὦ τῆς Ἑλλάδος ἀλιτήριε; εἰ γὰρ ὁ μὲν κρατῶν οὐκ ἦλθεν εἰς τὴν τῶν κρατουμένων χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά, σὺ δ', οὐδὲν προειδὼς τῶν μελλόντων ἔσεσθαι, πρὶν καλλιερῆσαι, τοὺς στρατιώτας ἐξέπεμψας, πότερον στεφανοῦσθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις, ἢ ὑπερωρίσθαι;

Τοιγάρτοι τί τῶν ἀνελπίστων καὶ ἀπροσδοκήτων ἐφ' ἡμῶν οὐ γέγονεν; οὐ γὰρ βίον γε ἡμεῖς ἀνθρώπινον βεβιώκαμεν, ἀλλ' εἰς παραδοξολογίαν τοῖς ἐσομένοις μεθ' ἡμᾶς ἔρυμεν. Οὐχ ὁ μὲν τῶν Περσῶν βασιλεὺς, ὁ τὸν Ἄθω διορύξας, ὁ τὸν Ἑλλήσποντον ζεύξας, ὁ γῆν καὶ ὕλωρ τοὺς Ἕλληνας αἰτῶν, ὁ τολμῶν ἐν ταῖς ἐπιστολαῖς γράφειν, ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ' ἡλίου ἀνιόντος μέχρι δυομένου, νῦν οὐ περὶ τοῦ κύριος ἑτέρων εἶναι διαγωνίζεται, ἀλλ' ἤδη περὶ τῆς τοῦ σώματος σωτηρίας; καὶ τοὺς αὐτοὺς[250] ὁρῶμεν τῆς τε δόξης ταύτης καὶ τῆς ἐπὶ τὸν Πέρσην ἡγεμονίας ἠξιωμένους, οἳ καὶ τὸ ἐν Δελφοῖς ἱερὸν ἠλευθέρωσαν; Θῆβαι δὲ, Θῆβαι[251], πόλις ἀστυγείτων, μεθ' ἡμέραν μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, εἰ καὶ δικαίως, περὶ τῶν ὅλων οὐδὲν ὀρθῶς βουλευσάμενοι, ἀλλὰ τήν γε θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως, ἀλλὰ δαιμονίως[252] κτησάμενοι; Λακεδαιμόνιοι δὲ οἱ ταλαίπωροι, προσαψάμενοι μόνον τούτων τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάλυσιν, οἱ τῶν Ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγεμόνες εἶναι, νῦν ὁμηρεύσαντες καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησάμενοι μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι[253], τοῦτο πεισόμενοι καὶ αὐτοὶ καὶ ἡ πατρὶς, ὅ,τι ἂν ἐκείνῳ δόξῃ, καὶ ἐν τῇ τοῦ κρατοῦντος καὶ προηδικημένου μετριότητι κριθησόμενοι; ἡ δ' ἡμετέρα πόλις, ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο πρότερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι, κατὰ πόλεις ἕκαστοι παρ' ὑμῶν τὴν σωτηρίαν εὑρησόμενοι, νῦν οὐκ ἔτι περὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται, ἀλλ' ἤδη περὶ τοῦ τῆς πατρίδος ἐδάφους; Καὶ ταῦθ' ἡμῖν συμβέβηκεν, ἐξότου Δημοσθένης πρὸς τὴν πολιτείαν προσελήλυθεν. εὖ γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς ἀποφαίνεται. λέγει γάρ που[254], παιδεύων τὰ πλήθη, καὶ συμβουλεύων ταῖς πόλεσι τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προσδέχεσθαι. λέξω δὲ κἀγὼ τὰ ἔπη διὰ τοῦτο γὰρ οἶμαι ἡμᾶς παῖδας ὄντας τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν' ἄνδρες ὄντες αὐταῖς χρώμεθα.

---

250) Ἀποφεύγει νὰ ὀνομάσῃ τὸν Ἀλέξανδρον καὶ τοὺς Μακεδόνας, οἱ ὁποῖοι ἐθριάμβευσαν τότε εἰς τὴν Περσίαν. 251) Τὸ δεύτερον Θῆβαι προσέθηκεν ὁ Ῥεῖσκ., ἐκπεπτωκὸς ὡς ἔοικε τοῦ κειμένου, λαβὼν τὸ ἐνδόσιμον ἐκ Δημητρίου τοῦ Φαληρέως ἐν τῷ περὶ Ἑρμην., ὅπου ἀναφέρων τὸ χωρίον τοῦτο ὡς παράδειγμα ἐπαναδιπλώσεως, ἐπιφέρει: » Διελογηθὲν γὰρ τὸ ὄνομα δεινότητα ποιεῖ «. 252) Κατὰ θεομηνίαν, ὡς ἐπιβουλεύσαντες τῷ Θεῷ τῷ ἐν Δελφοῖς. 253) Ἀλεξάνδρου γὰρ εἰς Πέρσας ἀπόντος, ἐπιτήδειον εἶναι κρίναντες τὸν καιρὸν, τοὺς Ἕλληνας συνέστησαν πρὸς ἀνάκτησιν τῆς ἐλευθερίας. Νικηθέντες δὲ κατὰ κράτος τὸ β'. ἔτος τῆς ριδ'. Ὀλυμπ. ὑπὸ τοῦ Ἀντιπάτρου, ἐπιτροπεύοντος τῆς Μακεδονίας, ὑπέστησαν ὅσα ἐδῶ περιγράφει ὁ ῥήτωρ, ᾗ ὁ Ἀρριανὸς (Α'., θ'). 254) Ἔργ. καὶ Ἡμ. 240, κ. ε.

« Πολλάκι δὲ[253] ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπήρα,
ὃς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάται[254].
Τοῖσιν δ' οὐρανόθεν μέγα πῆμα δῶκε Κρονίων[255],
λοιμὸν ὁμοῦ καὶ λιμόν, ἀπεφθινύθουσι δὲ λαοί·
Ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος,
Ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτινύσεται αὐτῶν.

Ἐὰν δὲ, περιελόντες τοῦ Πονηροῦ τὸ ὄνομα, τὰς γνώμας ἐξετάζητε, οἶμαι ὑμῖν δόξειν οὐ πονήματα Θεσπίδου εἶναι, ἀλλὰ χρησμοὺς εἰς τὴν Δημοσθένους πολιτείαν. καὶ γὰρ ναυτικὴ καὶ πεζὴ στρατιὰ καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρπασμέναι ἐκ τῆς τούτου πολιτείας.

Ἀλλ', οἶμαι, οὔτε Φρυνώνδας, οὔτε Ἐπαμεινώνδας[256], οὔτ' ἄλλος οὐδεὶς πώποτε τῶν πάλαι πονηρῶν τοιοῦτος μάγος καὶ γόης ἐγένετο, ὃς, ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες καὶ ἄνθρωποι ὅσοι βούλεσθε ἀκούειν ταλήθη, τολμᾷ λέγειν, βλέπων εἰς τὰ πρόσωπα τὰ ὑμέτερα, ὡς ἄρα Θηβαῖοι τὴν συμμαχίαν ὑμῖν ἐποιήσαντο οὐ διὰ τὸν καιρὸν, οὐ διὰ τὸν φόβον τὸν περιστάντα αὐτοὺς, οὐδὲ διὰ τὴν ὑμετέραν δόξαν, ἀλλὰ διὰ τὰς Δημοσθένους δημηγορίας! καὶ τοι πολλὰς μὲν τούτου πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ μάλιστα οἰκείως ἐκείνοις διακείμενοι· πρῶτος μὲν Θρασύβουλος ὁ Κολλυτεὺς[258], ἀνὴρ ἐν Θήβαις πιστευθείς ὡς οὐδεὶς ἕτερος· πάλιν Θράσων ὁ Ἐρχιεὺς[259], πρόξενος ὢν Θηβαίοις· Λεωτέλμας ὁ Ἀχαρνεὺς[260] οὐχ ἧττον Δημοσθένους λέγειν δυνάμενος, ἀλλ' ἔμοί γε καὶ πολὺν Ἀρχέδημος ὁ Πήληξ[261], καὶ συνατὸς εἰπεῖν καὶ πολλὰ κεκοινωνηκὼς ἐν τῇ πολιτείᾳ διὰ Θηβαίους· Ἀριστοφῶν ὁ Ἀζηνιεὺς[262], πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείνας αἰτίαν· Πύρρανδρος ὁ Ἀναφλύστιος, ὃς ἔτι καὶ νῦν ζῇ. ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἠδυνήθη πεῖσαι εἰς τὴν ὑμετέραν φιλίαν· τὸ δ' αἴτιον οἶδα μὲν, λέγειν δ' οὐκ ἐθέλω διὰ τὰς ἀτυχίας αὐτῶν[263]. ἀλλ', οἶμαι, ἐπειδὴ Φίλιππος αὐτῶν ἀφελόμενος Νίκαιαν[264] Θετταλοῖς παρέδωκε, καὶ τὸν πόλεμον, ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς τῶν Βοιωτῶν, τοῦτον πάλιν τὸν αὐτὸν πόλεμον ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ' αὐτὰς τὰς Θήβας, καὶ τὸ τελευταῖον Ἐλάτειαν καταλαβὼν ἐχαράκωσε καὶ φρουρὰν εἰσηγαγεν, ἐνταῦθ' ἠθη, ἐπεὶ τὸ δεινὸν αὐτῶν ἥπτετο,

---

253) Ἐν ἄλλοις· Δή: καὶ ἐν ἄλλοις: Καί. 254) Ἐν ἄλλοις: Μητιάαται.
255) Ἐν ἄλλοις· Μέγ' ἐπήγαγε πῆμα Κρονίων. 256*) Διαβοητος ἐπὶ μοχθηρίᾳ· ὧν ὁμὲν Φρυνώνδας συκοφαντῶν ἐπὶ μιαθῷ, κατέζητε τὸ ὄνομά τε συνώνυμον τῷ Πονηρός· « Ὦ μιαρὲ καὶ Φρυνώνδα καὶ πονηρὲ σύ », Ἀριστοφ. Ἀμφιάρ. Ὁ δὲ Εὐρυδάτης, Ἐφέσιος τὴν πατρίδα, λαβὼν χρήματα παρὰ Κροίσου πρὸς στρατολογίαν, ἐνεχείρισεν αὐτὰ τῷ Κύρῳ, μεταταξάμενος πρὸς αὐτόν. 258) Ἄλλος μεταγενέστερος τοῦ περιφήμου Θρασυβούλου, ὃς τις ἦτον Στειριεύς. 259) Τούτου μέμνηται καὶ Δείναρχος (ἐν τῷ κατὰ Δημοσθ.), ὡς συνεργήσαντος ἀποδοθῆναι ὑπὸ τῶν Λακεδ. τοὺς Θηβ. τὴν Καδμείαν. 260) Μαθητὴς τοῦ Ἰσοκράτους. Τὴν περὶ τὸ λέγειν δεινότητά του μαρτυρεῖ καὶ ὁ Δημοσθ. ἐν τῷ πρὸς Λεπτίνην.
261) Ὁ Πήληξ δῆμος ἦν τῆς Λεοντίδος φυλῆς, κατὰ τὸν Διόδωρον. 262) Τρεῖς Ἀριστοφῶντας διακρίνει ὁ Ruhnk. (Hist. Crit Orat. Graec. P. XLV, κ. ε.)· ἴδε καὶ τὴν 168 σημ. τοῦ Περὶ στεφ. 263) Ἴσως ἤθελε νὰ εἴπῃ Ἀνοησίαν, Ἀναισθησίαν, καθὼς τὸ εἶπε καὶ ὁ Δημοσθ. 264) Πολλαὶ πόλεις ἀναφέρονται ὑπὸ τοῦτο τὸ ὄνομα. Ἡ περὶ ἧς ὁ λόγος ἦτον, κατὰ τὸν Στεφ., τῶν Ἐπικνημιδίων Λοκρῶν, καὶ ἔκειτο κατὰ τὸν Στράβ., παρὰ τὰς Θερμοπύλας. Ταύτην ἐν τῷ Φωκικῷ πολέμῳ ἀφείλοντο τοὺς Θεσσαλοὺς οἱ Φωκεῖς, ὁ δὲ Φίλιππος ἀπέδωκεν εἰς αὐτούς, ἵνα τοὺς δελεάσῃ.

μετεπέμψαντο Ἀθηναίους, καὶ ὑμεῖς ἐξήλθετε καὶ εἰσήλθετε εἰς τὰς Θήβας, ἐν τοῖς ὅπλοις διεσκευασμένοι, καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς, πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην· ὁ δ' εἰσάγων ἦν ὑμᾶς εἰς τὰς Θήβας καιρὸς καὶ φόβος καὶ χρεία συμμαχίας, ἀλλ' οὐ Δημοσθένης· ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία τὰ πάντων μέγιστα Δημοσθένης εἰς ὑμᾶς ἐξημάρτηκε· πρῶτον μέν, ὅτι Φιλίππου τῷ μὲν ὀνόματι πολεμοῦντος ὑμῖν, τῷ δὲ ἔργῳ πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε[265]· καὶ τί δεῖ τὰ πλείω λέγειν; ταῦτα μὲν τὰ τηλικαῦτα τὸ μέγεθος ἀπεκρύψατο, προσποιησάμενος δὲ μέλλειν τὴν συμμαχίαν γενήσεσθαι οὐ διὰ τοὺς καιρούς, ἀλλὰ διὰ τὰς αὑτοῦ πρεσβείας, πρῶτον μὲν συνέπεισε τὸν δῆμον μηκέτι βουλεύεσθαι, ἐπὶ τίσι δεῖ ποιήσασθαι τὴν συμμαχίαν, ἀλλ' ἀγαπᾶν μόνον, εἰ γίγνεται· τοῦτο δὲ προλαβών, ἔκδοτον μὲν τὴν Βοιωτίαν ἅπασαν ἐποίησε Θηβαίοις, γράψας ἐν τῷ ψηφίσματι » ἐάν τις ἀφιστῆται πόλις ἀπὸ Θηβαίων, βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις «, τοῖς ὀνόμασι κλέπτων καὶ μεταφέρων τὰ πράγματα, ὥσπερ εἴωθεν· ὡς τοὺς Βοιωτοὺς, ἔργῳ κακῶς πάσχοντας, τὴν τῶν ὀνομάτων σύνθεσιν τῶν Δημοσθένους ἀγαπήσοντας, ἀλλ' οὐ μᾶλλον ἐφ' οἷς κακῶς πεπόνθεσαν ἀγανακτήσοντας· δεύτερον δέ, τῶν εἰς τὸν πόλεμον ἀναλωμάτων[266] τὰ μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν ἀπωτέρω[267] οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις, δωροδοκῶν ἐφ' ἑκάστοις τούτων, καὶ τὴν ἡγεμονίαν τὴν μὲν κατὰ θάλατταν ἐποίησε κοινὴν, τὸ δ' ἀνάλωμα ἴδιον ὑμέτερον, τὴν δὲ κατὰ γῆν, εἰ μὴ δεῖ ληρεῖν, ἀρχὴν φέρων ἀνέθηκε Θηβαίοις, ὥστε παρὰ τὸν γενόμενον πόλεμον[268] μὴ κύριον γενέσθαι Στρατοκλέα, τὸν ὑμέτερον στρατηγὸν[269], βουλεύσασθαι περὶ τῆς τῶν στρατιωτῶν σωτηρίας· καὶ ταῦτ' οὐκ ἐγὼ μὲν κατηγορῶ, ἕτεροι δὲ παραλείπουσιν, ἀλλὰ κἀγὼ λέγω, καὶ πάντες ἐπιτιμῶσι, καὶ ὑμεῖς σύνιστε καὶ οὐκ ὀργίζεσθε. ἐκεῖνο γὰρ πεπόνθατε πρὸς Δημοσθένην· συνείθισθε ἤδη τἀδικήματα αὐτοῦ ἀκούειν, ὥστε οὐ θαυμάζετε. Δεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀγανακτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν.

Δεύτερον δὲ καὶ πολὺ τούτου μεῖζον ἀδίκημα ἠδίκησεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως καὶ τὴν δημοκρατίαν ἀρδὴν ἔλαθεν ὑφελόμενος καὶ μετήνεγκεν εἰς Θήβας εἰς τὴν Καδμείαν, τὴν κοινωνίαν τῶν πράξεων τοῖς Βοιωτάρχαις[270] συνθέμενος· καὶ τηλικαύτην αὐτὸς αὑτῷ δυναστείαν κατεσκεύασεν, ὥστ' ἦδη παριὼν ἐπὶ τὸ βῆμα πρεσβεύειν μὲν ἔφη ὅποι ἂν αὐτῷ δοκῇ, κἂν μὴ ὑμεῖς ἐκπέμπητε, εἰ δέ τις αὐτῷ τῶν στρατηγῶν ἀντείποι,

---

265) Διότι, μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ὁ Φίλιππος φιλανθρωπότατα μὲν προσηνέχθη τοῖς Ἀθηναίοις, πικρότατα δὲ τοῖς Θηβαίοις. 266) (Ἐκ τῶν ἀναλωμ. 267) Τῆς Μακεδονίας καὶ τοῦ θεάτρου τοῦ πολέμου. 268) Τὸν ἐν Χαιρωνείᾳ. 269) Ὁ Διόδωρος ὁ Σικελ. ἀναφέρει στρατηγοὺς τῶν Ἀθην. ἐν τῇ κατὰ Χαιρώνειαν μάχῃ Χάρητα καὶ Λυσικλῆν· Ὁ δὲ Πολύαινος Χάρητα καὶ Πρόξενον. Περὶ δὲ τοῦ Στρατοκλέους τούτου λέγει ὅτι « ἐκδοήσας, ὡς οὐ χρὴ ἀποστῆναι προσκειμένους, ἕως ἂν τοὺς πολεμίους κατακλείσωμεν εἰς Μακεδονίαν, οὐκ ἀνῆκε διώκων ». Ἀναφέρεται δ' οὗτος ὡς ἰταμὸς καὶ αὐθάδης, καὶ ὑπῆρξεν εἷς τῶν κατηγόρων τοῦ Δημοσθένους διὰ τὰ Ἁρπάλεια χρήματα. 270) Οἱ Βοιωτάρχαι ἦσαν, κατά τινας μὲν ἕνδεκα, κατ' ἄλλους δὲ, δώδεκα τὸν ἀριθμόν.

καταδουλούμενος τοὺς ἄρχοντας καὶ συνεθίζων μηδὲν αὐτῷ ἀντιλέγειν, διαδικασίαν ἔφη γράψειν τῷ βήματι πρὸς τὸ στρατηγεῖον[274]· πλείω γὰρ ὑμᾶς ἀγαθὰ ὑφ' ἑαυτοῦ ἔφη ἀπὸ τοῦ βήματος πεπονθέναι, ἢ ὑπὸ τῶν στρατηγῶν ἐκ τοῦ στρατηγείου. μισθοφορῶν δ' ἐν τῷ ξενικῷ κεναῖς χώραις[275], καὶ τὰ στρατιωτικὰ χρήματα κλέπτων, καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι, πολλὰ διαμαρτυρομένου καὶ σχετλιάζοντος ἐν ταῖς ἐκκλησίαις ἐμοῦ, προσέμιξε φέρων, ἀναρπασθέντων τῶν ξένων, τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει. Τί γὰρ ἂν οἴεσθε Φίλιππον ἐν τοῖς τότε καιροῖς εὔξασθαι; οὐ χωρὶς μὲν πρὸς τὴν πολιτικὴν[276] δύναμιν, χωρὶς δ' ἐν Ἀμφίσσῃ πρὸς τοὺς ξένους διαγωνίσασθαι, ἀθύμους δὲ τοὺς Ἕλληνας λαβεῖν τηλικαύτης πληγῆς προγεγενημένης; Καὶ τηλικούτων κακῶν αἴτιος γεγενημένος Δημοσθένης, οὐκ ἀγαπᾷ εἰ μὴ δίκην δέδωκεν, ἀλλ' εἰ μὴ καὶ χρυσῷ στεφάνῳ στεφανωθήσεται, ἀγανακτεῖ· οὐδ' ἱκανόν ἐστιν αὐτῷ ἐναντίον ὑμῶν κηρύττεσθαι, ἀλλ' εἰμὴ τῶν Ἑλλήνων ἐναντίον ἀναρρηθήσεται, τοῦτ' ἤδη ἀγανακτεῖ. οὕτως, ὡς ἔοικε, πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐπιλαβομένη, δημοσίας ἀπεργάζεται συμφοράς.

Τρίτον δὲ καὶ τῶν προειρημένων μέγιστόν ἐστιν, ὃ μέλλω λέγειν. Φιλίππου γὰρ οὐ καταφρονοῦντος τῶν Ἑλλήνων, οὐδ' ἀγνοοῦντος, οὐ γὰρ ἦν ἀσύνετος, ὅτι περὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέρᾳ σμικρῷ μέρει διαγωνιεῖται, καὶ διὰ ταῦτα βουλομένου ποιήσασθαι τὴν εἰρήνην, καὶ πρεσβείας ἀποστέλλειν μέλλοντος, καὶ τῶν ἀρχόντων τῶν ἐν Θηβαις φοβουμένων τὸν ἐπιόντα κίνδυνον εἰκότως· οὐ γὰρ ῥᾴτωρ ἀστράτευτος καὶ λιπὼν τὴν τάξιν[277] αὐτοὺς ἐνουθέτησεν, ἀλλ' ὁ Φωκικὸς πόλεμος δεκαετὴς[278] γεγονὼς ἀείμνηστον παιδείαν αὐτοὺς ἐπαίδευσε· τούτων δ' ἐχόντων οὕτως, αἰσθόμενος Δημοσθένης, καὶ τοὺς Βοιωτάρχας ὑποπτεύσας μέλλειν εἰρήνην ἰδίᾳ ποιεῖσθαι, χρυσίον ἄνευ αὐτοῦ παρὰ Φιλίππου λαβόντας, ἀθίωτον ἠγγυήμενος εἶναι, εἴτινος ἀπολειφθήσεται δωροδοκίας, ἀναπηδήσας ἐν τῇ ἐκκλησίᾳ, οὐδενὸς ἀνθρώπων λέγοντος οὔθ' ὡς δεῖ ποιεῖσθαι πρὸς Φίλιππον εἰρήνην, οὔθ' ὡς οὐ δεῖ, ἀλλ' ὡς ᾤετο, τοῦτο κήρυγμά τι τοῖς Βοιωτάρχαις προκηρύττων ἀναφέρειν ἑαυτῷ τὰ μέρη τῶν λημμάτων[279], διώμνυτο τὴν Ἀθηνᾶν, ἣν, ὡς ἔοικε, Φειδίας ἐνεργολαβεῖν[280] εἰργάσατο καὶ ἐνεπιορκεῖν Δημοσθένει, ἢ μὴν, εἴ τις ἐρεῖ, ὡς χρὴ πρὸς Φίλιππον εἰρήνην ποιήσασθαι, ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν, ἀπομιμούμενος τὴν Κλεοφῶντος[281]

---

274) Μεταξὺ τῶν ῥητόρων, ἢ τῶν στρατηγῶν. 275) Θέσεις στρατιωτικὰς, διὰ τὰς ὁποίας ἐπληρώνετο εἰς τοὺς ἀρχηγοὺς μισθὸς, χωρὶς νὰ ὑπάρχουν τεταγμένοι εἰς αὐτὰς στρατιῶται, καθὼς καὶ παρ' ἡμῖν τὰ καλοτυχα ταγήνια! 276) Τὴν ἐκ πολιτῶν συγκειμένην. 277) Ἤτοι τῆς γενομένης ἐν Ἀμφίσσῃ πρὸ τῆς ἐν Χαιρωνείᾳ. 278) Ἐννοεῖ τὸν Δημοσθένην. 279) Ἡ διάρκεια τοῦ Φωκικοῦ πολέμου διαφόρως ὑπὸ τῶν συγγραφέων λογαριάζεται, ἀρχὴν αὐτοῦ ἄλλην ἄλλων ποιουμένων. 280) Νὰ δώσουν καὶ αὐτοῦ μερίδιον ἐκ τῶν λημμάτων. 281) Κερδοσκοπεῖν ἐν αὐτῇ (δι' αὐτῆς). 282) Λυροποιὸς ἦν οὗτος, παρεγγραφεὶς αἰσχρῶς πολίτης, καὶ διεφθαρκὼς νομῇ χρημάτων τὸν δῆμον. Ὅς, μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν, ἐπὶ Καλλίου ἄρχοντος (τὸ γ'. ἔτος τῆς ϟγ'. Ὀλυμπ.), τῶν Λακεδαιμονίων βουλομένων εἰρήνην ἄγειν καὶ ἐκ Δεκελείας ἀπέναι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ ῥάκεα ἐνδεδυκώς, ἀποκόψειν ἔφειλε μαχαίρᾳ τὸν τράχηλον, εἴτις εἰρήνης μνησθήσεται ». Σχολ. καὶ Αἰσχ. Παραπρεσβ. §. κε.

πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου, ὡς λέγεται, τὴν πόλιν ἀπώλεσεν. ὡς δ' οὐ προσεῖχον αὐτῷ οἱ ἄρχοντες οἱ ἐν ταῖς Θηβαις, ἀλλὰ καὶ τοὺς στρατιώτας τοὺς ὑμετέρους πάλιν ἀνέστρεψαν[280] ἐξεληλυθότας, ἵνα βουλεύσησθε περὶ τῆς εἰρήνης, ἐνταῦθ' ἤδη παντάπασιν ἔκφρων ἐγένετο, καὶ παρελθὼν ἐπὶ τὸ βῆμα προὔτας τῶν Ἑλλήνων τοὺς Βοιωτάρχας ἀπεκάλεσε, καὶ γράψειν ἔφη ψήφισμα, ὁ τοῖς πολεμίοις οὐδέποτ' ἀντιβλέψας, πέμπειν ὑμᾶς πρέσβεις εἰς Θήβας, αἰτήσοντας Θηβαίους ὄίοδον ἐπὶ Φίλιππον. ὑπεραισχυνθέντες δὲ οἱ ἐν Θήβαις ἄρχοντες, μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι προδόται τῶν Ἑλλήνων, ἀπὸ μὲν τῆς εἰρήνης ἀπετράποντο, ἐπὶ δὲ τὴν παράταξιν ὥρμησαν.

Ἔνθα δὴ καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἄξιόν ἐστιν ἐπιμνησθῆναι, οὓς οὗτος, ἀθύτων καὶ ἀκαλλιεργήτων ὄντων τῶν ἱερῶν, ἐκπέμψας ἐπὶ τὸν προὔχοντα κίνδυνον ἐτόλμησε, τοῖς ὁραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν ἀναβὰς ἐπὶ τὸν τάφον τῶν τελευτησάντων, ἐγκωμιάζειν τὴν ἐκείνων ἀρετήν. Ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα τῶν πραγμάτων ἁπάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε, ἐπιχειρήσειν[281] ἐθελήσεις αὐτίκα μάλα, βλέπων εἰς τὰ τούτων πρόσωπα, λέγειν, ὡς δεῖ σε ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦσθαι; ἐὰν δ' οὗτος λέγῃ, ὑμεῖς ὑπομενεῖτε, καὶ συναποθανεῖται τοῖς τελευτήσασιν, ὡς ἔοικε, καὶ ἡ ὑμετέρα μνήμη; Γενέσθω δή μοι μικρὸν χρόνον τὴν διάνοιαν[282] μὴ ἐν τῷ δικαστηρίῳ, ἀλλ' ἐν τῷ θεάτρῳ, καὶ νομίσατε ὁρᾶν προϊόντα τὸν κήρυκα[283] καὶ τὴν ἐκ τοῦ ψηφίσματος[284] ἀνάρρησιν μέλλουσαν γίγνεσθαι, καὶ λογίσασθε, πότερ' οἴεσθε τοὺς οἰκείους τῶν τελευτησάντων πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις καὶ τοῖς ἡρωϊκοῖς πάθεσι τοῖς μετὰ ταῦτα[285] ἐπεισιοῦσιν, ἢ ἐπὶ τῇ τῆς πόλεως ἀγνωμοσύνῃ. Τίς γὰρ οὐκ ἂν ἀλγήσειεν ἄνθρωπος Ἕλλην ἢ[286] καὶ παιδευθεὶς ἐλευθέρως, ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ ἡμέρᾳ μελλόντων ὥσπερ νυνὶ πῶν τραγῳδῶν γίνεσθαι[286], ὅτ' εὐνομεῖτο μᾶλλον ἡ πόλις καὶ βελτίοσι προστάταις ἐχρῆτο, προελθὼν ὁ κῆρυξ καὶ παραστησάμενος τοὺς ὀρφανούς, ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανοπλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετήν, ὅτι τούσδε τοὺς νεανίσκους, ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης[287] ὁ δῆμος ἔτρεφε, νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν[288], καὶ καλεῖ εἰς προεδρίαν[289]. Τότε μὲν ταῦτ' ἐκήρυττεν, ἀλλ' οὐ νῦν, ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον τί ποτ' ἂν ἐρεῖ[290]*, ἢ τί φθέγξεται; καὶ γὰρ ἐὰν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα,

---

280) Τοὺς ἔστειλαν ὀπίσω. 281) Περιέκλεισάν τινες τὸ Ἐπιχειρήσειν, ὡς σόλοικον ἐν μέλλοντι ἀπὸ ῥήματος βουλητικοῦ· ἀλλὰ παραδείγματα τοιαύτης συντάξεως οὐκ ὀλίγα συνήθροισεν ὁ Lobeck Parerga post Phryn.) ἐκ τῶν ἀρίστων συγγραφέων. 282) (Κατὰ) τὴν διάνοιαν· συνηθέστερον δὲ ἐκφέρεται κατὰ δοτικήν. 283) Κατὰ τὸ ψήφισμα.
284) Μετὰ τὴν τοῦ ὕψος ἀνάῤῥησιν. 285) Ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων ἐλλείπει ὁ Ἢ 286) Ἴδε σημ. 118 τοῦ Περὶ στεφ. τοῦ Δημοσθ. 287) Ἴδε σημ. 223. 288) (ἐνν.) Ἔργα. 289) Ἴδε σημ. 143. 290) Ὀρθότερον: Ἀνερεῖ.

ἀλλ' οὐ τό γ' ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται, ἀλλὰ τἀναντία ζόξει[290] τῇ τοῦ κηρυκος φωνῇ φθέγγεσθαι· ὅτι τόνδε τὸν ἄνδρα, εἰ δὴ καὶ οὗτος ἀνήρ[291], στεφανοῖ ὁ δῆμος ὁ τῶν] Ἀθηναίων ἀρετῆς ἕνεκα τὸν κάκιστον, ἀνδραγαθίας ἕνεκα τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν. Μή, πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων Θεῶν, ἱκετεύω ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τρόπαιον ἵστατε ἀφ' ὑμῶν[292] αὐτῶν ἐν τῇ τοῦ Διονύσου ὀρχήστρᾳ, μηδ' αἱρεῖτε παρανοίας[293] ἐναντίον τῶν Ἑλλήνων τὸν δῆμον τῶν Ἀθηναίων, μηδ' ὑπομιμνήσκετε τῶν ἀνιάτων καὶ ἀνηκέστων κακῶν τοὺς ταλαιπώρους Θηβαίους, οὓς φυγόντας διὰ τοῦτον ὑποδεδεχθε τῇ πόλει, ὧν ἱερὰ καὶ τέκνα καὶ τάφους ἀπώλεσεν ἡ Δημοσθένους δωροδοκία καὶ τὸ βασιλικὸν[294] χρυσίον· ἀλλ' ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, ἀλλὰ ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὰς συμφορὰς, καὶ νομίσατε ὁρᾶν ἀλισκομένην τὴν πόλιν, τειχῶν κατασκαφὰς[295], ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖκας οὐδὲ μεταμανθάνοντας[295a] τὴν ἐλευθερίαν, κλαίοντας, ἱκετεύοντας ὑμᾶς, ὀργιζομένους οὐ τοῖς τιμωρουμένοις, ἀλλὰ τοῖς τούτων αἰτίοις, ἐπισκηπτοντας μηδενὶ τρόπῳ τὸν τῆς Ἑλλάδος ἀλιτήριον στεφανοῦν, ἀλλὰ καὶ τὸν δαίμονα καὶ τὴν τύχην[296] τὴν συμπαρακολουθοῦσαν τῷ ἀνθρώπῳ φυλάξασθαι· οὔτε γὰρ πόλις οὔτ' ἀνὴρ ἰδιώτης οὐδεὶς πώποτε καλῶς ἀπήλλαξε[297] Δημοσθένει συμβούλῳ χρησάμενος. Ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ αἰσχύνεσθε, εἰ ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σαλαμῖνα πυρθμεύοντας νόμον ἔθεσθε, ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ, τοῦτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι, ἵνα μηδεὶς αὐτοσχεδιάζῃ[298] εἰς τὰ τῶν Ἑλλήνων σώματα, τὸν δὲ τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἅπασαν ἀνατετραφότα τοῦτον ἐάσετε πάλιν ἀπευθύνειν τὰ κοινά;

Ἵνα δ' εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ καὶ τῶν νυνὶ[299] καθεστηκότων πραγμάτων, ἐκεῖνο ὑμᾶς ὑπομνῆσαι βούλομαι, ὅτι Δημοσθένης οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως, τριηρη προσ-

---

290) Τὸ αἰσχρὸν ἡ ἡ ἀλήθεια. 291) Διότι παντοῦ τὸν λοιδορεῖ ὡς ἄνανδρον, καὶ ἐν τῷ περὶ Παραπρεσβ. (§. μγ'.) τὸν λέγει ῥητῶς Ἀνδρογύνον. 292)=καθ' ὑμῶν. 293) Καταδικάζετε ὡς παράφρονα. 294) Τὸ τοῦ τῶν Περσῶν βασιλέως, ᾧ δῆθεν Δημοσθένης δεκασθείς, ἐκίνησε τοὺς Θηβαίους εἰς τὴν κατὰ Ἀλεξάνδρου ἀποστασίαν. 295) Ἐθαυμάσθη χ ὑπὸ τῶν παλαιῶν ἡ περιγραφὴ αὕτη, καὶ τῶν Ῥωμαίων ῥητόρων πολλοὶ ἐσπλοτιμήθησαν νὰ τὴν μιμηθοῦν, μίμησιν οὖσαν καὶ αὐτὴν τοῦ ἀμιμήτου Ὁμήρου, τὸν ὁποῖον ὁ Αἰσχίνης ἐσπούδαζε, φαίνεται, οὐκ ἐν παρέργῳ. Ἀλλὰ μὲ ποσην δύναμιν καταβάλλει τὴν δεινότητα τῆς περιγραφῆς ταύτης ὁ Δημοσθένης διὰ τοῦ ἐξῆς εἰρωνικοῦ ἐπιχειρήματος: » Δῆλον γὰρ » ὅτι σὺ μὲν ἀλγεῖς ἐπὶ τοῖς συμβεβηκόσιν, Αἰσχίνη, καὶ τοὺς Θηβαίους ἐλεεῖς, κτήματα » ἔχων ἐν τῇ Βοιωτίᾳ, καὶ γεωργῶν τὰ ἐκείνων· ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐξητοίμην ὑπὸ » τοῦ ταῦτα πράξαντος, «! 295a) Ἡ ἐξήγησις τοῦ μακαρίτου Δουκα δεν μοι φαίνεται πιθανὴ, καὶ νομίζω ἄτι τὸ Οὐδὲ Μεταμανθάνειν τὴν ἐλευθερίαν, ἑρμηνευτέον κοινῶς: Ξεσυνειθίζουν τὴν ἐλευθερίαν ἐξώρας: διότι, γέροντες ἤδη, τὴν ἔχασαν, οἱ μὲν αἰχμαλωτισθέντες, οἱ δὲ μετοικοῦντες. 296) Τὴν κακὴν, τὴν ὁποίαν καὶ τώρα ἀκομη παλλοὶ κ πιστεύουσι καὶ φοβοῦνται ὡς συμπαρακολουθοῦσαν ὄχι μόνον ἀνθρώπους ἀλλὰ καὶ τόπους χ χρόνους τινάς!! 297) Ἀνάλογον φράσιν ἔχομεν καὶ ἡμεῖς καὶ οἱ Τοῦρκοι: Φθηνὰ τὰ γλύτωσεν. Οἱ δὲ Γάλλοι, ἔτι μᾶλλον οἰκειότερον πρὸς τὸ Ἑλληνικόν: il echappa belle. 298) Κερδοσκοπῆ ἐκ τοῦ προγεγόνου. Ἐσημειώθη δὲ καὶ ὑπ' ἄλλων τὸ κυρίον τῆς μεταφορᾶς ἀπὸ τῆς Σχεδίας, ἐπειδὴ περὶ πορθμέων ὁ λόγος. 299) Μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην.

λαβὼν ὑμῶν, καὶ τοὺς Ἕλληνας ἠργυρολόγησε[500]· καταγαγούσης δ' αὐτὸν εἰς τὴν πόλιν τῆς ἀπροσδοκήτου[501] σωτηρίας, τοὺς μὲν πρώτους χρόνους ὑπότρομος ἦν ἄνθρωπος, καὶ παριὼν ἡμιθνὴς ἐπὶ τὸ βῆμα εἰρηνοφύλακα[502] ὑμᾶς ἐκέλευεν αὑτὸν χειροτονεῖν· ὑμεῖς δὲ κατὰ μὲν τοὺς πρώτους χρόνους οὐδ' ἐπὶ τὰ ψηφίσματα εἰᾶτε[503] τὸ Δημοσθένους ἐπιγράφειν ὄνομα, ἀλλὰ Ναυσικλεῖ[504] τοῦτο προσετάττετε· νυνὶ δ' ἤδη καὶ στεφανοῦσθαι ἀξιοῖ. ἐπειδὴ δ' ἐτελεύτησε μὲν Φίλιππος, Ἀλέξανδρος δ' εἰς τὴν ἀρχὴν κατέστη, πάλιν αὖ[505] τερατευόμενος, ἱερὰ μὲν ἱρύσατο Παυσανίου[506], εἰς αἰτίαν δὲ εὐαγγελίων θυσίας τὴν βουλὴν κατέστησεν[507], ἐπωνυμίαν δ' Ἀλεξάνδρῳ Μαργίτην[508] ἐτίθετο, ἀπετόλμα δὲ λέγειν, ὡς οὐ κινηθήσεται ἐκ Μακεδονίας· ἀγαπᾷν γὰρ αὐτὸν ἔφη ἐν Πέλλῃ περιπατοῦντα καὶ τὰ σπλάγχνα φυλάττοντα[509]. καὶ ταῦτα λέγειν ἔφη οὐκ εἰκάζων, ἀλλ' ἀκριβῶς εἰδώς, ὅτι αἱματός ἐστιν ἡ ἀρετὴ ὠνία, αὐτὸς οὐκ ἔχων αἷμα[510] καὶ θεωρῶν τὸν Ἀλέξανδρον οὐκ ἐκ τῆς Ἀλεξάνδρου φύσεως, ἀλλ' ἐκ τῆς ἑαυτοῦ ἀνανδρίας. ἤδη δ' ἐψηφισμένων Θετταλῶν ἐπιστρατεύειν ἐπὶ τὴν ὑμετέραν πόλιν, καὶ τοῦ νεανίσκου[511] τὸ πρῶτον παροξυνθέντος εἰκότως, ἐπειδὴ περὶ Θήβας ἦν τὸ στρατόπεδον, πρεσβευτὴς ὑφ' ὑμῶν χειροτονηθείς, ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος ἦκεν ὑποστρέψας, οὔτ' ἐν εἰρήνῃ οὔτ' ἐν πολέμῳ χρήσιμον ἑαυτὸν παρέχων. καὶ τὸ πάντων δεινότατον, ὑμεῖς μὲν τοῦτον οὐ προὔδοτε, οὐδ' εἰάσατε κριθῆναι ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ· οὗτος δ' ὑμᾶς νῦν προδέδωκεν, εἴπερ ἀληθῆ ἐστιν ἃ λέγεται. ὡς γὰρ φασιν οἱ πάραλοι[512] καὶ οἱ πρεσβεύσαντες πρὸς Ἀλέξανδρον, καὶ τὸ πρᾶγμα εἰκότως πιστεύεται, ἔστι τις Ἀριστίων Πλαταιεὺς[513], ὁ τοῦ Ἀριστοβούλου τοῦ φαρμακοπώλου υἱός, εἴτις ἄρα καὶ ὑμῶν γιγνώσκει. οὗτός ποτε ὁ νεανίσκος, ἑτέρων τὴν ὄψιν διαφερόν-

500) Σταλείς πάντως ὑπὸ τῆς πόλεως, πρὸς εἰσπραξιν τῶν αὐτῶν (ἀργυρολογίαν) ἀπὸ τῶν συμμάχων πόλεων. 501) Διότι κανεὶς δὲν ἤλπιζεν ὅτι ὁ Φίλιππος μετὰ τὴν νίκην ἤθελε φερθῇ τόσον μετρίως, χωρὶς νὰ ὁρμήσῃ κατὰ τῶν Ἀθηνῶν. 502) Φύλακα τῆς πρὸς τὸν Φίλιππον εἰρήνης. 503) Ὄχι οἱ Ἀθηναῖοι, ἀλλ' αὐτὸς ὁ Δημοσθένης ἀπέφευγε νὰ ἐπιγράφῃ τὸ ἴδιόν του ὄνομα εἰς τὰ ὁποῖα ὁ ἴδιος ἐπρότεινε ψηφίσματα· ἐπέγραφε δέ, κατὰ τὴν μαρτυρίαν τοῦ Πλουτάρχου, « ἐν μέρει τῶν φίλων ἕκαστον, ἐξοιωνιζόμενος τὸν ἴδιον δαίμονα » ἢ τὴν τύχην, ἕως αὖθις ἀνεθάρρησε, Φιλίππου τελευτήσαντος ». Πιθανώτερον δὲ φαίνεται ὅτι ὄχι διὰ τὴν αἰτίαν αὐτήν, τῆς ὁποίας ἦτον ἀνώτερος πάντως ὁ Δημοσθένης, ἀλλ' οἰκονομῶν τὸν ἰσχύοντα Φίλιππον, καὶ μὴ θέλων νὰ τὸν ἐρεθίζῃ. 504) Φίλος τοῦ Δημοσθένους, στρατηγήσας, καὶ πολλάκις στεφανωθείς, διὰ τὰς πρὸς τὸν δῆμον εὐεργεσίας του. Ἐν τῶν περὶ τούτου ψηφισμάτων ἀναφέρει καὶ ὁ Δημοσθ. ἐν τῷ περὶ Στεφ. 505) Ἐκ παραλλήλου, σύνηθες τοῖς Ἀττικοῖς. Εἰς τὸν Σοφοκλ. (Φιλοκτ. 232) εὑρηται καὶ, Αὖθις αὖ πάλιν. 506) Τοῦ φονεύσαντος τὸν Φίλιππον, ὡς τυραννοκτόνου. 507) Περιενόησαι καὶ ἴσως καὶ διέστραπται τὸ χωρίον, ὅπερ συντακτέον κατὰ φύσιν ὧδε. Κατέστησε τὴν βουλὴν εἰς αἰτίαν (ὑπαίτιον ἐνώπιον τοῦ Ἀλεξάνδρου, ἐπὶ τῷ ποιῆσαι) θυσίας εὐαγγελίων. Ἀλλ' ὁ Πλούταρχος λέγει ὅτι αὐθόρμητος ὁ δῆμος « εὐθὺς ἔθυον εὐαγγέλια καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν ». 508) Πρὸς πᾶν ἔργον ἀδόκιμον, ὁποῖον περιγράφει ὁ Ὅμηρος τὸν Μαργίτην εἰς τὸ ἀπ' αὐτοῦ ἐπιγραφόμενον ποίημά του, τοῦ ὁποίου μόνον ὀλίγοι στίχοι σώζονται. 509) Παρατηροῦντα τὰ ἐντόσθια τῶν ἱερείων, μαντευόμενον, ἢ φυλάττοντα τὰ ἑαυτοῦ σπλάγχνα, προσέχοντα δηλαδὴ μὴ φονευθῇ. 510) Δηλ. τόλμην, ἀνδρίαν. 511) Τοῦ Ἀλεξάνδρου, διότι ἦτον τότε 22 ἐτῶν. 512) Κατὰ διόρθ. ἀντὶ, Παράλιοι. « Ἐκαλοῦντο δὲ Πάραλοι, κατὰ τὸν Ἁρποκρ., οἱ ἐπιβεβηκότες τῆς Παράλου τριήρους, μιᾶς τῶν πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων, οἳ διὰ ταύτην τὴν ὑπηρεσίαν τέτταράς τε ὀβολοὺς ἐλάμβανον, καὶ τὸ πλεῖστον μέρος τοῦ ἐνιαυτοῦ οἴκοι ἦσαν, ἄλλα τε σφισιν ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως ». 513) Κατ' ἄλλους Σάμιος. 514) Διαπρέπων.

γενόμενος, ὤκησε πολὺν χρόνον ἐν τῇ Δημοσθένους οἰκίᾳ· ὅτι δὲ πράττων ἢ πάσχων, ἀμφίβολος ἡ αἰτία καὶ τὸ πρᾶγμα οὐδαμῶς εὔσχημον ἐμοὶ λέγειν[316]· οὗτος, ὡς ἐγὼ ἀκούω, ἠγνοημένος ὅς τις πότ' ἐστὶ καὶ πῶς βεβιωκώς, τὸν Ἀλέξανδρον ὑποτρέχει[318] καὶ πλησιάζει ἐκείνῳ· διὰ τούτου γράμματα πέμψας ὡς Ἀλέξανδρον ἄδειάν τινα εὕρηται καὶ διαλλαγὰς καὶ πολλὴν κολακείαν πεποίηται· ἐκεῖθεν δὲ θεωρήσατε, ὡς ὅμοιόν ἐστι τὸ πρᾶγμα τῇ αἰτίᾳ[319]· εἰ γάρ τι τούτων ἐφρόνει Δημοσθένης καὶ πολεμικῶς εἶχεν, ὥσπερ καὶ φησι, πρὸς Ἀλέξανδρον, τρεῖς αὐτῷ καιροὶ κάλλιστοι παραγεγόνασιν, ὧν οὐδενί φαίνεται κεχρημένος· εἷς μὲν ὁ πρῶτος, ὅτ' εἰς τὴν ἀρχὴν οὐ πάλαι[317] καθεζηκὼς Ἀλέξανδρος ἀκατασκεύων[318] αὐτῷ τῶν ἰδίων ὄντων εἰς τὴν Ἀσίαν διέβη, ἠμαζε δ' ὁ τῶν Περσῶν βασιλεὺς καὶ ναυσὶ καὶ χρήμασι καὶ πεζῇ στρατιᾷ, ἄσμενος δ' ἂν ὑμᾶς εἰς τὴν συμμαχίαν προσεδέξατο διὰ τοὺς ἐπιφερομένους ἑαυτῷ κινδύνους. Εἰπάς τινα ἐνταῦθα λόγον, Δημόσθενες, ἢ ἔγραψάς τι ψήφισμα; βούλει σε θῶ φοβηθῆναι καὶ χρήσασθαι τῷ ἑαυτοῦ[319] τρόπῳ; καίτοι ῥητορικὴν δειλίαν δημόσιος καιρὸς οὐκ ἀναμένει. Ἀλλ' ἐπειδὴ πάσῃ τῇ δυνάμει Δαρεῖος καταβεβήκει, ὁ δ' Ἀλέξανδρος ἦν ἀπειλημμένος ἐν Κιλικίᾳ[320], πάντων ἐνδεής, ὡς ἔφησθα σύ, αὐτίκα δὲ μάλα ἤμελλεν, ὡς ἦν ὁ παρὰ σοῦ λόγος, συμπατηθήσεσθαι ὑπὸ τῆς Περσικῆς ἵππου, τὴν δὲ σὴν ἀηδίαν ἡ πόλις οὐκ ἐχώρει καὶ τὰς ἐπιστολάς, ἃς ἐξηρτημένος ἐκ τῶν δακτύλων[321] περιῄεις, ἐπιδεικνύων τισὶ τὸ ἐμὸν πρόσωπον ὡς ἐκπεπληγμένου καὶ ἀθυμοῦντος[322], καὶ χρυσόκερων[323] ἀποκαλῶν καὶ κατεσθίεσθαι φάσκων, εἴ τι πταῖσμα συμβήσεται Ἀλεξάνδρῳ, οὐδ' ἐνταῦθα ἔπραξας οὐδέν, ἀλλ' εἰς τινα καιρὸν ἀνεβάλλου καλλίω. ὑπερβὰς τοίνυν ἅπαντα ταῦτα ὑπὲρ τῶν νυνὶ[324] καθεζηκότων λέξω. Λακεδαιμόνιοι μὲν καὶ τὸ ξενικὸν ἐπέτυχον μάχῃ καὶ διέφθειραν τοὺς περὶ Κόρραγον[325] στρατιώτας, Ἠλεῖοι δ' αὐτοῖς συμμετεβάλλοντο[326] καὶ Ἀχαιοὶ πάντες πλὴν Πελληναίων, καὶ Ἀρκαδία πᾶσα πλὴν Μεγάλης πόλεως[327], αὕτη δὲ ἐπολιορκεῖτο καὶ καθ' ἑκάστην ἡμέραν ἐπίδοξος ἦν ἁλῶναι, ὁ δὲ Ἀλέξανδρος

---

316) Ὁ Δίδυμος, ἐφεξῆς τινι τῶν ὁποῖον ἀναιρεῖ ὁ Ἁρποκρ., λέγει ἁπλῶς ὅτι ἦτον «ἐκ μειρακυλλίων ἑταῖρος Δημοσθένει, ᾧ ἐπέμφθη ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν.» 317) Κολακεύει. 318) Τῇ κατὰ τοῦ Δημοσθένης ὡς πρὸς τὸν Ἀριστίωνα. 319) Τὸ πρὸ πολλοῦ. 320) Ἐν ἄλλοις· Ἀπορασκεύων. 321) Ὀρθότ. Σαυτοῦ. 322) Ὅπως ἔγινε ᾧ ἡ πρώτη πρὸς τὸν Δαρεῖον περίφημος μάχη, ἡ ἐν Ἰσσῷ. 323) Διότι οἱ παλαιοὶ ἔβλεπον ὅτι ἔχομεν τὰς ἐπιστολάς των, καθὼς συνειθίζεται ᾧ τώρα ἀκόμην εἰς τὰ σιγίλλια λεγόμενα γράμματα τοῦ Πατριαρχείου τῆς Κωνσταντινοπόλ. 324) Διὰ τὴν δεινὴν θέσιν ὅθεν τοῦ Ἀλεξάνδρ. 325) Ὡς ταῦρον ἀπαγόμενον εἰς θυσίαν, διότι τῶν τοιούτων κατεχρύσουν τὰ κέρατα, καὶ τοὺς ἐστεφάνουν· ὅθεν καὶ ὁ θεὸς εἰς τὸν Φίλιππον ὑπὸ τῆς Πυθίας, μικρὸν πρὸ τοῦ θανάτου του, χρησμός· «Ἕστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔστιν ὁ θύσων.» 326) Ἡ ὑπεράρκτιος αὕτη ἐκστρατεία τοῦ Ἀλεξάνδρου ἐγένετο ἓν ἔτος μετὰ τὴν ἐν Ἀρβήλοις μάχην, συγκρατηθεῖσαν, κατὰ τὸν Ἀρρ. (βιβλ. Γ'.), ἐπὶ Ἀριστοφάνους ἄρχοντος Ἀθήνῃσι, μηνὸς Πυανεψιῶνος. Μετὰ τὸν Ἀριστοφάνην ἦτον ἄρχων Ἀριστῶν. Τὸ δὲ τοῦ Ἀριστοφῶντος ἔτος συμπίπτει τῷ γ'. τῆς ριθ'. Ὀλυμπ., ὅτε ᾧ ἐξεφωνήθησαν οἱ λόγοι τῶν ῥητόρων, ἴδε καὶ τὴν 471 σημ. 327) Στρατηγὸν τοῦ Ἀντιπάτρου, εἰ καὶ τινες ἐξέλαθον τὸ ὄνομα ὡς τοπικόν. 328) Μετεπέμψαντο καὶ αὐτοὶ πρὸς τοὺς Λακεδ. 329) Τὴν νῦν Μεγαλόπολιν, τὴν ὁποίαν καταστραφεῖσαν ὑπὸ τῶν Λακεδ. τὸ δ'. ἔτος τῆς ρδ'. Ὀλυμπ. συνῴκισεν ὁ Ἐπαμινώνδας ἐκ τεσσαράκοντα ἄλλων Ἀρκαδικῶν πολιχνίων τῷ α'. τῆς ργ'.

ἔξω τῆς ἄρκτου καὶ τῆς οἰκουμένης ὀλίγου δεῖν πάσης μεθειστήκει, ὁ δὲ Ἀντίπατρος πολὺν χρόνον συνῆγε στρατόπεδον, τὰ δ' ἐσόμενον ἄδηλον ἦν· ἐνταῦθ' ἡμῖν ἀπόδειξιν ποίησαι, ὦ Δημόσθενες, τί ποτ' ἦν ἃ ἔπραξας καὶ τί ποτ' ἦν ἃ ἔλεγες· καὶ εἰ βούλει, παραχωρῶ σοι τοῦ βήματος, ἕως ἂν εἴπῃς. ἐπειδὴ δὲ σιγᾷς, ὅτι μὲν ἀπορεῖς, συγγνώμην ἔχω σοι· ἃ δὲ τότ' ἔλεγες, ἐγὼ νυνὶ λέξω. οὐ μέμνησθε αὐτοῦ τὰ μιαρὰ καὶ ἀπίθανα ῥήματα, ἃ πῶς ποθ' ὑμεῖς, ὦ σιδήρεοι[529], ἐκαρτερεῖτε ἀκροώμενοι; ὅτ' ἔφη παρελθών, ὁ ἀμπελουργοῦσί[530] τινες τὴν πόλιν, ἀνατετμηκασί τινες τὰ κλήματα τοῦ δήμου, ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμάτων, φορμορραφούμεθα[531] ἐπὶ τὰ στενά, τινὲς πρωτον[532] ὥσπερ τὰς βελόνας δειροῦσι α. Ταῦτα δὲ τί ἐστιν, ὦ κίναδος; ῥήματα ἢ θαύματα; καὶ πάλιν ὅτε κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος ἔλεγες ὡς ἀντιπράττων Ἀλεξάνδρῳ· ὁμολογῶ τὰ Ἀκωνικὰ συστήσασθαι, ὁμολογῶ Θετταλοὺς καὶ Περραιβοὺς ἀριστᾶναι α. σὺ γὰρ ἂν κώμην ἀποστήσαις; σὺ γὰρ ἂν προσέλθοις μὴ ὅτι πρὸς πόλιν, ἀλλὰ πρὸς οἰκίαν, ὅπου κίνδυνος πρόσεστιν; ἀλλ' εἰ μέν που χρήματα ἀναλίσκεται, προσκαθιζήσει[533], πρᾶξιν δὲ ἀνδρὸς οὐ πράξεις· ἐὰν δ' αὐτόματόν τι συμβῇ, προσποιήσῃ[534] καὶ σαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις[535]· ἂν δ' ἔλθῃ φόβος τις, ἀποδράσῃ· ἐὰν δὲ θαῤῥήσωμεν, ὠρεὰς αἰτήσεις καὶ χρυσοῖς στεφάνοις στεφανοῦσθαι.

Ναὶ[535], ἀλλὰ δημοτικός ἐστιν. ἐὰν μὲν τοίνυν πρὸς τὴν εὐφημίαν αὐτοῦ τῶν λόγων[536] ἀποβλέπητε, ἐξαπατηθήσεσθε ὥσπερ καὶ πρότερον· ἐὰν δ' εἰς τὴν φύσιν καὶ τὴν ἀλήθειαν, οὐκ ἐξαπατηθήσεσθε. ἐκεῖνος[537] δὲ ἀπολάβετε παρ' αὐτοῦ τὸν λόγον. ἐγὼ μὲν μεθ' ὑμῶν λογιοῦμαι ἃ δεῖ ὑπάρξαι ἐν τῇ φύσει τῷ δημοτικῷ ἀνδρὶ καὶ σώφρονι[538], καὶ πάλιν ἀντιθήσω ποιόν τινα εἰκὸς ἐστιν εἶναι τὸν ὀλιγαρχικὸν ἄνθρωπον καὶ φαῦλον[539]· ὑμεῖς δ' ἀντιθέντες ἑκάτερα τούτων θεωρήσατ' αὐτὸν μὴ ὁποτέρου τοῦ λόγου, ἀλλ' ὁποτέρου τοῦ βίου ἐστίν. Οἶμαι τοίνυν ἅπαντας ἂν ὑμᾶς ὁμολογῆσειν τάδε δεῖν ὑπάρξαι τῷ δημοτικῷ· πρῶτον μὲν ἐλεύθερον αὐτὸν εἶναι καὶ πρὸς πατρὸς καὶ πρὸς μητρός[540], ἵνα μὴ διὰ τὴν περὶ τὸ γένος ἀτυχίαν δυσμενὴς ᾖ τοῖς νόμοις, οἳ σώζουσι τὴν δημοκρατίαν· δεύτερον δ' ἀπὸ τῶν προγόνων εὐεργεσίαν τινὰ αὐτῷ πρὸς τὸν δῆμον ὑπάρχειν, ἢ τὸ γ' ἀναγκαιότατον μηδεμίαν ἔχθραν· ἵνα μή, βοηθῶν[541] τοῖς τῶν προγόνων ἀτυχήμασι, κακῶς ἐπιχειρῇ ποιεῖν τὴν πόλιν· τρίτον σώφρονα καὶ μέτριον χρὴ πεφυκέναι αὐτὸν πρὸς τὴν κα-

---

529) Ἀντὶ νὰ εἰπῇ Ἀνάλγητοι, ἀναίσθητοι. 530) Χλευάζει ὡς πολλὰ σκληρῶς μεταφορικὰς καὶ εὐτελεῖς τὰς λέξεις ταύτας τοῦ Δημοσθ. 531) Ἴδε τὸ Λεξ. 532) Ἠθέλησάν τινες νὰ διορθώσουν τὸ Πρῶτον εἰς Πρωκτόν. 533) Ὅπου μὲν κίνδυνος, οὐκ ἂν προσέλθοις· ὅπου δὲ χρήματα, προσκαθιζήσει, ἀπὸ μεταφορᾶς τῶν προσκαθημένων (πολιορκούντων στενῶς) πόλιν. 534) Θέλεις τὸ οἰκειοποιηθεῖν ὡς ἴδιόν σου κατόρθωμα.

535) Καθὼς ἐπέγραφον οἱ τεχνῖται εἰς τὰ ἔργα των· Ὁ δεῖνα ἐποίει· ἢ καθὼς εἰς τὰ ψηφίσματα ἐπεγράφετο τὸ ὄνομα τοῦ προτείνοντος. 535) Ἔνστασις ἐνδεχομένη. 536) Πρὸς τὸ εὔφημον τῶν λόγων αὐτοῦ. 537) Κατ' ἐκεῖνον (τὸν ἐξῆς) τρόπον. 538) Παρατηρητέον ὅτι δημοτικὸς καὶ σώφρων ἐκλαμβάνονται σχεδὸν ταὐτόσημα παρὰ τοῦ ῥήτορος. Ἀλλὰ ποῖος τῶν λεγομένων δημοτικῶν τὸ ἐνθυμήθη ποτέ του! 539) Ἀχρεῖε, μοχθηρῷ, ᾧ τοιοῦτος παρὰ τοῖς δημοκρατικοῖς Ἕλλησι διλογίζετο πᾶς ὀλιγαρχικός. 540) Διότι ἡ μήτηρ τοῦ Δημοσθένους ἦτον ξένη. 541) Ἐκδικῶν, καθὼς καὶ πρωτύτερον εἶπε· Βοηθῶν τῷ Θεῷ.

θ' ἡμέραν δίαιταν, ὅπως μὴ διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης δωροδοκῇ κατὰ τοῦ δήμου· τέταρτον εὐγνώμονα[542] καὶ δυνατὸν εἰπεῖν· καλὸν γὰρ τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα, τὴν δὲ παιδείαν τὴν τοῦ ῥήτορος καὶ τὸν λόγον πείθειν τοὺς ἀκούοντας· εἰ δὲ μή, τήν γ' εὐγνωμοσύνην φεῖ προτακτέον τοῦ λόγου· πέμπτον ἀνδρεῖον εἶναι τὴν ψυχήν, ἵνα μὴ παρὰ τὰ δεινὰ καὶ τοὺς πολέμους ἐγκαταλίπῃ τὸν δῆμον. τὸν δ' ὀλιγαρχικόν, πάντα δεῖ τἀναντία τούτων ἔχειν· τί γὰρ δεῖ πάλιν διεξιέναι; Σκέψασθε δὴ τί τούτων ὑπάρχει Δημοσθένει· ὁ δὲ λογισμὸς ἔστω ἐπὶ πᾶσι δικαίοις.

Τούτῳ πατὴρ μὲν ἦν Δημοσθένης ὁ Παιανιεύς, ἀνὴρ ἐλεύθερος· οὐ γὰρ δεῖ ψεύδεσθαι· τὰ δὲ ἀπὸ τῆς μητρὸς καὶ τοῦ πάππου τοῦ πρὸς μητρὸς πως ἔχει αὐτῷ; ἐγὼ φράσω. Γύλων ἦν ἐκ Κεραμέων[543]· οὗτος προδοὺς τοῖς πολεμίοις Νύμφαιον[544] τὸ ἐν τῷ Πόντῳ, τότε τῆς πόλεως ἐχούσης τὸ χωρίον τοῦτο, φυγὰς ἀπ' εἰσαγγελίας ἐκ τῆς πόλεως ἐγένετο, θανάτου καταγνωσθέντος αὐτοῦ, τὴν κρίσιν οὐχ ὑπομείνας, καὶ ἀφικνεῖται εἰς Βόσπορον[545], κἀκεῖ λαμβάνει δωρεὰν παρὰ τῶν τυράννων τοὺς ὠνομασμένους Κήπους[546], καὶ γαμεῖ γυναῖκα πλουσίαν μὲν νὴ Δία καὶ χρυσίον ἐπιφερομένην[547] πολύ, Σκύθιν δὲ τὸ γένος· ἐξ ἧς γίνονται αὐτῷ θυγατέρες δύο, ἃς ἐκεῖνος δεῦρο μετὰ πολλῶν χρημάτων ἀποστείλας συνῴκισε τὴν μὲν ἑτέραν ὁτῳοῦπότε, ἵνα μὴ πολλοῖς ἀπεχθάνωμαι[548]· τὴν δ' ἑτέραν ἔγημε παριὼν τοὺς τῆς πόλεως νόμους[549] Δημοσθένης ὁ Παιανιεύς, ἐξ ἧς ἡμῖν ὁ περίεργος[550] καὶ συκοφάντης γεγένηται Δημοσθένης. οὐκοῦν ἀπὸ μὲν τοῦ πάππου τοῦ πρὸς μητρὸς πολέμιος ἂν εἴη τῷ δήμῳ· θάνατον γὰρ αὐτοῦ τῶν προγόνων κατέγνωτε· τὰ δ' ἀπὸ τῆς μητρὸς Σκύθης βάρβαρος ἑλληνίζων τῇ φωνῇ· ὅθεν καὶ τὴν πονηρίαν οὐκ ἐπιγώριος[551] ἐστι. περὶ δὲ τὴν καθ' ἡμέραν δίαιταν τίς ἐστιν; ἐκ τριηράρχου[552] λογογράφος ἀνεφάνη, τὰ πατρῷα καταγελάστως προέμενος· ἄπιστος δὲ καὶ περὶ ταῦτα[553] δοῦλος εἶναι, καὶ τοὺς λόγους ἐκφέρων τοῖς ἀντιδίκοις, ἀνεπήγνυσεν ἐπὶ τὸ βῆμα· πλεῖον δ' ἐκ τῆς πολιτείας εἰλικρινῶς ἀργύριον ἐλάγιστα περιεποιήσατο[554]. νῦν μέντοι τὸ βασι-

---

542) Τὸ ὁποῖον ἑρμηνεύει ἀμέσως διὰ τοῦ: Προαιρεῖσθαι τὰ βέλτιστα. 543) Κεραμεῖς, δῆμος τῆς Ἀττικῆς, φυλῆς τῆς Ἀκαμαντίδος· ὅθεν καὶ ὁ Κεραμεικός, διπλοῦς, ἐντὸς καὶ ἐκτὸς τῆς πόλεως. 544) Πόλις τῆς Ταυρικῆς (τῆς Κριμαίας) μεταξὺ Παντικαπαίου (Γκέρζ) καὶ Θεοδοσίας (Καφᾶ)· ἐτέλει δὲ κατ' ἔτος τάλαντον τοῖς Ἀθηναίοις. 545) Τὸν Κιμμέριον, ὃι' οὗ συγκοινωνεῖ ἡ Μαιῶτις λίμνη μὲ τὸν Εὔξεινον Πόντον. 546) Ὑπάρχει καὶ τώρα πόλις εἰς τὴν Κριμαίαν τὸ Μπαγτσὲ-σαράϊ, ὅπου εἶχαν τὰ ἀνάκτορά των οἱ πρώην δυνάσται τοῦ τόπου Χάνιδες. 547) Φέρουσαν μεθ' ἑαυτῆς ὡς πρῖκα (φερνήν). 548) Δὲν θέλει νὰ κάμῃ ἐχθρὸν συγχρόνως καὶ τὸν θεῖον τοῦ Δημοσθένους, τοῦ ὁποίου τὸ ὄνομα ἀναφέρει αὐτὸς ὁ Δημοσθ. ἐν τῷ κατὰ Ἀφόβου: » Δημοχάρης ὁ Λευκονοεύς, ἐγὼν τὴν ἀδελφὴν τῆς ἐμῆς μητρὸς (τὴν τηθίδα τὴν ἐμὴν), θυγατέρα δὲ Γύλωνος «. 549) Οἵτινες παρήγγελλον « γαμεῖν ἀστήν ». Ἴδε τὸν κατὰ Νεαίρας τοῦ Δημοσθ. 550) Ῥαδιεργός. 551) Ὄχι ἐντόπιος, (ἐπομένως) ξένος, παράξενος. 552) Ἀπὸ πλουσιωτάτη ἐπεμένως, διότι οἱ τοιοῦτοι μόνοι ἐτριηράρχουν, κατήντησε λογογράφος (« Δικανικοὺς λόγους γράφων μισθοῦ », κατὰ τὸν Ἅρποκρ.)· τὸ ὁποῖον δὲν ἤθελε κάμει βέβαια, ἐὰν δὲν ἐξωδεύευεν αἰσχρῶς (καταγελάστως) τὴν πατρικὴν κατάστασίν του. 553) Περὶ τὸ λογογραφεῖν· διότι ἐξέφερε (ἐπρόδιδε) τοὺς λόγους τοῖς ἀντιδίκοις, γράφων καὶ ὑπὲρ καὶ κατὰ τῶν δύο· τὸ ὁποῖον ἐκθέτει σαφέστερον ὁ Αἰσχίνης ἐν τῷ Περὶ παραπρεσβ. « Λόγους εἰς δικαστήρια γράφων μισθοῦ, τούτους ἐξέφερες τοῖς ἀντιδίκοις. Ἐγράψας λόγον Φορμίωνι τῷ τραπεζίτῃ, χρήματα λαβών· τοῦτον ἐξήνεγκας Ἀπολλοδώρῳ τῷ περὶ τοῦ σώματος κρίνοντι Φορμίωνα «. 554) Διετήρησεν.

λικὸν[554] χρυσίον ἐπικέκλυκε[555] τὴν δαπάνην αὐτοῦ, ἔσται δ' οὐδὲ τοῦθ' ἱκανόν· οὐδεὶς γὰρ πώποτε πλοῦτος τρόπου πονηροῦ περιεγένετο. καὶ τὸ κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων ποριζεται, ἀλλ' ἐκ τῶν ὑμετέρων κινδύνων. Περὶ δ' εὐγνωμοσύνην καὶ λόγου δύναμιν πῶς πέφυκε; δεινῶς λέγειν[556], κακῶς βιῶναι. οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυτοῦ σώματι καὶ παιδοποιίᾳ[557], ὥστ' ἐμὲ μὴ βούλεσθαι λέγειν ἃ τούτῳ πέπρακται· ἤδη γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ τῶν πλησίον αἰσχρὰ λίαν σαφῶς λέγοντας. ἔπειτα τί συμβαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοί, τὰ δ' ἔργα φαῦλα. Πρὸς δὲ ἀνδρίαν βραχύς μοι λείπεται λόγος. εἰ μὲν γὰρ ἠρνεῖτο μὴ δειλὸς εἶναι, ἢ ὑμεῖς μὴ συνήδειτε αὐτῷ, διατριβὴν[558] ὁ λόγος ἂν μοι παρεῖχεν· ἐπειδὴ δὲ καὶ αὐτὸς ὁμολογεῖ ἐν ταῖς ἐκκλησίαις, καὶ ὑμεῖς σύνιστε, λοιπὸν ὑπομνῆσαι τοὺς περὶ τούτων κειμένους νόμους. Ὁ γὰρ Σόλων, ὁ παλαιὸς νομοθέτης, ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν ἀστράτευτον καὶ τὸν λελοιπότα τὴν τάξιν καὶ τὸν δειλὸν ὁμοίως[559]· εἰσὶ γὰρ καὶ δειλίας γραφαί. καίτοι θαυμάσειεν ἄν τις ὑμῶν, εἰ εἰσὶ φύσεως γραφαί. εἰσί. τίνος ἕνεκα; ἵν' ἕκαστος ἡμῶν, τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος μᾶλλον ἢ τοὺς πολεμίους, ἀμείνων ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος ὑπάρχῃ. Ὁ μὲν τοίνυν νομοθέτης τὸν ἀστράτευτον καὶ τὸν δειλὸν καὶ τὸν λιπόντα τὴν τάξιν ἔξω τῶν περιῤῥαντηρίων[560] τῆς ἀγορᾶς ἐξείργει, καὶ οὐκ ἐᾷ στεφανοῦσθαι οὐδ' εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ[561]· σὺ[562] δὲ τὸν ἀστεφάνωτον ἐκ τῶν νόμων κελεύεις ἡμᾶς στεφανοῦν, καὶ τῷ σαυτοῦ ψηφίσματι τὸν οὐ προσήκοντα εἰσκαλεῖς τοῖς τραγῳδοῖς[563] εἰς τὴν ὀρχήστραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου τὸν τὰ ἱερὰ διὰ δειλίαν προδεδωκότα;

Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε, ὅταν φῇ δημοτικὸς εἶναι· θεωρεῖτ' αὐτοῦ μὴ τὸν λόγον, ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε μή τίς φησιν εἶναι, ἀλλὰ τίς ἐστιν.

Ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως ἔτι μέμνημαι, προλέγω ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὴ καταλύσετε τὰς ἀφθόνους ταύτας δωρεὰς καὶ τοὺς εἰκῇ διδομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται, οὔτε τὰ τῆς πόλεως πράγματα ἐπανορθωθήσεται· τοὺς μὲν γὰρ πονηροὺς οὐ μή ποτε βελτίους ποιήσετε, τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε. Ὅτι δ' ἀληθῆ λέγω, μεγάλα τούτων οἶμαι σημεῖα δείξειν ὑμῖν. εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε, πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε

---

554) Κατέκλυσε, κατέπνιξε, (μεταφορ.). 555) Δὲν ἠμπορεῖ νὰ ἀρνηθῇ τὴν περὶ τὸ λέγειν δεινότητα τοῦ ἀντιδίκου του. Λέγουν μάλιστα ὅτι καὶ εἰς τὴν Ῥόδον ἔπειτα ἀναγινώσκων τὸν λόγον του, καὶ τῶν ἀκροωμένων ἀποροῦντων πῶς ἠττήθη μετὰ τοιοῦτον λόγον: Ἀλλὰ τί ἠθέλετε εἰπεῖν, ἀπεκρίθη, ἐὰν ἠκούετε τὸν λόγον τοῦ θηρίου ἐκείνου; 557) Ὑπαινίττεται, φαίνεται, τὸ ἐκ παλλακίδων παιδοποιεῖσθαι τὸν Δημοσθ.

558) Ἀφορμὴν εἰς τὸ νὰ ἐνδιατρίψω πρὸς ἀπόδειξιν τοῦ πράγμ. 559) Τὸν νόμον τοῦτον ἀναφέρει καὶ ὁ Λυσίας ἐν τῷ Κατὰ Ἀλκιβ. λειποταξίου. 560) Τῶν δρυφάκτων, τὸ ἐντὸς τῶν ὁποίων περιερῥαίνετο μὲ τὸ αἷμα τῶν καθαρσίων. 561) Τὰ δημοτελῆ ἱερὰ (θύματα) διέφερον τῶν δημοτικῶν, λέγει ὁ Ἁρποκρ., διότι ἐκεῖνα μὲν ἡ πόλις ἐδίδοσι, τὰ δὲ δημοτικὰ οἱ δημόται. 562) Ἀποτείνεται πρὸς τὸν Κτησιφ. 563) Ἐν τοῖς τραγ. εἰσιοῦσι.

ἐπὶ τῶν προγόνων· ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν, ἢ νυνί;[864] τότε μὲν διαφέροντες, νυνὶ δὲ πολλῷ καταδεέστεροι· δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα καὶ σιτήσεις ἐν Πρυτανείῳ πότερον τότε ἦσαν πλείους ἢ νυνί; τότε μὲν ἦν σπάνια τὰ καλὰ[865] παρ' ἡμῖν, καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· νῦν δ' ἤδη καταπέπλυται[866] τὸ πρᾶγμα, καὶ τὸ στεφανοῦν ἐξ ἔθους, ἀλλ' οὐκ ἐκ προνοίας ποιεῖσθε. οὕκουν ἄτοπον οὑτωσὶ[867] διαλογιζομένους τὰς μὲν δωρεὰς νῦν πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε μᾶλλον ἢ νῦν ἰσχύειν; καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι, τότε δ' ἀμείνους; ἐγὼ δὲ τοῦθ' ὑμᾶς ἐπιχειρήσω διδάσκειν[868]. Οἴεσθ' ἄν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐθελῆσαί τινα ἐπασκεῖν[869] εἰς τὰ Ὀλύμπια ἢ εἰς ἄλλην τινὰ τῶν στεφανιτῶν ἀγώνων παγκράτιον ἢ καὶ ἄλλο τι τῶν βαρυτέρων ἄθλων, εἰ ὁ στέφανος ἐδίδετο μὴ τῷ κρατίστῳ, ἀλλὰ τῷ διαπραξαμένῳ[870]; οὐδεὶς ἂν ποτ' ἠθέλησεν ἐπασκεῖν· νῦν δ', οἶμαι, διὰ τὸ σπάνιον καὶ τὸ περιμάχητον καὶ τὸ καλὸν καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης ἐθέλουσί τινες τὰ σώματα παρακαταθέμενοι[871] καὶ τὰς μεγίστας ταλαιπωρίας ὑπομείναντες[872] διακινδυνεύειν. Ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολιτικῆς ἀρετῆς, κἀκεῖνο ἐκλογίσασθε, ὅτι, ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς· ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθερεῖτε[873]. Ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σαφέστερον ὑμᾶς βούλομαι διδάξαι. πότερον ὑμῖν ἀμείνων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς, ὁ στρατηγήσας, ὅτ' ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τὸν Πέρσην ἐνίκατε, ἢ Δημοσθένης, ὁ τὴν τάξιν λιπών; Μιλτιάδης δὲ, ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας[874], ἢ οὗτος; ἔτι δ' οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες; Ἀριστείδης δ' ὁ δίκαιος ἐπικαλούμενος, ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Δημοσθένει; ἀλλ' ἔγωγε, μὰ τοὺς Θεοὺς τοὺς Ὀλυμπίους[875], οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τούτου καὶ ἐκείνων τῶν ἀνδρῶν. ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ αὐτοῦ λόγῳ, εἴ που γέγραπταί τινα τούτων τῶν ἀνδρῶν στεφανῶσαι. ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὐκ, ἀλλὰ μεγαλόφρων, κἀκεῖνοί γε οἱ μὴ τετιμημένοι τῆς πόλεως ἄξιοι[876]. οὐ γὰρ ὤφοντο δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι, ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἣ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθάνατος οὖσα διαμένει. δωρεὰς δὲ τίνας ἐλάμβανον; Ὦγ[877] ἄξιόν ἐστι μνησθῆναι.

Ἦσάν τινες, ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ τοὺς τότε καιροὺς, οἳ πολὺν πόνον

---

864) (ἀπὸ κοινοῦ τὸ) Ἅπαντες ἂν ὁμολογήσαιτε, ὅτι. 865) Τὰ ἔνδοξα, αἱ τιμαί.
866) Ἐξευτελίσθη, ἀπὸ μεταφορᾶς τῶν πολλάκις πλυθέντων καὶ ἐπιμένως ἀποβαλόντων τὸ χρῶμα τῶν ὑφασμάτων. 867) Ἁπλῶς, ἐν γένει. 868) Νὰ σᾶς ἐξηγήσω τὴν αἰτίαν τούτου. 869) Ἐξασκεῖν (τὸ σῶμα ἀθλητικῶς, ἵνα ἀγωνίσηται) εἰς τὰ Ὀλ. παγκράτιον ἢ ἄλλο τι. 870) Τῷ κατορθώσαντι νὰ λάβῃ τὸν στέφανον διὰ χαθιουργίας. 871) Ἐμπιστεύσαντες ἢ ἀφέντες εἰς τὴν διάκρισιν τοῦ ἀκείπτου. 872) Διότι καὶ ἡ τροφὴ των καὶ ὁ ὕπνος των καὶ ὅλη των ἡ δίαιτα ἦτον κανονισμένη. 873) Τί μάθημα διὰ τοὺς ἐν τοῖς πράγμασι τῆς Ἑλλάδος! 874) Ἐννοεῖται καὶ ἐδῶ κ εἰς τὰ κατωτέρω, ἀπὸ κοινοῦ, τὸ Ἀμείνων: ὑμῖν ἀνὴρ εἶναι δοκεῖ. 875) Τοὺς καὶ μεγάλους, τοὺς δώδεκα. 876) Ἐκεῖνοι οἱ μὴ τετιμημένοι (στεφανωθέντες) ἦσαν ἄξιοι τῆς πόλεως. 877) Δωρεῶν. Ἀλλὰ καλῶς ποιήσας ὁ Δούκας, ὠδέλισε τὸ Ὦν.

ὑπομείναντες καὶ μεγάλους κινδύνους ἐπὶ τῷ Στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδους[578]· οὗτοι δεῦρο ἀφικόμενοι τὸν δῆμον ἤτησαν δωρεάν, καὶ ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους Ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν[579], ἐφ' ᾧ τε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν, ἵνα μὴ τῶν στρατηγῶν, ἀλλὰ τοῦ δήμου δοκῇ εἶναι τὸ ἐπίγραμμα. ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων εἴσεσθε. ἐπιγέγραπται γὰρ ἐπὶ μὲν τῷ πρώτῳ τῶν Ἑρμῶν·

Ἦν[580] ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
παισὶν ἐπ' Ἠιόνι, Στρυμόνος ἀμφὶ ῥοάς,
λιμόν τ' αἴθωνα κρατερόν τ' ἐπάγοντες Ἄρηα,
πρῶτοι θυσμενέων εὗρον ἀμηχανίην.

ἐπὶ δὲ τῷ δευτέρῳ·

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν,
ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.

ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῇ·

Ἐκ ποτε τῆσδε πόλης ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
ἡγεῖτο ζάθεον Τρωϊκὸν ἀμπεδίον,
ὃν ποθ' Ὅμηρος ἔφη[581] Δαναῶν πύκα χαλκοχιτώνων[582]
κοσμητῆρα μάχης ἔξοχον ἄνδρα μολεῖν.
Οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
κοσμητὰς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

ἔστι που τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ τοῦ δήμου.

Προσέλθετε δὴ τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην[583]· ἁπάντων γὰρ ὑμῖν τῶν καλῶν ἔργων τὰ ὑπομνήματα ἐν τῇ ἀγορᾷ ἀνάκειται. τί οὖν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὃ ἐγὼ λέγω; ἐνταῦθα ἡ ἐν Μαραθῶνι μάχη γέγραπται. τίς οὖν ἦν ὁ στρατηγός; οὐτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες ἀποκρίναισθε ἄν, ὅτι Μιλτιάδης· ἐκεῖ δὲ οὐκ ἐπιγέγραπται· πῶς; οὐκ ἤτησε τὴν δωρεὰν ταύτην; ἤτησεν, ἀλλ' ὁ δῆμος οὐκ ἔδωκεν, ἀλλ' ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ πρώτῳ γραφῆναι, παρακαλοῦντι τοὺς στρατιώτας. Ἐν τοίνυν τῷ Μητρῴῳ[584] παρὰ τὸ βουλευτήριον, ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγοῦσιν ἔστιν ἰδεῖν. ἦν μὲν γὰρ ὁ τὸ ψή-

---

578) Ἐννοεῖ τοὺς μετὰ Κίμωνος στρατεύσαντας, τὸ γ'. καὶ δ'. ἔτος τῆς οζ'. Ὀλυμπ., ἐπὶ Θράκην καὶ τὰ περὶ τὸν Στρυμόνα ποταμὸν χωρία, καὶ κυριεύσαντας τὴν Ἠιόνα.

579) Ἄλλη παρὰ τὴν Ποικίλην καὶ τὴν τοῦ Βασιλέως, κληθεῖσα δὲ οὕτω, διὰ τὸ πολλοὺς ἀνακεῖσθαι ἐν αὐτῇ Ἑρμᾶς, καὶ ὑπὸ ἰδιωτῶν καὶ ὑπὸ ἀρχόντων, κατὰ τὸν Ἁρποκρ.

580) Ἀντὶ Ἦσαν. 581) » Τῷ δ' οὔπω τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνὴρ » Κοσμῆσαι ἵππους τε καὶ ἄνερας ἀσπιδιώτας «, Ὁμ. Ἰλ. Β', 552. 582) Εἰς τὸν Πλούταρχ. φέρεται· Πύκα θωρηκτάων. 583) » Ποικίλην δὲ ὀνομάζουσιν αὐτὴν ἀπὸ τῶν γραφῶν «, Παυσ. Α', ιέ, 1.

584) » Ὠκοδόμηται δὲ καὶ Μητρὸς θεῶν ἱερὸν, ἣν Φειδίας εἰργάσατο «, Παυσ. Α', γ'. 4. Τὴν αἰτίαν τῆς οἰκοδομῆς τοῦ ἱεροῦ τούτου ἀποδίδουσιν εἰς τὸν φόνον Μητραγύρτου τινός, ὃν, ὡς τελοῦντα εἰς τὰ τῆς Κυβέλης ὄργια τὰς γυναῖκας, ἀπέκτειναν οἱ Ἀθην. Λοιμοῦ δὲ, κατὰ μῆνιν τῆς θεοῦ, ἐνσκήψαντος τῇ πόλει, χρησμὸν ἔλαβον ἐξιλάσασθαι θυσίαις τὸ ἔγκλημα. Διὸ καὶ τὸν ναὸν τοῦτον ᾠκοδόμησαν, ὅπου ἐφονεύθη ὁ μητραγύρτης. Ἐχρῶντο δὲ αὐτῷ, διὰ τὸ ἀσφαλὲς πιθανῶς τῆς οἰκοδομῆς καὶ ἀμφίδρομον, καὶ ὡς ἀρχειοφυλακείῳ, καὶ τὴν φυλακὴν αὐτοῦ εἶχεν ὁ γραμματεὺς τοῦ δήμου.

φισμα γράψας καὶ νικήσας Ἀρχῖνος[585] ὁ ἐκ Κοίλης[586], εἰς τῶν καταγαγόντων τὸν δῆμον, ἔγραψε δὲ πρῶτον μὲν αὐτοῖς εἰς θυσίαν καὶ ἀναθήματα δοῦναι χιλίας δραχμὰς, καὶ τοῦτ' ἔστιν ἔλαττον ἢ δέκα δραχμαὶ κατ' ἄνδρα ἕκαστον· ἔπειτα κελεύει στεφανοῦσθαι θαλλοῦ στεφάνῳ[587] αὐτῶν ἕκαστον, ἀλλ' οὐ χρυσῷ· τότε μὲν γὰρ ἦν ὁ τοῦ θαλλοῦ στέφανος τίμιος· νυνὶ δὲ καὶ ὁ χρυσοῦς καταπεφρόνηται· καὶ οὐδὲ τοῦτο εἰκῇ πράξαι κελεύει, ἀλλ' ἀκριβῶς τὴν βουλὴν σκεψαμένην, ὅσοι αὐτῶν ἐπὶ Φυλῆς ἐπολιορκήθησαν, ὅτε Λακεδαιμόνιοι καὶ οἱ τριάκοντα προσέβαλον τοῖς καταλαβοῦσι Φυλὴν, οὐχ ὅσοι τὴν τάξιν ἔλιπον ἐν Χαιρωνείᾳ[588] τῶν πολεμίων ἐπιόντων. Ὅτι δ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ ΠΕΡΙ ΔΩΡΕΑΣ ΤΟΙΣ ΑΠΟ ΦΥΛΗΣ.

Παρανάγνωθι καὶ ὁ γέγραφε Κτησιφῶν Δημοσθένει, τῷ τῶν μεγίστων κακῶν αἰτίῳ.

ΨΗΦΙΣΜΑ.

Τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται ἡ τῶν καταγαγόντων τὸν δῆμον δωρεά. εἰ τοῦτ' ἔχει καλῶς, ἐκεῖνο αἰσχρῶς· εἰ [ὃ] ἐκεῖνοι κατ' ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται.

Καίτοι πυνθάνομαι[589] γ' αὐτὸν μέλλειν λέγειν, ὡς οὐ δίκαια ποιῶ παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα· οὐδὲ γὰρ Φιλάμμωνα φήσει[590] τὸν πύκτην Ὀλυμπίασι στεφανωθῆναι νικήσαντα Γλαῦκον τὸν παλαιὸν ἐκεῖνον πύκτην, ἀλλὰ τοὺς καθ' ἑαυτὸν ἀγωνιστὰς, ὥσπερ ὑμᾶς ἀγνοοῦντας, ὅτι τοῖς μὲν πύκταις ἐστὶν ὁ ἀγὼν πρὸς ἀλλήλους, τοῖς δ' ἀξιοῦσι στεφανοῦσθαι, πρὸς αὐτὴν τὴν ἀρετήν, ἧς καὶ ἕνεκα στεφανοῦνται. δεῖ γὰρ τὸν κήρυκα ἀψευδεῖν, ὅταν τὴν ἀνάῤῥησιν ἐν τῷ θεάτρῳ ποιῆται πρὸς τοὺς Ἕλληνας. μὴ οὖν ἡμῖν ὡς Παταικίωνος[591] ἄμεινον πεπολίτευσαι διέξιθι, ἀλλ' ἐφικόμενος τῆς ἀνδραγαθίας, οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει.

Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα, ὃ ἐπιγράφεται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσιν.

ΕΠΙΓΡΑΜΜΑ.

Τοὺς δ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
δῆμος Ἀθηναίων, οἳ ποτε τοὺς ἀδίκοις
θεσμοῖς ἄρξαντας πόλιος πρῶτοι καταπαύειν
ἦρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

Ὅτι τοὺς παρὰ τοὺς νόμους ἄρξαντας κατέλυσαν, διὰ τοῦτ' αὐτοὺς φησιν ὁ

---

585) Τοῦ Ἀρχίνου τούτου μέμνηται καὶ ὁ Δημοσθ. (ἐν τῷ κατὰ Τιμοκρ.) ὡς « καταλαβόν» τος Φυλὴν, καὶ μετά γε τοὺς θεοὺς αἰτιωτάτου ὄντος τῆς καθόδου τῷ δήμῳ, καὶ ἄλλα » πολλὰ καὶ καλὰ πεπολιτευμένου, καὶ ἐστρατηγηκότος πολλάκις ». 586) Κοίλη, δῆμος τῆς Ἀττικῆς, φυλῆς τῆς Ἱπποθοωντίδος. Ἦτον δὲ πλησίον τῆς πόλεως, καὶ παρ' αὐτὸν τὸ μνῆμα τοῦ Ἱστορικοῦ Θουκυδίδου. 587) Θαλλοῦ στέφανος, ὁ ἀπὸ τῆς ἱερᾶς ἐλαίας.
588) Καθὼς ὁ Δημοσθ. δηλαδή. 589) Ἴδε σημ. 29. 590) Ἴδε Δημοσθ. περὶ Στεφ. Σ. ρμέ. 591) Διαβόητος συκοφάντης, διαβαλλόμενος καὶ ὡς κλέπτης καὶ τοιχωρύχος, ὥστε καὶ κωμῳδεῖσθαι ἐπὶ τούτοις, « κατὰ τὸν Σουΐδ.

ποιητὴς τιμηθῆναι. ἔναυλον γὰρ ἦν ἔτι τότε πᾶσιν, ὅτι γηγενῆ ὁ δῆμος κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. καὶ γάρ τοι, ὡς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ἐπυνθανόμην, ὃς ἔτη βιοὺς ἐννενηκοντα καὶ πέντε ἐτελεύτησεν, ἁπάντων μετασχὼν τῶν πόνων τῇ πόλει, ὃς[592] πολλάκις πρός ἐμὲ διεξῆει ἐπὶ σχολῆς· ἔφη γάρ, ὅτε ἀρτίως κατεληλύθει ὁ δῆμος, εἴ τις εἰσίοι γραφὴν παρανόμων εἰς δικαστήριον, εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον. τί γὰρ ἐστιν ἀνοσιώτερον ἀνδρὸς παράνομα λέγοντος καὶ πράττοντος; καὶ τὴν ἀκρόασιν, ὡς ἐκεῖνος ἀπηγγελλεν, οὐ τὸν αὐτὸν τρόπον ἐποιοῦντο, ὥσπερ νῦν γίγνεται, ἀλλ' ἦσαν πολὺ χαλεπώτεροι οἱ δικασταὶ τοῖς τὰ παράνομα γράφουσιν αὐτοῦ τοῦ κατηγόρου, καὶ πολλάκις ἀνεπόδιζον[593] τὸν γραμματέα καὶ ἐκέλευον πάλιν ἀναγιγνώσκειν τοὺς νόμους καὶ τὸ ψήφισμα, καὶ ἐζήτουν εἰ παράνομα γράφοντες οὐκ εἰ πάντας παραπεπηδήκασιν τοὺς νόμους, ἀλλ' εἰ μίαν μόνον συλλαβὴν παραλλάξαιεν. τὸ δὲ νυνὶ γιγνόμενον πρᾶγμα ὑπερκαταγέλαστόν ἐστιν· ὁ μὲν γὰρ γραμματεὺς ἀναγιγνώσκει τὸ παράνομον, οἱ δὲ δικασταί, ὥσπερ ἐπῳδήν[594] τινα ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώμενοι, πρὸς ἑτέρῳ τινὶ τὴν γνώμην ἔχουσιν. ἤδη δ' ἐκ τῶν τεχνῶν τῶν Δημοσθένους αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρίοις παραδέχεσθε· μετενήνεκται γὰρ ἡμῖν τὰ τῆς πόλεως δίκαια. ὁ μὲν γὰρ κατήγορος ἀπολογεῖται, ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δικασταὶ ἐνίοτε ὧν μέν εἰσι κριταὶ ἐπιλανθάνονται, ὧν δ' οὐκ εἰσὶ δικασταί, περὶ τούτων ἀναγκάζονται τὴν ψῆφον φέρειν· λέγει δὲ ὁ φεύγων, ἐὰν ἄρα ποτὲ ἅψηται τοῦ πράγματος, οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ καὶ πρότερον ἕτερος τοιαῦτα γράψας ἀπέφυγεν. ἐφ' ᾧ καὶ νυνὶ μέγα φρονεῖν ἀκούω Κτησιφῶντα, ἐτόλμα δ'[595] ἐν ὑμῖν ποτε σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεύς, λέγων, ὅτι γραφὰς παρανόμων πέφευγεν ἑβδομήκοντα καὶ πέντε. ἀλλ' οὐχὶ ὁ Κέφαλος, ὁ παλαιὸς ἐκεῖνος, ὁ δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων, ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα, οὐδεμίαν πώποτε γραφὴν πέφευγε παρανόμων[597], καλῶς, οἶμαι, σεμνυνόμενος. ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι, ἀλλὰ καὶ οἱ φίλοι τοὺς φίλους, εἴ τι ἐξαμάρτοιεν εἰς τὴν πόλιν. ἐκεῖθεν δὲ τοῦτο γνώσεσθε. Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων Θρασύβουλον τὸν Στειριέα, γράψαντά τι παρὰ τοὺς νόμους [στεφανοῦν[598]] ἕνα τῶν συγκατελθόντων αὐτῷ ἀπὸ Φυλῆς, καὶ εἶλε[599] νεωστὶ

592) Ὁ Μαρκλ. γράφειν παρήνει: Οὓς (πόνους). 593) Τὸ γράφειν τὰ παράνομα ὅμοιον τῷ πράττειν. 594) « Πάλιν ἀναγιγνώσκειν ἐποίουν », τὸ ἐξηγεῖ ὁ Πολυδ. 595) = Ἐπῳδὸς (ἡ), τὸ ἐπαναλαμβανόμενον μέρος τῶν στίχων καθ' ἑκάστην στροφὴν τῶν λυρικῶν χορῶν, εἰς τὸ ὑποῖον, ἐπειδὴ χ' ἧτον ἑκάστοτε τὸ αὐτό, δὲν ἐπρόσεχον πλέον οἱ ἀκροαταί, ἀφ' οὗ τὸ εἶχον ἀκούσῃ ἤδη. 596) Νυνὶ μὲν μέγα φρονεῖ ὁ Κτησιφ., ποτὲ δὲ ἐτόλμα σεμνύνεσθαι Ἀριστοφῶν. 597) Ἴδε σημ. 648. τοῦ Περὶ στεφ. 598) Τὸ Στεφανοῦν, ὡς ἐλλεῖπον ὧν τισι τῶν ἀντιγράφων, περιέκλεισεν ὁ Βέκκερ. Νομίζω ὅτι ὁλόκληρος ἡ φράσις: Ἕνα τῶν συγκατ. αὐτῷ ἀπὸ Φ., παρεισέφρησεν ἐκ τοῦ περιθωρίου, ὅπε ἐσημειώθη ὡς ἐξήγησις τοῦ Τι· ἀντὶ δὲ τοῦ Στεφανοῦν ἕνα πιθανώτερον φαίνεται ὅτι ἔγραψεν ὁ Σχολιαστὴς οὕτως: Πολιτείαν ἑνί. Καθὼς διηγεῖται καὶ ὁ Ψευδοπλούταρχος ἐν βίῳ Λυσίου· « Ἐφ' οἷς γράψαντος αὐτῷ (τῷ Λυσίᾳ) πολιτείαν Θρασυβούλου μετὰ τὴν κάθοδον.., ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεάν· ἀπενεγκαμένου δὲ τοῦ Ἀρχίνου γραφὴν παρανομῶν, διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι, ἐάλω τὸ ψήφισμα ». 599) (ἐνν.) Τὴν γραφήν. ἐκέρδισε.

γεγενημένων αὐτῷ[400] τῶν εὐεργεσιῶν, ἃς οὐχ ὑπελογίσαντο οἱ δικασταί· ἠγοῦντο γὰρ, ὥσπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς Θρασύβουλος κατήγαγεν, οὕτω νῦν μένοντας ἐξελαύνειν γράφοντά τι παρὰ τοὺς νόμους. ἀλλ' οὐ νῦν, ἀλλ' ἅπαν τοὐναντίον γίνεται· οἱ γὰρ ἀγαθοὶ[401] στρατηγοὶ ὑμῶν, καὶ τῶν τὰς συτίσεις τινὲς εὑρημένων ἐν τῷ πρυτανείῳ ἐξαιτοῦνται[402] τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς ἀχαρίστους εἶναι εἰκαίως ἂν ὑπολαμβάνοιτε. εἰ γάρ τις ἐν δημοκρατίᾳ τετιμημένος, ἐν τοιαύτῃ πολιτείᾳ, ἣν οἱ θεοὶ καὶ οἱ νόμοι σώζουσι, τολμᾷ βουλεύειν τοῖς παράνομα γράφουσι, καταλύει τὴν πολιτείαν, ὑφ' ἧς τετίμηται. Τίς οὖν ἀποδείκνυται λόγος ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι; ἐγὼ λέξω. εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσὶν γραφαὶ παρανόμων εἰς τὸ δικαστήριον. ἐγχείται[403] γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ καὶ τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, τὸ δὲ δεύτερον ὕδωρ τῷ τὴν γραφὴν φεύγοντι καὶ τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν[404]. ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον[405], τρίτον τὸ τρίτον ὕδωρ ἐγχείται τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας[406]. ὅστις μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ[407], τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖται· ὅστις δ' ἐν τῷ πρώτῳ λόγῳ τὴν ψῆφον αἰτεῖ[408], οἶκον αἰτεῖ[409], νόμον αἰτεῖ, δημοκρατίαν αἰτεῖ, ὧν οὔτε αἰτῆσαι οὐδὲν ὅσιον οὐδενὶ οὔτ' αἰτηθέντα ἑτέρῳ δοῦναι. κελεύσατε οὖν αὐτούς[410], ἐάσαντας ὑμᾶς τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν, ἀπαντᾶν[411] εἰς τὴν τίμησιν. Ὅλως δ' ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, ὀλίγου δέω εἰπεῖν, ὡς καὶ νόμον δεῖ τεθῆναι ἐπὶ ταῖς γραφαῖς μόνον τῶν παρανόμων, μὴ ἐξεῖναι μητε τῷ κατηγόρῳ συνηγόρους παρασχέσθαι, μήτε τῷ τὴν γραφὴν τῶν παρανόμων φεύγοντι· οὐ γὰρ ἀόριστόν ἐστι τὸ δίκαιον, ἀλλ' ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις. ὥσπερ γὰρ ἐν τῇ τεκτονικῇ, ὅταν εἰδέναι βουλώμεθα τὸ ὀρθὸν καὶ τὸ μή, τὸν κανόνα προσφέρομεν, ᾧ διαγιγνώσκεται[412], οὕτω καὶ ἐν ταῖς γραφαῖς ταῖς τῶν παρανόμων παράκειται κανὼν τοῦ δικαίου, τοῦτ' τὸ σανίδιον[413] καὶ τὸ ψήφισμα καὶ οἱ παραγεγραμμένοι νόμοι. ταῦτα συμφωνοῦντα ἀλλήλοις ἐπισείξας κατάβαινε· καὶ τί δεῖ σε Δημοσθένην παρακαλεῖν; Ὅταν δὲ, ὑπερτιθήσας τὴν δικαίαν ἀπολογίαν, παρακαλῇς κακοῦργον ἄνθρωπον καὶ τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν.

Τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ ἐρῶ. ἐπειδὰν προσ-

---

400) Τῷ Θρασυβούλῳ. Ἡ δὲ μτχ. ἐναντιωματική. Καὶ τοι. 401) Εἰρωνικῶς.
402) Ἴδε τὴν σημ. 20. 403) Ὁ Δούκας διορθοῦν παρήνει: Ἀπολέλειπται. Δὲν νομίζω μεταβλητέαν τὴν λέξιν. 404) Ἐν τῇ κλεψύδρᾳ. 405) Τοῖς συνηγόροις. 406) Ἐν τῇ πρώτῃ ψηφοφορίᾳ μὴ ἀπολυθῇ (ἀθωωθῇ) ὁ παράνομον κατηγορούμενος. 407) Τότε γίνεται δευτέρα διαψήφισις περὶ τοῦ εἴδους τῆς ἐπιβλητέας τιμωρίας, ὑπαγορευομένης ὑπὸ τοῦ μεγέθους τῆς ὑμετέρας ὀργῆς. 408) Ἐξαιτεῖται ὑπὲρ τοῦ κρινομένου. 409) Ἐξαιτεῖται τὴν παράβασιν τοῦ ὅρκου τῶν δικαστῶν, τὴν ἀθέτησιν τῶν νόμων, τὴν καταλυσιν τῆς δημοκρ. Τὸ δὲ σχῆμα κατὰ τοὺς ῥητορ., Ἐπιμονή. Ἔστι δὲ αὕτη « ὅταν τις πλείω ῥήματα ὀρθὰ ἀλλήλοις ἐπιβάλλῃ ». 410) Τοὺς ἐξαιτουμένους. 411) Παρουσιάζεσθαι ἐξαιτησαμένους.
412) Τὸ ὀρθὸν καὶ τὸ μή. 413) Ἐφ' οὗ ἐξετίθετο γεγραμμένον ἔνθεν μὲν τὸ κατηγορούμενον ψήφισμα, πλησίον δὲ αὐτοῦ οἱ νόμοι εἰς τοὺς ὁποίους τοῦτο ἀντέβαινεν (οἱ παραγεγραμμένοι). Ἴδε καὶ τὴν 261 σημ. τοῦ Περὶ στεφ.

ελθὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο δὴ τὸ συντεταγμένον αὐτῷ προοίμιον, ἔπειτ' ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπομνήσατ' αὐτὸν ἄνευ θορύβου τὸ σανίδιον λαβεῖν καὶ τοὺς νόμους τῷ ψηφίσματι παραναγνῶναι· ἐὰν δὲ μὴ προσποιῆται ὑμῶν ἀκούειν, μηδὲ ὑμεῖς ἐκείνου ἐθέλετε ἀκούειν· οὐ γὰρ τῶν φευγόντων τὰς οὐ δικαίας ἀπολογίας εἰσεληλύθατε ἀκροασόμενοι, ἀλλὰ τῶν ἐθελόντων δικαίως ἀπολογεῖσθαι. ἐὰν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν Δημοσθένην παρακαλῇ, μάλιστα μὲν μὴ προσδέχεσθε κακοῦργον ἄνθρωπον, οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, μηδ' ἐν ἀρετῇ τοῦθ' ὑμῶν μηδεὶς καταλογιζέσθω[413], ὃς ἂν ἐπανερομένου Κτησιφῶντος, εἰ καλέσει Δημοσθένην, πρῶτος ἀναβοήσῃ α κάλει, κάλει[414] ν' ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. ἂν δ' ἄρα ὑμῖν δόξῃ ἀκούειν[415], ἀξιώσατε τὸν Δημοσθένην τὸν αὐτὸν τρόπον ἀπολογεῖσθαι, ὅνπερ κἀγὼ κατηγόρηκα. ἐγὼ δὲ πῶς κατηγόρηκα; ἵνα καὶ ὑπομνήσω ὑμᾶς[416]· οὔτε τὸν ἴδιον βίον τὸν Δημοσθένους πρότερον διεξῆλθον, οὔτε τῶν δημοσίων ἀδικημάτων οὐδενὸς πρότερον ἐμνήσθην, ἄφθονα δήπου καὶ πολλὰ ἔχων λέγειν, ἢ[418] πάντων γ' ἂν εἶην ἀπορώτατος[419]· ἀλλὰ πρῶτον μὲν τοὺς νόμους ἐπέδειξα ἀπαγορεύοντας μὴ στεφανοῦν τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορα ἐξήλεγξα γράψαντα Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν, οὐδὲν προβαλόμενον[420], οὐδὲ προσεγγράψαντα α ἐπειδὰν δῷ τὰς εὐθύνας π, ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ τῶν νόμων καταπεφρονηκότα· καὶ τὰς ἐσομένας πρὸς ταῦτα προφάσεις εἶπον, ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν. δεύτερον δ' ὑμῖν διεξῆλθον τοὺς περὶ τῶν κηρυγμάτων νόμους, ἐν οἷς διαῤῥήδην ἀπείρηται τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας· ὁ δὲ ῥήτωρ ὁ φεύγων τὴν γραφὴν οὐ τοὺς νόμους μόνον παραβέβηκεν, ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναῤῥήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ἐν τῷ θεάτρῳ τὴν ἀνάῤῥησιν γίνεσθαι, οὐδ' ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ μελλόντων τραγῳδῶν εἰσιέναι. ταῦτα δ' εἰπὼν, μικρὰ μὲν περὶ τῶν ἰδίων εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων λέγω. οὕτω δὴ καὶ τὸν Δημοσθένην ἀξιώσατε ἀπολογεῖσθαι πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶτον καὶ τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δὲ, τὸ μέγιστον λέγω, ὡς οὐδὲ ἄξιός ἐστι τῆς δωρεᾶς. ἐὰν δ' ὑμῶν δέηται συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς ἀπολογίας λύσει τὸ παράνομον[421], μὴ συγχωρεῖτε,

---

[413]) Μηδεὶς καταλογιζέσθω ἐν ἀρετῇ (ὡς προτέρημα) τοῦτο, τὸ ἀναβοῆσαι πρῶτος αὐτὸς (ἐπειδὴν ὁ Κτησ. ἐπανέρηται εἰ καλέσει Δημοσθ.) Κάλει, κάλει. Διότι σὺ ὁ τοιοῦτος, ἐπὶ σαυτὸν (κατὰ σεαυτοῦ) καλεῖς κτλ. [414]) Ἐκ τῆς διπλῆς ταύτης ἀναφωνήσεως φαίνεται μὲ πόσην προθυμίαν ἤθελον ν' ἀκούσουν ὁμιλοῦντα τὸν Δημοσθ. οἱ Ἀθην. [415]) Τοῦ Δημοσθένους. [416]) Παρατηρητέον μὲ πόσην ἐπιμονὴν ἐνδιατρίβει ὁ ῥήτωρ εἰς τὸ νὰ προσδιορίσῃ τὸν τρόπον καὶ τὴν τάξιν τῆς ἀπολογίας· διότι, ἔχων ὑπὲρ ἑαυτοῦ τοὺς νόμους, ἐφοβεῖτο μήπως ὁ Δημοσθ. ἀφεὶς αὐτοὺς κατὰ μέρος, ἀπολογηθῇ ἐν γένει περὶ τῆς πολιτείας του, καὶ ἑπομένως ἐνθουσιάσας τοὺς Ἀθηναίους, κερδίσῃ τὴν κρίσιν, καθὼς καὶ ἔγινε. Διότι ὁ Δημοσθ., ἀναστρέψας τὴν τάξιν ταύτην, καὶ ἀπαντήσας πρῶτον εἰς τὸ τελευταῖον, τότε λέγει· ε ἡγοῦμαι τοίνυν λοιπὸν εἶναι μοι περὶ τοῦ κηρύγματος εἰπεῖν καὶ τῶν εὐθυνῶν κ. [417]) (Ἔνν.) Εἶπερ μὴ εἶχον ἄφθονα καὶ πολλὰ λέγειν. [418]) Ἀνικανώτατος νὰ πορισθῶ ἐπιχειρήματα, νὰ εὕρω πορίσματα λόγων. [419]) Ἴδε § γ'. [420]) Ἀπολύσηται (Ἀν-

μηδ' ἀγνοεῖθ', ὅτι πάλαισμα[422] τοῦτ' ἐστὶ δικαστηρίου· οὐ γὰρ εἰσαῦθίς ποτε βούλεται πρὸς τὸ παράνομον ἀπολογεῖσθαι, ἀλλ' οὐδὲν ἔγων δίκαιον εἰπεῖν, ἑτέρων παρεμβολῇ[423] πραγμάτων εἰς λήθην ὑμᾶς βούλεται τῆς κατηγορίας ἐμβαλεῖν. Ὥσπερ οὖν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὁρᾶτε τοὺς πύκτας περὶ τῆς στάσεως[424] ἀλλήλοις διαγωνιζομένους, οὕτω καὶ ὑμεῖς ὅλην τὴν ἡμέραν ὑπὲρ τῆς πόλεως περὶ τῆς τάξεως αὐτῷ τοῦ λόγου μάχεσθε, καὶ μὴ ἔστε αὐτὸν εἰς τοὺς ἔξω τοῦ παρανόμου λόγους περιίστασθαι[425], ἀλλ' ἐγκαθήμενοι[426] καὶ ἐνεδρεύοντες ἐν τῇ ἀκροάσει, εἰσελαύνετε αὐτὸν εἰς τοὺς τοῦ πράγματος λόγους, καὶ τὰς ἐκτροπὰς[427] αὐτοῦ τῶν λόγων ἐπιτηρεῖτε. Ἀλλ' ἃ δὴ συμβήσεται ὑμῖν, ἐὰν μὴ τοῦτον τὸν τρόπον τὴν ἀκρόασιν ποιῆσθε, ταῦθ' ὑμῖν ἤδη δίκαιός εἰμι προειπεῖν. ἐπεισάξει[428] γὰρ τὸν γόητα καὶ βαλαντιοτόμον καὶ διατετμημένα[429] τὴν πολιτείαν. οὗτος κλάει μὲν ῥᾷον ἢ ἄλλοι γελῶσιν[430], ἐπιορκεῖ δὲ πάντων προχειρότατα[431]. οὐκ ἂν θαυμάσαιμι δὲ, εἰ μεταβαλλόμενος[432] τοῖς ἔξω περιεστηκόσι λοιδορήσεται, φάσκων τοὺς μὲν ὀλιγαρχικοὺς ὑπ' αὐτῆς τῆς ἀληθείας διηρθμημένους ἥκειν πρὸς τὸ τοῦ κατηγόρου βῆμα, τοὺς δὲ δημοτικοὺς πρὸς τὰ τοῦ φεύγοντος. Ὅταν δὴ τὰ τοιαῦτα λέγῃ, πρὸς μὲν τοὺς στασιαστικοὺς[433] λόγους ἐκεῖνο αὐτῷ ὑποβάλλετε, ὅτι, ὦ Δημόσθενες, εἰ σοὶ ἦσαν ὅμοιοι οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες, οὐκ ἂν ποτε ἡ δημοκρατία κατέστη. νῦν δὲ ἐκεῖνοι μὲν, μεγάλων κακῶν συμβάντων, ἔσωσαν τὴν πόλιν, τὸ κάλλιστον ἐκ παιδείας[434] ῥῆμα φθεγξάμενοι, Μὴ μνησικακεῖν[435] σ' σὺ δὲ ἑλκοποιεῖς[436], καὶ μᾶλλόν σοι μέλει τῶν αὐθημερὸν[437] λόγων ἢ τῆς σωτηρίας τῆς πόλεως· ὅταν δ' ἐπίορκος ὢν εἰς τὴν διὰ τῶν ὅρκων πίστιν καταφυγγάνῃ, ἐκεῖνο ἀπομνημονεύσατε αὐτῷ, ὅτι τῷ πολλάκις μὲν ἐπιορκοῦντι, φεῖ δὲ πρὸς τοὺς αὐτοὺς[438] μεθ' ὅρκων ἀξιοῦντι πιστεύεσθαι δυοῖν θάτερον ὑπάρξαι δεῖ, ὧν οὐδέτερόν ἐστι Δημοσθένει ὑπάρχον, ἢ

σηται) πρὸς τὴν περὶ τῆς παρανομίας τοῦ ψηφίσματος κατηγορίαν. 422) Στρατήγημα παλαιστοῦ. 423) (Ἐν) παρεμβολῇ, διὰ τοῦ παρεμβάλλειν. 424) Περὶ τοῦ πῶς πρέπει νὰ σταθῇ ἑκάτερος αὐτῶν ἐν καιρῷ τοῦ ἀγῶνος· Διότι ἐκ τούτου ἐξήρτητο κατὰ πολὺ μέρος ἡ φίκη. 425) Ἵστασθαι περὶ (Παρεκβαίνειν) τοῦ προκειμένου. 426) Καθήμενοι καὶ παρατηροῦντες μὲ προσοχὴν, παραμονεύοντες, καθὼς οἱ καθήμενοι εἰς ἐνέδραν. 427) (μτφορ.) Τὰ παραστράτια, τὰς διεκφυγὰς, ὁποῖαι αἱ τῶν κυνηγουμένων ζώων, μάλιστα ἀλωπέκων καὶ λαγωῶν. 428) Ἀπὸ τῆς μεταφορᾶς τῶν εἰσαγομένων, ἐν εἴδει ἐπεισοδίου, εἰς τὴν σκηνὴν προσώπων. 429) Κόψαντα ἐπιτηδείως καὶ κλέψαντα τὰ πράγματα τῆς πόλεως, καθὼς οἱ βαλαντιοτόμοι διατέμνοντες τοὺς κόλπους (ταῖς τσέπαις) τῶν ἐνδυμάτων. 430) Διότι πρὸ πάντων ἐμελέτησεν ὁ Δημοσθ. τὴν ῥητορικὴν ὑπόκρισιν, τῆς ὁποίας καὶ μαθήματα, λέγουν, ἔλαβε παρά τινος περιφήμου ὑποκριτοῦ θεάτρων, συγχρόνου του. Ὅθεν καὶ τὸ περὶ αὐτοῦ περιφερόμενον ἐκεῖνο, ὅτι, Ἐρωτηθεὶς, Τί πρῶτον ἐν ῥητορικῇ; Ὑπόκρισις ἔφη. — Τί δὲ δεύτερον; — Ὑπόκρισις. — Τί δὲ τρίτον; — Ὑπόκρισις. 431) Ἴσως αὐτὴ ἡ κατηγορία ἔδωκεν ἀφορμὴν εἰς τὸν Δημοσθ., ἵνα ἀποφύγῃ τοὺς ἐξ ἕδους ἐπ' ὀνόμασι θεῶν καὶ ἡρώων ὅρκους, νὰ ἐπινοήσῃ τὸν ἀμίμητον ἐκεῖνον καὶ ἐνθουσιαστικὸν ὅρκον: Μὰ τοὺς ἐν Μαραθῶνι! 432) Ἀλλάζων ἐξαφνα τόνον φωνῆς καὶ ὕφος (ἐν ᾧ ἔκλαιε δηλ. καὶ ὡρκίζετο), νὰ στραφῇ πρὸς τοὺς περιεστηκότας καὶ νὰ τοὺς λοιδορήσῃ. 433) Τοὺς περὶ ὀλιγαρχικῶν δηλ. καὶ δημοτικῶν. 434) Προσγινόμενον μάθημα τοῖς ἐλευθερίως πεπαιδευμένοις. 435) Τὸ ὁποῖον οἱ μεταγενέστεροι εἶπαν Ἀμνηστίαν. 436) Ἀναξέεις τὰ ἕλκη (τὰς πληγὰς), διεγείρεις πάθη παλαιά. 437) Ἐν ἄλλοις· Αὐθημέρων· προσκαίρων, ἐφημέρων. 438) Ἐνώπιον τῶν αὐτῶν (ἀκροατῶν ἢ δικαστῶν).

τοὺς θεοὺς καινοὺς, ἢ τοὺς ἀκροατὰς μὴ τοὺς αὐτούς. περὶ δὲ τῶν δακρύων καὶ τοῦ τόνου τῆς φωνῆς, ὅταν ὑμᾶς ἐπερωτᾷ α ποῖ καταφύγω, ὦ ἄνδρες Ἀθηναῖοι; περιγράψετε[439] με ἐκ τῆς πολιτείας· οὐκ ἔχειν ὅπη ἀναπτήσομαια, ἀνθυποβάλλετε αὐτῷ· α ὁ δὲ δῆμος ὁ Ἀθηναίων ποῖ καταφύγῃ, Δημόσθενες; πρὸς ποίαν συμμάχων παρασκευήν; πρὸς ποῖα χρήματα; τί προβαλλόμενος[440] ὑπὲρ τοῦ δήμου πεπολίτευσαι; ἃ μὲν γὰρ ὑπὲρ σεαυτοῦ βεβούλευσαι, ἅπαντες ὁρῶμεν· ἐκλιπὼν μὲν τὸ ἄστυ, οὐκ οἰκεῖς, ὡς δοκεῖς, ἐν Πειραιεῖ, ἀλλ' ἐξορμεῖς[441] ἐκ τῆς πόλεως, ἐφόδια δὲ πεπόρισαι τῇ σαυτοῦ ἀνανδρίᾳ τὸ βασιλικὸν[442] χρυσίον καὶ τὰ δημόσια δωροδοκήματα ». Ὅλως δὲ τί τὰ δάκρυα; τίς ἡ κραυγή; τίς ὁ τόνος τῆς φωνῆς; οὐχ ὁ μὲν τὴν γραφὴν φεύγων ἐστὶ Κτησιφῶν, ὁ δ' ἀγὼν οὐκ ἀτίμητος[443], σὺ δ' οὔτε περὶ τῆς οὐσίας, οὔτε περὶ τοῦ σώματος, οὔτε περὶ τῆς ἐπιτιμίας ἀγωνίζῃ; Ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ ἡ σπουδή; περὶ χρυσῶν στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ τοὺς νόμους· ὃν ἐχρῆν, εἰ καὶ μανεὶς ὁ δῆμος, ἢ τῶν καθεστηκότων ἐπιλελησμένος ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν αὐτὸν, παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν· α ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, τὸν δὲ καιρὸν ἀποδοκιμάζω, ἐν ᾧ τὸ κήρυγμα γίγνεται· οὐ γὰρ δεῖ ἐφ' οἷς[444] ἡ πόλις ἐπένθησε καὶ ἐκείρατο, ἐπὶ τούτοις ἐμὲ στεφανοῦσθαι ». Ἀλλ', οἶμαι, ταῦτα μὲν ἂν εἶποι ἀνὴρ ὄντως βεβιωκὼς μετ' ἀρετῆς· ἃ δὲ σὺ λέξεις, εἶποι ἂν κάθαρμα ζηλοτυποῦν[445] ἀρετήν. οὐ γὰρ δή, μὰ τὸν Ἡρακλέα[446], τοῦτό γε ὑμῶν οὐδεὶς ροθυθήσεται, μὴ ὁ Δημοσθένης, ἀνὴρ μεγαλόψυχος καὶ τὰ πολεμικὰ διαφέρων, ἀποτυχὼν τῶν ἀριστείων, οἴκαδε ἐπανελθὼν ἑαυτὸν διαχρήσηται· ὃς τοσοῦτον καταγελᾷ τῆς πρὸς ὑμᾶς[447] φιλοτιμίας, ὥστε τὴν μιαρὰν κεφαλὴν ταύτην καὶ ὑπεύθυνον, ἣν οὗτος[448] παρὰ πάντας τοὺς νόμους γέγραφε στεφανῶσαι, μυριάκις[449] κατατέτμηκε, καὶ τούτων μισθοὺς εἴληφε, τραύματος[450] ἐκ προνοίας γραφὰς γραφόμενος, καὶ κατακεκονδύλισται, ὥστε αὐτὸν οἶμαι τὰ τῶν κονδύλων ἴχνη τοῦ Μειδίου ἔχειν ἔτι φανερά· ὁ γὰρ ἄνθρωπος οὐ κεφαλὴν, ἀλλὰ πρόσοδον[451] κέκτηται.

Περὶ δὲ Κτησιφῶντος τοῦ γράψαντος τὴν γνώμην βραχέα βούλομαι εἰπεῖν, τὰ δὲ πολλὰ ὑπερβήσομαι, ἵνα καὶ πειραν ὑμῶν λάβω, εἰ δύνασθε

---

439) Ὁ Ῥεῖσκ. ἔγραψεν ἐξ ἀντιγράφου· Εἰ περιγράψετέ με. Ἕτερος δέ τις χωρὶς τοῦ Εἰ, κατ' ἐρωτηματικόν· Περιγράψετέ μες Σημαίνει δέ, εἴτε οὕτως εἴτε ἄλλως γραφῇ, τὸ Περιορίσαι, ἐξῶσαι. 440) Ὡς τείχη, προπύργια. 441) Μετῴκησας εἰς Πειραιᾶ, ὄχι νὰ κατοικήσῃς ἐκεῖ, ἀλλὰ νὰ ἦσε πάντοτε ἕτοιμος πρὸς ἀναχώρησιν (εἰς τὰ πανιά, καθὼς λέγουν κοινῶς· τοῦτο γὰρ σημαίνει τὸ Ἐξορμεῖν), ἐν καιρῷ κινδύνου. 442) Διότι τὸ τίμημα ἦτον προσγεγραμμένον εἰς τὴν κατηγορίαν « τάλαντα πεντήκοντα. Ὥστε τι πρὸς σὲ, μηδὲν κινδυνεύοντας 443) Πράγματι. 444) Ὄχι ζηλοῦν, ἀλλὰ ζηλοτυποῦν, φθονεῖν. 445) Ὁ ὅρκος κατάλληλος, διότι περὶ ἡρωϊκῆς πράξεως ὁ λόγος, ὁποὺ καὶ ὁ Αἴας ἀποτυχὼν τῶν Ἀχιλλέως ὅπλων ἔπραξε, καὶ αὐτὸς δὲ ὁ Ἡρακλῆς, ἀποδυσπετήσας πρὸς τὰς ἀπὸ τοῦ φαρμάκου ὀδύνας 446) Ἐνώπιον ἢ χάριν ὑμῶν. 447) Ὁ Κτησιφῶν.

448) Ὑπερβολὴ ῥητορική. Διότι, καὶ ἀληθὲς ἂν ὑποτεθῇ, ἅπαξ μόνον συνέβη τοῦτο, ὅταν εἰσήγγειλε τραύματος ἐκ προνοίας τὸν ἀνεψιόν του Δημομέλη, ἴδε ἀνωτέρω. 449) (Ἕνεκα) τραύματος (γενομένου) ἐκ προνοίας. 450) Τῶν περιέργων τις σχολιαστῶν ὑπετόπασε γραπτέον εἶναι Κεφάλαιον, τὸ δὲ Πρόσοδον ὡς ἑρμηνείαν τούτου ἔξωθεν παρεισδύσασαν. καὶ ἦν οὐκ ἄφυὴς ἡ παρωνομασία, καὶ τῆς τοῦ Αἰσχίνου δεινότητος οὐκ ἀνοίκειος. Ἀλλὰ εἰς τοιαῦτα τολμᾷ τοιαῦτες διορθώσεις, χωρὶς τῶν ἀρχαίων χειρογράφων τὸ κῦρος;

τοὺς σφόδρα πονηροὺς, κἂν μή τις προείπῃ, διαγινώσκειν· ἃ δ' ἐστὶ κοινὸν καὶ δίκαιον κατ' ἀμφοτέρων αὐτῶν ἀπαγγεῖλαι πρὸς ὑμᾶς, τοῦτ' ἐρῶ. περιέρχονται γὰρ τὴν ἀγορὰν ἀληθεῖς κατ' ἀλλήλων ἔχοντες δόξας, καὶ λόγους οὐ ψευδεῖς λέγοντες. ὁ μὲν γὰρ Κτησιφῶν οὐ τὸ καθ' ἑαυτὸν φησι φοβεῖσθαι[451]· ἐλπίζειν γὰρ δόξειν ἰδιώτης[452] εἶναι· ἀλλὰ τὴν τοῦ Δημοσθένους ἐν τῇ πολιτείᾳ δωροδοκίαν φησὶ φοβεῖσθαι καὶ τὴν ἐμπληξίαν καὶ δειλίαν· ὁ δὲ Δημοσθένης εἰς αὐτὸν μὲν ἀποβλέπων θαρρεῖν φησι, τὴν δὲ τοῦ Κτησιφῶντος πονηρίαν καὶ πορνοβοσκίαν ἰσχυρῶς δεδιέναι. τοὺς δὴ κατεγνωκότας ἀλλήλων ἀδικεῖν μηδαμῶς ὑμεῖς, οἱ κοινοὶ κριταὶ τῶν ἐγκλημάτων, ἀπολύσητε.

Περὶ δὲ τῶν εἰς ἐμαυτὸν λοιδοριῶν βραχέα βούλομαι προειπεῖν. πυνθάνομαι γὰρ λέξειν Δημοσθένην, ὡς ἡ πόλις ὑπ' αὐτοῦ μὲν ὠφέληται πολλὰ, ὑπ' ἐμοῦ δὲ καταβέβλαπται, καὶ τὸν Φίλιππον καὶ τὸν Ἀλέξανδρον καὶ τὰς ἀπὸ τούτων αἰτίας ἀνοίσειν ἐπ' ἐμέ. οὕτω γάρ ἐστιν, ὡς ἔοικε, δεινὸς δημιουργὸς λόγων, ὥστε οὐκ ἀπόχρη αὐτῷ, εἴτι πεπολίτευμαι παρ' ὑμῖν ἐγὼ, ἢ εἴ τινας δημηγορίας εἶρηκα, τούτων κατηγορεῖν, ἀλλὰ καὶ τὴν ἡσυχίαν μου τοῦ βίου διαβάλλει[453], καὶ τῆς σιωπῆς μου κατηγορεῖ, ἵνα μηδεὶς αὐτῷ τόπος ἀσυκοφάντητος παραλείπηται, καὶ τὰς ἐν τοῖς γυμνασίοις μετὰ τῶν νεωτέρων μου διατριβὰς κατασμέμφεται, καὶ κατὰ τῆς δὲ τῆς κρίσεως εὐθὺς ἀρχόμενος τοῦ λόγου φέρει τινὰ αἰτίαν, λέγων, ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ τῆς πόλεως ἐγραψάμην, ἀλλ' ἐνδεικνύμενος Ἀλεξάνδρῳ διὰ τὴν πρὸς αὐτὸν[454] ἔχθραν. καὶ νὴ Δί', ὡς ἐγὼ πυνθάνομαι, μέλλει με ἀνερωτᾶν, διὰ τί τὸ μὲν κεφάλαιον τῆς πολιτείας αὐτοῦ ψέγω, τὰ δὲ καθ' ἕκαστα οὐκ ἐκώλυον, οὐδ' ἐγραφόμην, ἀλλὰ διαλιπὼν καὶ πρὸς τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν ἀπήνεγκα τὴν γραφήν. Ἐγὼ δὲ οὔτε τὰς Δημοσθένους διατριβὰς ἐζήλωκα, οὔτ' ἐπὶ ταῖς ἐμαυτοῦ αἰσχύνομαι, οὔτε τοὺς εἰρημένους ἐν ὑμῖν λόγους ἐμαυτῷ ἀρρήτους εἶναι βουλοίμην[455], οὔτε τὰ αὐτὰ τούτῳ δημηγορήσας ἐδεξάμην ἂν ζῆν· τὴν δ' ἐμὴν σιωπὴν, ὦ Δημόσθενες, ἡ τοῦ βίου μετριότης[456] παρεσκεύασεν. ἀρκεῖ γάρ μοι μικρὰ, καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ· ὥστε καὶ σιγῶ καὶ λέγω βουλευσάμενος, ἀλλ' οὐκ ἀναγκαζόμενος ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης[457]. σὺ δ', οἶμαι, λαβὼν μὲν σεσίγηκας, ἀναλώσας δὲ κέκραγας[458]· λέγεις δὲ οὐχ ὁπόταν σοι δοκῇ, οὐδ' ἃ βούλει, ἀλλ' ὁπόταν οἱ μισθοδόται σοι προστάττωσιν· οὐκ αἰσχύνῃ δὲ ἀλαζονευόμενος ἃ παραχρῆμα ἐξελέγχῃ ψευδόμενος. ἀπηνέχθη γὰρ ἡ κατὰ τοῦδε τοῦ ψηφίσματος γραφὴ, ἣν οὐχ ὑπὲρ τῆς πόλεως, ἀλλ' ὑπὲρ τῆς πρὸς Ἀλέξανδρον ἐνδείξεώς με φῂς ἀπενεγκεῖν, ἔτι Φιλίππου ζῶντος, πρὶν Ἀλέξανδρον εἰς τὴν ἀρχὴν καταστῆναι, οὕπω σοῦ τὸ περὶ Παυ-

---

451) Ὡς πρὸς τὴν παροῦσαν δίκην δηλαδή. 452) Λόγων ἄπειρος, ἁπλοῦς. 453) Ἴδε Δημοσθ. περὶ Στεφ. Β. ρμβ'. 454) Τὸν Δημοσθ. 455) Θέλω ὥστε νὰ μὴ τοὺς εἶχα εἰπεῖ, μετανοῶ δηλ. διότι τοὺς εἶπα. 456) Ὀλιγάρκεια. 457) Ἐξαίτιας τοῦ φύσει πολυδαπάνε βίου μου. καθὼς σύ. 458) Ὁ δὲ Δημοσθ. αὐτὸ τοῦτο τὸ βέλος τοῦ ἐχθροῦ λαβὼν, ἀκοντίζει κατ' αὐτοῦ, γρέψας αὐτὸ κατ' ἄλλον τρόπον: « Καὶ λέγεις, ὡς σιωπῶ μὲν λαβὼν, βοῶ δ' ἀναλώσας. ἀλλ' οὐ σύ γε, ἀλλὰ βοᾷς μὲν ἔχων, παύσῃ δὲ οὐδέποτε, ἐὰν μή σε οὗτοι παύσωσιν, ἀτιμώσαντες σήμερον. »

σανίαν ἐνύπνιον ἑωρακότος, οὐδὲ πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν[459] νύκτωρ διειλεγμένου. πῶς ἂν οὖν ἐγὼ προενεδεικνύμην Ἀλεξάνδρῳ; εἰ γε μὴ ταὐτὸ ἐνύπνιον ἐγὼ καὶ Δημοσθένης εἴδομεν; Ἐπιτιμᾷς δέ μοι, εἰ μὴ συνεχῶς, ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον προσέρχομαι, καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν ἡμᾶς μεταφέρων οὐκ ἐκ δημοκρατίας, ἀλλ' ἐξ ἑτέρας πολιτείας[460]. ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος, ἀλλ' ὁ δυναστεύων κατηγορεῖ· ἐν δὲ ταῖς δημοκρατίαις ὁ βουλόμενος, καὶ ὅταν αὐτῷ δόξῃ. καὶ τὸ μὲν διὰ χρόνου λέγειν, σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου· τὸ δὲ μηδεμίαν παραλιπεῖν ἡμέραν, ἐργαζομένου καὶ μισθαρνοῦντος. Ὑπὲρ δὲ τοῦ μηδέπω κεκρίσθαι ὑπ' ἐμοῦ, μηδὲ τῶν ἀδικημάτων τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις, ἢ σαυτὸν παραλογίζῃ. τὰ μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας ἠσεβημένα σοι, καὶ τὰ περὶ τὴν Εὔβοιαν δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων, ἐν οἷς ὑπ' ἐμοῦ φανερῶς ἐξηλέγχου, ἴσως ἐλπίζεις τὸν δῆμον ἀμνημονεῖν· τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς τριηράρχους ἁρπάγματα τίς ἂν ἀποκρύψαι χρόνος δύναιτ' ἄν, ὅτε νομοθετήσας περὶ τῶν τριακοσίων νεῶν, καὶ σαυτὸν πείσας Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ, ἐξηλέγχθης ὑπ' ἐμοῦ ἑξήκοντα καὶ πέντε νεῶν ταχυναυτουσῶν τριηράρχους ὑφηρημένος, πλεῖον τῆς πόλεως ἀφανίζων ναυτικὸν ἢ ὅτε Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ Πόλλιν ἐνίκησαν[461]; οὕτω δὲ ταῖς αἰτίαις[462] ἐνέφραξας τὰς κατὰ σαυτοῦ τιμωρίας, ὥστε τὸν κίνδυνον εἶναι μὴ σοὶ τῷ ἀδικήσαντι, ἀλλὰ τοῖς ἐπεξιοῦσι, πολὺν μὲν τὸν Ἀλέξανδρον καὶ Φίλιππον ἐν ταῖς διαβολαῖς ᾠρων[463], αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς τῆς πόλεως καιροὺς, ἀεὶ τὸ παρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπαγγελλόμενος. Οὐ τὸ τελευταῖον, εἰσαγγέλλεσθαι μέλλων ὑπ' ἐμοῦ, τὴν Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου[464] κατεσκεύασας, τοῦ τὰ ἀγοράσματα Ὀλυμπιάδι ἀγοράζοντος[465], καὶ τὸν αὐτὸν ἄνδρα διεστρέβλωσας τῇ σαυτοῦ χειρὶ, γράψας αὐτὸν θανάτῳ ζημιῶσαι, καὶ παρὰ τῷ αὐτῷ[466] ἐν Ὠρεῷ κατήγου, καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ἔφαγες καὶ ἔπιες καὶ ἔσπεισας, καὶ τὴν δεξιὰν ἐνέβαλες, ἄνδρα φίλον καὶ ξένον ποιούμενος, καὶ τοῦτον ἀπέκτεινας; καὶ περὶ τούτων ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ' ἐμοῦ καὶ

459) Ἴδε ἀνωτέρω, ὅπου ὅμως λέγει, Παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς. 460) Ὀλιγαρχίας ἢ τυραννίδος δηλονότι. 461) Ἡ ναυμαχία αὕτη, τὴν ὁποίαν πρώτην μετὰ τὸν Πελοποννησ. πόλεμον ἐνίκησαν οἱ Ἀθην., συνεκροτήθη τὸ δ'. ἔτος τῆς ρ'. Ὀλυμπ. Πολιορκοῦντος γὰρ τοῦ Χαβρίου μὲ 83 τριήρεις τὴν Νάξον, ὁ τῶν Λακεδ. ναύαρχος Πόλλις κατέπλευσε βοηθήσων τοῖς Ναξίοις μὲ 60 τριήρεις· συμπλακέντων δὲ τῶν δύω στόλων, κατ' ἀρχὰς μὲν ἐνίκησαν οἱ Λακεδ., καὶ διέφθειραν 18 τριήρεις τῶν Ἀθην. καὶ τὸν ὑποναύαρχον Κήδωνα, διοικοῦντα τὸ ἀριστερὸν κέρας. Ἀλλὰ βοηθήσας ἀπὸ τοῦ δεξιοῦ κέρως ὁ Χαβρίας, ἐπανώρθωσε τὴν ἥτταν τῶν ἰδίων, καὶ διέφθειρε μὲν 24 τριήρεις τῶν Λακεδ., ἔλαβε δὲ αὐτάνδρους 8, καὶ τὰς λοιπὰς ἔτρεψεν εἰς φυγήν, καὶ ἤθελε τὰς ἀφανίσῃ ἐξ ὁλοκλήρου, ἐὰν, φοβούμενος τὸ παράδειγμα τῶν ἐν Ἀργινούσαις στρατηγῶν, δὲν ἄφινε τὴν δίωξιν, ἵνα συλλέξῃ τοὺς διανηχομένους ζῶντας καὶ θάψῃ τοὺς τετελευτηκότας τῶν πολιτῶν. Ἴδε Διόδωρ. ΙΓ', 34.

462) Ταῖς κατὰ τῶν κατηγόρων σου. 463) Πολλάκις ἀναφέρων τὸν Ἀ. καὶ τὸν Φ.

464) Κατάσκοπον τοῦτον ἀποκαλεῖ ὁ Δημοσθ., ᾧ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν Αἰσχίνης ἐλήφθη. 465) Ἐψώνιζεν εἰς τὰς Ἀθήνας πράγματα εἰς λογαριασμὸν τῆς Ὀλυμπ., τῆς γυναικὸς τοῦ Φιλίππου. 466) Τὸν αὐτὸν διεστρέβλωσας, καὶ παρὰ τῷ αὐτῷ κατήγου.

κληθεὶς ξενικτόνος, οὐ τὸ ἀσέβημα ἠρνήσω, ἀλλ' ἀπεκρίνου, ἐφ' ᾧ[407] ἀνεβόησεν ὁ δῆμος καὶ ὅσοι ξένοι περιέστασαν τὴν ἐκκλησίαν· ἔφησθα γὰρ τοὺς τῆς πόλεως ἅλας[408] περὶ πλείονος ποιήσασθαι τῆς ξενικῆς τραπέζης. Ἐπιτολὰς δὲ στιγῶ ψευδεῖς καὶ κατασκόπων συλλήψεις καὶ βασάνους ἐπ' αἰτίαις ἀγενήτοις, ὡς ἐμοῦ μετά τινων ἐν τῇ πόλει νεωτερίζειν βουλομένου. Ἔπειτα ἐπερωτᾷν με, ὡς ἐγὼ πυνθάνομαι, μέλλει, τίς ἂν εἴη τοιοῦτος ἰατρός, ὅστις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβουλεύοι, τελευτήσαντος δὲ αὐτοῦ ἐλθὼν εἰς τὰ ἔνατα διεξίοι πρὸς τοὺς οἰκείους ἃ ἐπιτηδεύσας ὑγιὴς ἂν ἐγένετο[409]. σαυτὸν δ' οὐχ ἀντερωτᾷς, τίς ἂν εἴη δημαγωγὸς τοιοῦτος, ὅστις τὸν μὲν δῆμον θωπεύσαι δύναιτο, τοὺς δὲ καιρούς, ἐν οἷς ἦν σώζεσθαι τὴν πόλιν, ἀποδοῖτο, τοὺς δ' εὖ φρονοῦντας κωλύοι διαβάλλων συμβουλεύειν, ἀποδρὰς δ' ἐκ τῶν κινδύνων, καὶ τὴν πόλιν ἀνηκέστοις κακοῖς περιβαλών, ἀξιοῖ στεφανοῦσθαι ἐπ' ἀρετῇ, ἀγαθὸν μὲν πεποιηκὼς μηδὲν, πάντων δὲ τῶν κακῶν αἴτιος γεγονώς, ἐπερωτῶν δὲ τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας ἐπ' ἐκείνων τῶν καιρῶν, ὅτε ἐνῆν σώζεσθαι, διὰ τί αὐτὸν οὐκ ἐκώλυσαν ἐξαμαρτάνειν; ἀποκρύπτοιτο δὲ τὸ πάντων τελευταῖον, ὅτι τῆς μάχης ἐπιγενομένης οὐκ ἐσχολάζομεν περὶ τὴν σὴν εἶναι τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν[410]. ἐπειδὴ δὲ οὐκ ἀπέχρη σοι δίκην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς, καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν ποιῶν, ἐνταῦθ'[411] ἐνέστην, καὶ τὴν γραφὴν ἀπήνεγκα.

Καὶ νὴ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, ὧν ἐγὼ πυνθάνομαι Δημοσθένην λέξειν, ἐφ' ᾧ νυνὶ μέλλω λέγειν, ἀγανακτῶ μάλιστα[412]. ἀφορμοιοῖ γάρ μου τὴν φύσιν ταῖς Σειρῆσιν[413], ὡς ἔοικε· καὶ γὰρ ὑπ' ἐκείνων οὐ κηλεῖσθαί φησι τοὺς ἀκροωμένους, ἀλλ' ἀπόλλυσθαι· διόπερ οὐδ' εὐδοκιμεῖν τὴν τῶν Σειρήνων μουσικήν· καὶ δὴ καὶ τὴν τῶν ἐμῶν λόγων ἐμπειρίαν καὶ τὴν φύσιν[414] μου γεγενῆσθαι ἐπὶ βλάβῃ τῶν ἀκουόντων. Καίτοι τὸν λόγον τοῦτον ὅλως μὲν ἔγωγε οὐδενὶ πρέπειν ἡγοῦμαι περὶ ἐμοῦ λέγειν· τῆς γὰρ αἰτίας αἰσχρὸν τὸν αἰτιώμενόν ἐστι τὸ ἔργον μὴ ἔχειν ἐπιδεῖξαι[415]· εἰ δ' ἦν ἀναγκαῖον ῥηθῆναι, οὐ Δημοσθένους ἦν ὁ λόγος, ἀλλ' ἀνδρὸς στρατηγοῦ[416], μεγάλα μὲν τῇ πόλει κατειργασμένου[417], λέγειν δὲ ἀδυνάτου καὶ τὴν τῶν ἀντιδίκων διὰ

---

[407]) (ἐνν. ῥῆμα) ἐφ' ᾧ. [408]) Τὴν σχέσιν, τὴν οἰκειότητα. Παροιμιώδης φράσις, τῆς ὁποίας διετηρήθη ἡ μέχρις ἡμῶν ἡ συνεκδοχή· Ἐφάγομεν ψωμὶ καὶ ἅλας μαζῆ· εἴμεθα δηλαδὴ οἰκεῖοι, σχετιαμένοι. [409]) Ἴδε Δημοσθ. περὶ Στεφ. σημ. 627. [410]) Διότι μετὰ τὴν ἐν Χαιρων. μάχην, ἐστάλη πρεσβευτὴς μετὰ τοῦ Δημάδου πρὸς Φίλιππον διὰ τὸ ὁποῖον τὸν κατηγορεῖ ὁ Δημοσθ. (περὶ Στεφ. §. ρλδ') ὅτι, ἐν ᾧ προτοῦ διώμνυτο μηδὲν εἶναι αὐτῷ ἡ Φιλίππῳ πρᾶγμα, ὕστερον, « ὡς ἐπηγγέλθη τάχιστ' ἡ μάχη, οὐδὲν τούτων φροντίσας, εὐθὺς ὡμολόγει φιλίαν αὐτῷ καὶ ξενίαν εἶναι πρὸς αὐτόν ». [411]) Ὁ Πλούταρχος, ἐκ τοῦ ἐναντίου, λέγει ὅτι « εἰσήχθη ἡ κατὰ Κτησιφῶντος γραφή. . . μικρὸν ἐπάνω τῶν Χαιρωνικῶν, ἐκρίθη δὲ ὕστερον δέκα ἔτεσιν ». Ὁμοίως καὶ ὁ Κικέρων: « **Hanc mulctam Aeschines a Ctesiphonte petiit quadriennio ante Philippi Macedonis mortem** ». [412]) Ἐκ πάντων ἐκείνων ἃ πυνθάνομαι Δημοσθένην λέξειν, ἐπ' ἐκείνῳ μάλιστα ἀγανακτῶ ὃ νυνὶ μέλλω λέγειν.

[413]) Τὴν πρὸς τὰς Σειρήνας παρομοίωσιν δὲν εὑρίσκομεν εἰς τὸν Περὶ Στεφ. λόγον τοῦ Δημοσθ. καὶ ἴσως τὴν παρέλιπεν ὁ ῥήτωρ, ἀφ' οὗ ἤκουσε νὰ τὴν ἀναφέρῃ ὁ Αἰσχίνης.

[414]) Αἰσχρόν ἐστι τὸ τὸν αἰτιώμενον μὴ ἔχειν ἐπιδεῖξαι τὸ ἔργον τῆς αἰτίας.

[415]) Καθ' ὑπόθεσιν. [416]) Ὑπερτήσαντος, κατορθώσαντος.

τοῦτο ἐζηλωκότος φύσιν[477], ὅτι σύνοιδεν ἑαυτῷ μὲν οὐδὲν ὢν διαπέπρακται δυναμένῳ φράσαι, τὸν δὲ κατήγορον ὁρᾷ δυνάμενον καὶ τὰ μὴ πεπραγμένα ὑφ' ἑαυτοῦ παριστάναι τοῖς ἀκούουσιν ὡς διώκηκεν. ὅταν δ' ἐξ ὀνομάτων[478] συγκείμενος ἄνθρωπος, καὶ τούτων πικρῶν[479] καὶ περιέργων[480], ἔπειτα ἐπὶ τὴν ἁπλότητα καὶ τὰ ἔργα καταφεύγῃ, τίς ἂν ἀνάσχοιτο; οὐ τὴν γλῶτταν, ὥσπερ τῶν αὐλῶν, ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστι[481].

Θαυμάζω δ' ἔγωγε ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ζητῶ πρὸς τί ἂν ἀποβλέποντες ἀποψηφίσαισθε τὴν γραφήν; πότερ' ὡς τὸ ψήφισμά ἐστιν ἔννομον; ἀλλ' οὐδεμία πώποτε γνώμη παρανομωτέρα γεγένηται. ἀλλ' ὡς ὁ τὸ ψήφισμα γράψας οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι; οὐκ ἄρ' εἰσὶ παρ' ὑμῖν εὔθυναι βίου, εἰ τοῦτον ἀφήσετε. ἐκεῖνο δ' οὐ λυπηρόν, εἰ πρότερον μὲν ἐνεπίμπλατο ἡ ἀρχήστρα χρυσῶν στεφάνων, οἷς ὁ δῆμος ἐστεφανοῦτο ὑπὸ τῶν Ἑλλήνων, διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀποδεδόσθαι τὴν ἡμέραν[482]· ἐκ δὲ τῶν Δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκήρυκτοι γίνεσθε, οὗτος δὲ κηρυχθήσεται; καὶ εἰ μέν τις τῶν τραγικῶν ποιητῶν τῶν μετὰ ταῦτα ἐπεισαγόντων[483] ποιήσειεν ἐν τραγῳδίᾳ τὸν Θερσίτην ὑπὸ τῶν Ἑλλήνων στεφανούμενον, οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν, ὅτι φησὶν Ὅμηρος ἄνανδρον αὐτὸν εἶναι καὶ συκοφάντην· αὐτοὶ δ' ὅταν τὸν τοιοῦτον ἄνθρωπον στεφανῶτε, οὐκ οἴεσθε ἐν ταῖς τῶν Ἑλλήνων δόξαις[484] συρίττεσθαι; οἱ μὲν γὰρ πατέρες ὑμῶν τὰ μὲν ἔνδοξα καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ, τὰ δὲ ταπεινὰ καὶ καταδεέστερα εἰς τοὺς ῥήτορας τοὺς φαυλοτέρους ἔτρεπον· κτήσεως δ' ὑμᾶς οἴεται δεῖν ἀφελόντας τὴν ἀδοξίαν ἀπὸ Δημοσθένους περιθεῖναι τῷ δήμῳ. καὶ φατε μὲν εὐτυχεῖς εἶναι, ὡς καὶ ἐστὲ καλῶς ποιοῦντες[485], ψηφιεῖσθε δὲ ὑπὸ μὲν τῆς τύχης ἐγκαταλελεῖφθαι, ὑπὸ Δημοσθένους δὲ εὖ πεπονθέναι; καὶ τὸ πάντων ἀτοπώτατον, ἐν τοῖς αὐτοῖς δικαστηρίοις, τοὺς μὲν τὰς τῶν δώρων[486] γραφὰς ἁλισκομένους ἀτιμοῦτε, ὃν δ' αὐτοὶ μισθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς μὲν κριτὰς τοὺς ἐκ Διονυσίων[487], ἐὰν μὴ δικαίως τοὺς κυκλίους[488] χορεύς κρίνωσι, ζημιοῦτε· αὐτοὶ δὲ οὐ κυκλίων χορῶν κριταὶ καθεστηκότες, ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρετῆς, τὰς δωρεὰς οὐ κατὰ τοὺς νόμους, οὐδ' ὀλίγοις καὶ τοῖς ἀξίοις, ἀλλὰ τῷ διαπραξαμένῳ[489] δώσετε; ἔπειτ' ἔξεισιν ἐκ τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτὴς ἑαυτὸν μὲν ἀσθενῆ πεποιηκώς, ἰσχυρὸν δὲ τὸν ῥήτορα. ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει· ὅταν δ' ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκεν αὐτὸς

---

[477]) Ἱκανότητα φυσικὴν περὶ τὸ λέγειν. [478]) Ἁπλῶ λέξεις. [479]) Δηκτικῶν, φαρμακερῶν. [480]) Ἐπιτετηδευμένων, ἀλλοκότων. Ἴδε καὶ σημ. 329. Διονύσιος ὁ Ἁλικαρνασσεὺς (ἐν τῷ περὶ τῆς λεκτ. Δημοσθ. δεινότητος) ὑπερασπίζει τὸν Δημοσθ. ἐναντίον τῆς κατηγορίας ταύτης. [481]) Τὴν ἀστεῖαν τῷ ὄντι ταύτην παρομοίωσιν λέγων ὅτι ἔλεγε ὁ Δημάδης διὰ τοὺς Ἀθηναίους. [482]) Τὴν τῶν Διονυσίων. [483]) Ὁ Οὐόλφ. ἔγραψεν Ἐπεισιόντων. Ἀλλὰ τοῦτο κυριολεκτεῖται ἐπὶ τῶν ὑποκριτῶν, καθὼς τὸ Ἐπεισαγόντων ἐπὶ τῶν ποιητῶν. Τὸ δὲ Μετὰ ταῦτα νομίζω ὅτι ἐννοεῖ μετὰ τὰ κηρύγματα τῶν ξενικῶν στεφάνων· διότι ἰδ. ἀνωτέρω σελ. 62 ἀφ' οὗ ἀνέφερε «τὴν ἐν τῷ θεάτρῳ τοῦ ψηφίσματος ἀνάρρησιν», λέγει ἔπειτα· «Ταῖς τραγῳδίαις καὶ τοῖς ἡρωϊκοῖς πάθεσι τοῖς μετὰ ταῦτ' ἐπεισιοῦσιν». [484]) Διανοίαις, ὑπολήψεσι. [485]) Φράσις, ἀναλογοῦσα τῇ Ἀγαθῇ τύχῃ! Οὐδεὶς φθόνος! κτλ. [486]) Διοροδοκίας. [487]) Τοὺς μετὰ τὰ Διονύσια διοριζομένους. [488]) Ἴδε τὸ Δεξ.

τὴν αὐτοῦ δυναστείαν. ἔπειθ' ὁ μὲν ὅρκος, ὃν ὀμωμοκὼς δικάζει, συμπαρακολουθῶν αὐτὸν λυπεῖ[489]· ὃ γὰρ αὐτὸν, οἶμαι, γέγονε τὸ ἁμάρτημα· ἡ δὲ χάρις πρὸς ὃν ἐχαρίζετο[490] ἄδηλος γεγένηται· ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται.

Δοκοῦμεν δ' ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερα καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες[491], ὅτι μὲν γὰρ ἐπὶ τῶν νῦν καιρῶν οἱ πολλοὶ τοῖς ὀλίγοις προίεσθε τὰ τῆς δημοκρατίας ἰσχυρά, οὐκ ἐπαινῶ· ὅτι δ' οὐ γεγένηται φορὰ καθ' ἡμᾶς ῥητόρων πονηρῶν ἅμα καὶ τολμηρῶν, εὐτυχοῦμεν. πρότερον μὲν γὰρ τοιαύτας φύσεις[492] ἤνεγκε τὸ δημόσιον, αἳ ῥᾳδίως οὕτω κατέλυσαν[493] τὸν δῆμον· ἔχαιρε γὰρ κολακευόμενος. ἔπειτ' αὐτὸν οὐχ οὗς[494] ἐροῦσιν, ἀλλ' οἷς ἑαυτὸν ἐνεχείριζε κατέλυσαν· ἔνιοι δὲ[495] καὶ αὐτοὶ τῶν τριάκοντα ἐγένοντο, οἱ πλείους ἢ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, πρὶν[496] τὰς αἰτίας ἀκοῦσαι, ἐφ' αἷς ἔμελλον ἀποθνήσκειν, καὶ οὐδ' ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τελευτησάντων εἶων τοὺς προσήκοντας παραγίνεσθαι. Οὐχ ὑφ' ὑμῖν αὐτοῖς ἔξετε τοὺς πολιτευομένους; οὐ ταπεινώσαντες ἀποπέμψετε τοὺς νῦν ἐπηρμένους; οὐ μέμνησθ', ὅτι οὐδεὶς πώποτε ἐπέθετο πρότερον δήμου καταλύσει, πρὶν ἂν μεῖζον τῶν δικαστηρίων ἰσχύσῃ;

Ἥδέως δ' ἂν ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐναντίον ὑμῶν ἀναλογισαίμην πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ ποίας εὐεργεσίας ἀξιοῖ Δημοσθένην στεφανῶσαι. εἰ μὲν γὰρ λέγεις, ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω, ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου. τοῦ γὰρ ταῦτα[498] εἰργάσθαι καλῶς τὸ γεγενῆσθαι τοῦτον αἴτιον[499] μεῖζω κατηγορίαν ἔχει. οὐ γὰρ περιχαρακώσαντα χρὴ τὰ τείχη, οὐδὲ τὰς δημοσίας ταφὰς[500] ἀνελόντα τὸν ὀρθῶς πεπολιτευμένον ὠφελὰς αἰτεῖν, ἀλλ' ἀγαθοῦ τινος αἴτιον γεγενημένον τῇ πόλει. εἰ δὲ ἤξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφίσματος, ἐν ᾧ τετόλμηκας γράφειν, ὡς ἔστιν ἀνὴρ ἀγαθὸς καὶ διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ τῶν Ἀθηναίων, ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ ψηφίσματος, ἄψαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ,τι λέγεις. τὰς μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας καὶ τοὺς Εὐβοέας ὠροδοκίας παραλείπω· ὅταν δὲ τῆς πρὸς Θηβαίους συμμαχίας τὰς αἰτίας ἀναπτύῃς Δημοσθένει, τοὺς μὲν ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς

---

489) Τὸν τύπτει ἡ συνείδησις. 490) Ἄδηλος ἐκείνῳ πρὸς ὃν ἐχαρίζετο· διότι κρύβδην (μυστικῶς) ἐψηφοφόρουν. 491) Ὄχι ἐκ φρονήσεως καὶ κατὰ σκέψιν, ἀλλ' ἐκ τύχης.

492) Πονηρὰς καὶ τολμηρὰς ἐν ταὐτῷ. 493) Σκανδαλισθέντες οἱ Σχολ. διὰ τὴν γειτνίασιν τῶν δύο Κατέλυσαν, γράφειν παρήγνουν ἐνταῦθα Κατεκήλησαν ἢ Κατέκλυσαν.

494) Ἐκεῖνοι οὕς. 495) Τῶν ῥητόρων τούτων. 496) Ὡς ἐπεξήγησις τοῦ Ἀκρίτους.

497) Ἴδε Λυσίου τὸν κατὰ Ἐρατοσθένους. 498) Τὰ πράγματα, τὰ τείχη καὶ τὰς τάφρους δηλ. 499) Αἴτιον τούτων, διὰ τὴν πρὸς Φίλιππον ἔχθραν καὶ τὴν μάχην. Εἰ γὰρ μὴ προηγοῦντο ταῦτα, οὐκ ἂν εἶχε χρείαν ἡ πόλις τάφρων. 500) Τοὺς τάφους, διότι καὶ ἐπὶ τῆς πρώτης τῶν τειχῶν κατασκευῆς τῆς ἐπὶ Θεμιστοκλ. καὶ ἐπὶ τῶν μετὰ ταῦτα ἐπισκευῶν μετεχειρίσθησαν ἐξ ἀνάγκης καὶ τὰς στήλας τῶν τάφων, καθὼς ἀποδεικνύεται καὶ ἐκ τοῦ ἑξῆς χωρίου τοῦ Λυκούργου (ἐν τῷ κατὰ Λεωκράτους): «Κατ' ἐκείνους τοὺς χρόνους (τοὺς μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην), ἡ μὲν χώρα τὰ δένδρα συνεβάλλετο, οἱ δὲ τετελευτηκότες τὰς θήκας, οἱ δὲ νεῷ τὰ ὅπλα· καὶ καθὼς ῥητῶς τὸ λέγει ὁ Θουκυδ. (Α', 93): «Καὶ βάλη ἡ οἰκοδομία ὅτι καὶ νῦν ἔστιν ὅτι κατὰ σπουδὴν ἐγένετο... στῆλαί τε γὰρ πολλαὶ ἀπὸ σημάτων καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν.

δ' εἰδότας καὶ αἰσθανομένους ὑβρίζεις. ἀφελὼν γὰρ τὸν καιρὸν[501] καὶ τὴν δόξαν τὴν τούτων[502], δι' ἣν ἐγένετο ἡ συμμαχία, οἴει λανθάνειν ἡμᾶς τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς. ἡλίκον δ' ἐστὶ τὸ ἀλαζόνευμα τοῦτο, ἐγὼ πειράσομαι μεγάλῳ σημείῳ διδάξαι. Ὁ γὰρ τῶν Περσῶν βασιλεὺς οὐ πολλῷ πρότερον χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν κατέπεμψε τῷ δήμῳ καὶ μάλα ὑβριστικὴν καὶ βάρβαρον ἐπιστολήν, ἐν ᾗ τά τε δὴ ἄλλα καὶ μάλ' ἀπαιδεύτως διελέχθη, καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν ἐν τῇ ἐπιστολῇ, ἃ ἐγὼ, φησὶν, ὑμῖν χρυσίον οὐ δώσω· μήμε αἰτεῖτε· οὐ γὰρ λήψεσθε[503] ». οὗτος μέντοι ὁ αὐτὸς, ἐγκαταληφθεὶς ὑπὸ τῶν νυνὶ παρόντων αὐτῷ κινδύνων, οὐκ αἰτούντων Ἀθηναίων, αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια τάλαντα τῷ δήμῳ, ἃ σωφρονῶν ὁ δῆμος οὐκ ἐδέξατο. ὁ δὲ κομίζων ἦν τὸ χρυσίον καιρὸς καὶ φόβος καὶ χρεία συμμάχων. τὸ δ' αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν ἐξειργάζετο. σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας ἐνοχλεῖς ἀεὶ λέγων, τὰ δ' ἑβδομήκοντα τάλαντα ὑποσιωπᾷς, ἃ προλαβὼν τοῦ βασιλικοῦ χρυσίου ἀπεστέρησας. Οὐ δι' ἔνδειαν μὲν[504] χρημάτων ἕνεκα πέντε ταλάντων οἱ ξένοι τοῖς Θηβαίοις τὴν ἄκραν οὐ παρέδοσαν; διὰ δὲ[505] ἐννέα τάλαντα ἀργυρίου, πάντων Ἀρκάδων ἐξεληλυθότων καὶ τῶν ἡγεμόνων ἑτοίμων ὄντων βοηθεῖν, ἡ πρᾶξις οὐ γεγένηται; σὺ δὲ πλουτεῖς καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χορηγεῖς, καὶ τὸ κεφάλαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ, οἱ δὲ κίνδυνοι παρ' ὑμῖν,

Ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν θεωρῆσαι. εἰ γὰρ τολμήσειε Κτησιφῶν μὲν Δημοσθένην παρακαλεῖν λέξοντα εἰς ὑμᾶς, οὗτος δ' ἀναβὰς ἑαυτὸν ἐγκωμιάσει, βαρύτερον τῶν ἔργων ὧν πεπόνθατε τὸ ἀκρόαμα γίνεται. ὅπου γὰρ τοὺς μὲν ὄντως ἄνδρας ἀγαθοὺς, οἷς πολλὰ καὶ καλὰ σύνισμεν ἔργα, ἂν τοὺς καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν· ὅταν [δὲ] ἄνθρωπος, αἰσχύνη τῆς πόλεως γεγονὼς, ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν ἀκούων;

Ἀπὸ μὲν οὖν τῆς ἀναισχύντου πραγματείας[506], ἐὰν σωφρονῇς, ἀποστήσῃ· ποίησαι δὲ, ὦ Κτησιφῶν, διὰ σαυτοῦ τὴν ἀπολογίαν. οὐ γὰρ ὅπου τοῦτό γε σκήψῃ, ὡς οὐ δυνατὸς εἶ λέγειν. καὶ γὰρ ἂν ἄτοπόν σοι συμβαίνοι, εἰ πρώην μέν ποθ' ὑπέμεινας πρεσθευτὴς ὡς Κλεοπάτραν τὴν Φιλίππου θυγατέρα[507] χειροτονεῖσθαι συναχθεσθησόμενος ἐπὶ τῇ τοῦ Μολοττῶν βασιλέως Ἀλεξάνδρου τελευτῇ, νυνὶ δὲ οὐ φήσεις δύνασθαι λέγειν. ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δύνασαι παραμυθεῖσθαι, γράψας δὲ μισθοῦ ψήφι-

---

501) Τὴν περίστασιν, ἥτις μόνη ἠνάγκασε τοὺς Θηβαίους νὰ συμμαχήσουν, καθὼς εἶπε ἀνωτέρω. 502) Τῶν Ἀθηναίων, τῶν παρισταμένων. 503) Αὐτὴν πιθανῶς τὴν ἐπιστολὴν εἶχεν ὑπ' ὄψιν καὶ ὁ Ἀριστοφάνης, ὅταν εἰσάγῃ (ἐν Ἀχαρν. 100 κ. ε.) τὸν Ψευδαρτάβαν λέγοντα μιξοβαρβάρως: » Οὐ λῆψι χρύσα, χαυνόπρωκτ' Ἰουναῖ. « 504) Οἱ σύνδεσμοι Μὲν καὶ Δὲ κάμνουν τὴν φράσιν ἀνακόλουθον. 505) Περισπασμοῦ, ῥᾳδιουργίας, πρὸς τὸ παραστήσασθαι συνηγορήσοντα αὐτῷ Δημοσθένην. 506) Συζευχθεῖσαν τῷ ά. ἔτει τῆς ριά. Ὀλυμπ. Ἀλεξάνδρῳ τῷ Μολοσσῶν ἢ Ἠπειρωτῶν βασιλεῖ, ἀδελφῷ τῆς Ὀλυμπιάδος· ὃς, διαβὰς εἰς Ἰταλίαν, πρὸς βοήθειαν τῶν Ταραντίνων κατὰ τῶν Βρουττίων, ἐφονεύθη πανζρατεῖ τῷ 331 π. Χ.

σμα οὐκ ἀπολογήσῃ; ἢ τοιοῦτός ἐστιν ὃν γέγραφας στεφανοῦσθαι, οἷος μὴ γιγνώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων, ἂν μή τίς σοι συνείπῃ; ἐπερώτησον δή τοὺς δικαστάς, εἰ ἐγίγνωσκον Χαβρίαν καὶ Ἰφικράτην καὶ Τιμόθεον, καὶ πυθοῦ παρ' αὐτῶν, διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδοσαν καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντες γὰρ ἅμα σοι ἀποκρινοῦνται, ὅτι Χαβρίᾳ μὲν διὰ τὴν περὶ Νάξον ναυμαχίαν[507], Ἰφικράτει δὲ ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινε[508], Τιμοθέῳ δὲ διὰ τὸν περίπλουν τὸν εἰς Κέρκυραν[509], καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ πόλεμον ἔργα πέπρακται. Δημοσθένει δ', ἀντεροῦ διατί δώσετε;[510] ὅτι δωροδόκος, ὅτι δειλός, ὅτι τὴν τάξιν ἔλιπε. καὶ πότερον τοῦτον τιμήσετε, ἢ ὑμᾶς αὐτοὺς ἀτιμώσετε καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας; οὓς νομίσαι' ὁρᾶν σχετλιάζοντας, εἰ οὗτος στεφανωθήσεται. Καὶ γὰρ ἂν εἴη δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ ἀγώμονα[511], ἐάν τινα ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν[512] καὶ ἐάν τις αὐτὸν διαχρήσηται, τὴν χεῖρα τὴν τοῦτο πράξασαν χωρὶς τοῦ σώματος θάπτομεν· Δημοσθένην δέ, ὦ Ἀθηναῖοι, τὸν γράψαντα μὲν τὴν πανυστάτην[513] ἔξοδον, προδόντα δὲ τοὺς στρατιώτας, τοῦτον ὑμεῖς τιμήσετε; οὐκοῦν ὑβρίζονται μὲν οἱ τελευτήσαντες, ἀθυμότεροι δὲ οἱ ζῶντες γίγνονται, ὁρῶντες τῆς ἀρετῆς ἆθλον τὸν θάνατον κείμενον, τὴν δὲ μνήμην ἐπιλείπουσαν. Τὸ δὲ μέγιστον, ἐὰν ἐπερωτῶσιν ὑμᾶς οἱ νεώτεροι, πρὸς ποῖον παράδειγμα χρὴ αὐτοὺς τὸν βίον ποιεῖσθαι, τί κρινεῖτε[514]; εὖ γάρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐχ αἱ παλαίστραι, οὐδὲ τὰ διδασκαλεῖα, οὐδ' ἡ μουσικὴ μόνον παιδεύει τοὺς νεωτέρους, ἀλλὰ πολὺ μᾶλλον τὰ δημόσια κηρύγματα. κηρύττεταί τις ἐν τῷ θεάτρῳ, ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας καὶ εὐνοίας, ἄνθρωπος ἀσχήμων ἐν τῷ βίῳ καὶ βδελυρός· ὁ δέ γε νεώτερος ταῦτ' ἰδὼν διεφθάρη. δίκην τις δέδωκε πονηρὸς καὶ πορνοβοσκός, ὥσπερ Κτησιφῶν· οἱ δέ γε ἄλλοι πεπαίδευνται. τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων, ἐπανελθὼν οἴκαδε παιδεύει[515] τὸν υἱόν· ὁ δέ γε εἰκότως οὐ πείθεται, ἀλλὰ τὸ νουθετεῖν ἐνοχλεῖν ἐνταῦθα ἤδη δικαίως ὀνομάζεται. ὡς οὖν μὴ μόνον κρίνοντες, ἀλλὰ καὶ θεωρούμενοι, οὕτω τὴν ψῆφον φέρετε, εἰς ἀπολογισμὸν[516] τοῖς νῦν μὲν οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις δὲ ὑμᾶς τί ἐδικάζετε. Εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ

---

507) Ὅπου ἐνίκησε Πόλλιν τὸν ναύαρχον τῶν Λακεδ., καθὼς εἶπεν ἀνωτέρω, (ἴδε σημ. 461). Ἀλλά, κατὰ τὸν Κορνήλ. Νέπ., τὴν εἰκόνα τῷ Χαβρίᾳ ἔστησαν ἐν τῇ ἀγορᾷ οἱ Ἀθηναῖοι, ὄχι διὰ τὴν ναυμαχίαν ταύτην, ἀλλὰ διὰ τὴν περὶ τὰς Θήβας μάχην, περὶ ἧς ἴδε Διόδ. ΙΣ', λέ. 508) Ἐν τῷ Κορινθιακῷ κληθέντι πολέμῳ τὸ δ'. ἔτος τῆς ϛ'. Ὀλυμπ. 509) Ἡ διὰ θαλάσσης αὕτη ἐκστρατεία ὠνομάσθη κατ' ἐξοχὴν Περίπλους, φύσει ἀπὸ τῆς Θράκης, ὅπου ἐναυάρχει τοῦ Ἀττικοῦ στόλου ὁ Τιμόθεος, ἐστάλη, περιπλεύσας ὅλην τὴν Ἑλλάδα, εἰς Κέρκυραν, τὴν ὁποίαν καὶ ἐκυρίευσεν. (Ἴδε Ξενοφ. Ἑλλ. ϛ', 2, 11, κ. ε.). 510) Ἐν ἄλλοις Δημοσθένει δὲ, ἐάν τις ἐρωτᾷ, διατί οὐ δώσετε; φήσετε ὅτι κτλ. ὀρθότερον νομίζω νὰ γραφῇ καὶ σιχθῇ τὸ χωρίον οὕτω. Δημοσθένει δὲ, ἐάν τις ἐρωτᾷ, διὰ τί δώσετε; ὅτι δωροδόκος; ὅτι δειλός; ὅτι τὴν τάξιν ἔλιπε; ἢ πότερον κτλ. 511) Χωρὶς κρίσιν, ἀναίσθητα, ἄψυχα. 512) Κατά τινα νόμον τοῦ Δράκοντος, τὸν ὁποῖον ἀναφέρει ὁ Παυσαν. ϛ', β', 2. 513) Ὁλεθριωτέραν· διότι ἄλλην πλέον δὲν ἔκαμαν, μείναντες οἱ πλεῖστοι νεκροὶ ἐν τῷ πεδίῳ τῆς μάχης. 514) Ὁ Ὀλόλφ. ἔγραψε: Τί ἀποκρινεῖσθε; Ἀλλ' ἔχει καὶ τί κρινεῖτε, χώραν: Τί θὰ ἀποφασίσετε; 515) Συμβουλεύει. 516) Ἀπόδοσιν λόγου, ἀπολογίαν.

ὁ κηρυττόμενος· ἔτι δὲ ἀνειδος, μὴ τοῖς προγόνοις ὑμῶν, ἀλλὰ τῇ Δημοσθένους ἀνανδρίᾳ προσεικασθῆναι. Πῶς οὖν ἄν τις τὴν τοιαύτην αἰσχύνην ἐκφύγοι; ἐὰν τοὺς προκαταλαμβάνοντας[117] τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι, φυλάξησθε· ἡ γὰρ εὔνοια καὶ τὸ τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ, φθάνουσι δ' ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ ὡς ἐπὶ [τὸ] πολὺ οἱ τοῖς ἔργοις πλεῖστον ἀπέχοντες. Ὅταν οὖν λάβητε ῥήτορα ξενικῶν ψεφάνων καὶ κηρυγμάτων ἐν τοῖς Ἕλλησιν ἐπιθυμοῦντα, ἐπανάγειν αὐτὸν κελεύετε καὶ τὸν λόγον, ὥσπερ τὰς βεβαιώσεις τῶν κτημάτων[118] ὁ νόμος κελεύει ποιεῖσθαι, εἰς βίον ἀξιόχρεων καὶ τρόπον σώφρονα· ὅτῳ δὲ ταῦτα μὴ μαρτυρεῖται, μὴ βεβαιοῦτε αὐτῷ τοὺς ἐπαίνους, καὶ τῆς δημοκρατίας ἐπιμελήθητε ἤδη διαφευγούσης ὑμᾶς. Ἢ οὐ δεινόν ὑμῖν δοκεῖ εἶναι, ὅτι τὸ μὲν βουλευτήριον καὶ ὁ δῆμος παροράται, αἱ δ' ἐπιστολαὶ καὶ αἱ πρεσβεῖαι ἀφικνοῦνται εἰς ἰδιωτικὰς οἰκίας, οὐ παρὰ τῶν τυχόντων ἀνθρώπων, ἀλλὰ παρὰ τῶν πρωτευόντων ἐν τῇ Ἀσίᾳ καὶ τῇ Εὐρώπῃ; καὶ ἐφ' οἷς ἔξιν ἐκ τῶν νόμων ζημία θάνατος, ταῦτά τινες οὐκ ἐξαρνοῦνται πράττειν, ἀλλ' ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς ἐπιστολὰς ἀλλήλοις παραναγινώσκουσι, καὶ παρακελεύονται ὑμῖν οἱ μὲν βλέπειν εἰς τὰ ἑαυτῶν πρόσωπα ὡς φύλακες τῆς δημοκρατίας, ἕτεροι δ' αἰτοῦσι δωρεὰς ὡς σωτῆρες τῆς πόλεως ὄντες· ὁ δὲ δῆμος ἐκ τῆς ἀθυμίας τῶν συμβεβηκότων, ὥσπερ παραγεγηρακὼς ἢ παρανοίας ἑαλωκώς, αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας περιποιεῖται, τῶν δ' ἔργων ἑτέροις παρακεχώρηκεν· ἔπειτ' ἀπέρχεσθε ἐκ τῶν ἐκκλησιῶν οὐ βουλευσάμενοι, ἀλλ' ὥσπερ ἐκ τῶν ἐράνων[119] τὰ περιόντα νεμάμενοι. Ὅτι δ' οὐ λήρῳ, ἐκεῖθεν τὸν λόγον θεωρήσατε· ἐγένετό τις, ἄχθομαι δὲ μεμνημένος πολλάκις τὰς ἀτυχίας τῆς πόλεως, ἐνταῦθ' ἀνὴρ ἰδιώτης[120], ὃς ἐκπλεῖν μόνον εἰς Σάμον ἐπιχειρήσας, ὡς προδότης τῆς πατρίδος αὐθημερὸν ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη· ἕτερος δ' ἰδιώτης[121] ἐκπλεύσας εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην ποτὲ εἰσηγγέλθη, καὶ ἴσαι αὐτῷ αἱ ψῆφοι ἐγένοντο· εἰ δὲ μία μόνον μετέπεσεν[122], ὑπερώριος ἂν, ἠἀπέθανεν. Ἀντιθῶμεν δὴ τὸ νυνὶ γιγνόμενον. ἀνὴρ ῥήτωρ, ἁπάντων τῶν κακῶν αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πόλεως[123]· οὗτος στεφανοῦσθαι ἀξιοῖ καὶ κηρύττεσθαι οἴεται δεῖν. οὐκ ἀποπέμψετε τὸν ἄνθρωπον, ὡς κοινὴν τῶν Ἑλλήνων συμφορὰν, ἢ συλλαβόντες ὡς λῃστὴν τῶν πραγμάτων, ἐπ' ὀνομάτων[124] διὰ τῆς πολιτείας πλέοντα, τιμωρήσεσθε; Καὶ τὸν

---

117) Προλαμβάνοντας ὑπὲρ ἑαυτῶν τὰ κοινὰ ᾗ φιλάνθρωπα ὀνόματα, δημοτικοί, φέρ' εἰπεῖν, φιλοπάτριδες ᾗ τὰ τοιαῦτα, ἐν ᾧ εἶναι ἄπιστοι τοῖς ἤθεσι. 118) Κατὰ διόρθ. ἀντὶ τῶν κηρυγμάτων· εἴη δ' ἂν βεβαίωσις κτήματος ἡ ἐξασφάλισις αὐτοῦ ὡς ἐκμέρους τοῦ πωλητοῦ πρὸς τὸν ἀγοραστήν. 119) Τῶν ἐξ ἐράνου ἢ συμφορητῶν λεγομένων δείπνων. Περιόντα δὲ ἢ περισσεύματα ἐννοεῖ τὸ διδόμενον τοῖς δικασταῖς τριώβολον.

120) Ἴσως ἐννοεῖ τὸν Λύτολυκον, τιμωρηθέντα ὑπὸ τῶν Ἀρειοπαγιτῶν. Ἀλλὰ περὶ ἐκείνου λέγει ὁ Λυκοῦργος (ἐν τῷ κατὰ Λεωκρ.) ὅτι ἔμεινε μὲν ὁ ἴδιος, ὑπεξέθετο δὲ τοὺς υἱοὺς ᾗ τὴν γυναῖκα τοῦ. 121) Ὁ Λεωκράτης, τὸν ἄπιστον κατηγόρησεν ὁ Λυκοῦργος διὰ τοῦ σωζομένου λόγου του. 122) Ἤθελε πέσῃ εἰς τὴν ἑτέραν (τὴν καταδικάζουσαν) καλπην.

123) Διότι προεῖπεν ἀνωτέρω ὅτι, παραλαβὼν τριήρη τῆς πόλεως, ἐξέπλευσε πρὸς ἀργυρολογίαν. 124) Ἐπὶ τῶν λέξεων, ὥσπερ πλοίων. (μτφρ.).

καιρὸν μνήσθητε, ἐν ᾧ τὴν ὑῆφον φέρετε. ἡμερῶν μὲν ὀλίγων[525] μέλλει τὰ Πύθια γίγνεσθαι[526] καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων[526*] συλλέγεσθαι. διαβέβληται δ' ἡ πόλις ἐκ τῶν Δημοσθένους πολιτευμάτων περὶ τοὺς νῦν καιρούς· δόξετε δ', ἐὰν μὲν τοῦτον στεφανώσητε, ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην· ἐὰν δὲ τοὐναντίον τούτου πράξητε, ἀπολύσετε τὸν δῆμον τῶν αἰτιῶν.

Μὴ οὖν ὡς ὑπὲρ ἀλλοτρίας, ἀλλ' ὡς ὑπὲρ οἰκείας τῆς πόλεως βουλεύεσθε, καὶ τὰς φιλοτιμίας μὴ νέμετε, ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ ἀξιολογωτέρους ἄνδρας ἀπόθεσθε, καὶ μὴ μόνον τοῖς ὠσὶν, ἀλλὰ καὶ τοῖς ὄμμασι. διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς, βουλεύσασθε[527], τίνες ὑμῶν εἰσιν οἱ βοηθήσοντες Δημοσθένει, πότερον οἱ συγκυνηγέται, ἢ οἱ συγγυμνασταὶ αὐτοῦ, ὅτ' ἦν ἐν ἡλικίᾳ[528]; ἀλλὰ, μὰ τὸν Δία τὸν Ὀλύμπιον, οὐχ ὧς ἀγρίους κυνηγετῶν, οὐδὲ τῆς τοῦ σώματος εὐεξίας ἐπιμελόμενος, ἀλλ' ἐπασκῶν τέχνας ἐπὶ τοὺς τὰς οὐσίας κεκτημένους[529] διαγεγένηται. ἀλλ' εἰς τὴν ἀλαζονείαν ἀποβλέψαντες[530], ὅταν φῇ Βυζαντίους μὲν ἐκ τῶν χειρῶν πρεσβεύσας ἐξελέσθαι τῶν Φιλίππου, ἀποστῆσαι δὲ Ἀκαρνᾶνας, ἐκπλῆξαι δὲ Θηβαίους δημηγορήσας· οἴεται γὰρ ὑμᾶς εἰς τοσοῦτον εὐηθείας ἤδη προβεβηκέναι, ὥστε καὶ ταῦτα ἀναπεισθήσεσθαι, ὥσπερ Πειθὼ τρέφοντας, ἀλλ' οὐ συκοφάντην ἄνθρωπον, ἐν τῇ πόλει. Ὅταν δ' ἐπὶ τελευτῆς ἤδη τοῦ λόγου συνηγόρους τοὺς κοινωνοὺς τῶν δωροδοκημάτων αὐτῷ παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν ἐπὶ τοῦ βήματος, οὗ νῦν ἑστηκὼς ἐγὼ λέγω, ἀντιπαρατεταγμένους πρὸς τὴν τούτων ἀσέλγειαν τοὺς τῆς πόλεως εὐεργέτας. Σόλωνα μὲν, τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, ἄνδρα φιλόσοφον καὶ νομοθέτην ἀγαθὸν, σωφρόνως, ὥσπερ προσῆκεν αὐτῷ, δεόμενον ὑμῶν μηδενὶ τρόπῳ τοὺς Δημοσθένους λόγους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν νόμων· Ἀριστείδην δὲ τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλλησιν, οὗ τελευτήσαντος τὰς θυγατέρας[531] ἐξέδωκεν ὁ δῆμος, σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ, καὶ ἐπερωτῶντα, εἰ οὐκ αἰσχύνεσθε, εἰ οἱ μὲν πατέρες ὑμῶν Ἀρίμνιον τὸν Ζελείτην[532] νομίσαντα εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον, ἐπιδημήσαντα εἰς τὴν πόλιν, πρόξενον ὄντα τοῦ δήμου τῶν Ἀθηναίων, παρ' οὐδὲν μὲν ἦλθον ἀποκτεῖναι, ἐξεκήρυξαν δ' ἐκ τῆς πόλεως καὶ ἐξ ἁπάσης ἧς Ἀθηναῖοι ἄρχουσιν, ὑμεῖς δὲ Δημοσθένην, οὐ νομίσαντα τὸ ἐκ Μήδων χρυσίον, ἀλλὰ δωροδοκήσαντα καὶ

---

525) (Ἐντὸς) ἡμερῶν ὀλίγων. 526) Ἐκ τούτου συμπεραίνει ὁ Παλμέριος (**Exerc. ad Aeschin.**) ὅτι ἡ περὶ τοῦ Στεφάνου δίκη ἔγινε τὸ γ'. ἔτος τῆς ἐνεστώσης Ὀλυμπ., ὅτε καὶ μόνον ἐτελοῦντο φείποτε τὰ Πύθια, ὄχι πάντοτε κατὰ τὸν αὐτὸν μῆνα, ὡς ἐπὶ τὸ πλεῖον ὅμως κατὰ τὸν Ἑλαφηβολιῶνα (Φεβρ.—Μάρτ.). 526*) Τὸ Ἀμφικτυονικόν.

527) Μὴ βουλεύσασθε μόνον τοῖς ὠσὶν (ἀκούσαντες τῶν λόγων τοῦ Δημοσθ.), ἀλλὰ καὶ τοῖς ὄμμασι, (καὶ ὡς ἐπεξῆλθ.) διαβλέψαντες εἰς ὑμᾶς αὐτούς. 528) Τῇ ἁρμοδίᾳ περὶ τὰς τοιαύτας διατριβὰς, νέος. 529) Τοὺς πλουσίους, καθὼς τὸν τραπεζίτην Φορμίωνα. 530) (ἐνν.) Βοηθήσετε. Ἐξενεκτέον δὲ, οἶμαι, μᾶλλον κατ' ἐρωτηματικόν. 531) Δύω τὸν ἀριθμὸν, ὧν ἑκάστην ἐπροικοδότησεν ὁ δῆμος τρισχιλίαις δραχμαῖς. 532) Ἐκ Ζελείας (τῆς νῦν Ζήλιας) πόλεως τῆς μικρᾶς Ἀσίας, ὃν ὁ Θεμιστοκλέους εἰπόντος, καθὼς διηγεῖται ὁ Πλούταρχος, ἐκ τοῦτον εἰς τοὺς ἀτίμους, καὶ παῖδας αὐτοῦ καὶ γένος ἐνέγραψεν, ὅτι τὸν ἐκ Μήδων χρυσὸν εἰς τοὺς Ἕλληνας ἐκόμισεν.

ἔτι καὶ νῦν κεκτημένον, χρυσῷ στεφάνῳ μέλλετε στεφανοῦν· Θεμιστοκλέα δὲ καὶ τοὺς ἐν Μαραθῶνι τελευτήσαντας καὶ τοὺς ἐν Πλαταιαῖς καὶ αὐτοὺς τοὺς τάφους τῶν προγόνων οὐκ ἂν οἴεσθε ἀναστενάξαι, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν ἀντιπρᾶξαι στεφανωθήσεται;

Ἐγὼ μὲν οὖν, ὦ Γῆ καὶ Ἥλιε καὶ Ἀρετὴ καὶ Σύνεσις καὶ Παιδεία[553], ἧ διαγιγνώσκομεν τὰ καλὰ καὶ τὰ αἰσχρὰ, βεβοήθηκα καὶ εἴρηκα· καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην· εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην· ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων καὶ ἐκ τῶν παραλελειμμένων αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

---

553) Πικρότατα προσβάλλει τὴν ἐπιφώνησιν ταύτην τοῦ Αἰσχίνου ὁ Δημοσθ. διὰ τῆς ἑξῆς σφοδρᾶς ἀποστροφῆς: « Σοὶ δὲ ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς, τίς μετουσία; ἢ καλῶν ἢ μὴ τοιούτων τίς διάγνωσις:.. Ποῦ δὲ παιδείας σοι θέμις μνησθῆναι, ἧς κτλ. (Ἴδε τὸν περὶ Στεφ. §. ξή.).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γ'. ΔΗΜΟΣΘΕΝΟΥΣ.

Δημοσθένης Δημοσθένους Παιανιεύς[1], ὁ δεινότατος ῥήτωρ τῆς ἀρχαιότητος, ἐγεννήθη τὸ 385 ἔτος π. Χ. (Ὀλ. 98, δ'.), καὶ ἐχρημάτισε μαθητὴς τοῦ Ἰσοκράτους καὶ τοῦ Ἰσαίου. Καθ' ὅλον τὸ διάστημα τῆς ζωῆς του κατεπολέμησε διὰ τοῦ λόγου τοὺς κατακτητὰς Φίλιππον καὶ Ἀλέξανδρον, καὶ ἐπροσπάθησε νὰ διεγείρῃ τὸ θάρρος καὶ τὸν πατριωτισμὸν τῶν Ἀθηναίων. Δειλωθείσης δὲ τῆς πατρίδος τω, κατέφυγεν εἰς Καλαυρίαν (Πόρον), ὅπου ἀπέθανε πιὼν φάρμακον. Ἐκ τῶν λόγων του ἐσώθησαν 61, οἱ μὲν πολιτικοί, οἱ δὲ δικανικοὶ καί τινες ἐπιστολαί.

ΛΟΓΟΣ

Ο ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ

ΥΠΟΘΕΣΙΣ.

Μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, φρουρὰν ἐμβαλόντος τοῦ Φιλίππου εἰς τὰς Θήβας, φοβηθέντες οἱ Ἀθηναῖοι, ἀπεφάσισαν νὰ ἐπισκευάσωσι τὰ τείχη τῆς πόλεώς των, καὶ ἐπὶ τούτῳ διώρισαν δέκα ἄνδρας, ἕνα κατὰ φυλήν, ἐπιμελητὰς τῆς ἐπισκευῆς ταύτης (τειχοποιούς). Εἷς ἐξ αὐτῶν ἐκλεχθεὶς καὶ ὁ Δημοσθένης ὑπὸ τῆς ἑαυτοῦ φυλῆς τῆς Πανδιονίδος, ὄχι μόνον τὴν ἐπιστασίαν ἐξετέλεσεν ἀμέμπτως, ἀλλὰ καὶ χρημάτων προσδεηθεὶς εἰς τὴν ἐπισκευήν, ἐδαπάνησεν ἐξ ἰδίων τρία τάλαντα καὶ οὐ προσελογίσατο τῷ δήμῳ. Τούτου χάριν ὁ Κτησιφῶν, εἷς τῶν πολιτικῶν φίλων τοῦ Δημοσθένους, ἐπρότεινε νὰ στεφανωθῇ ὁ ῥήτωρ χρυσῷ στεφάνῳ ὑπὸ τῆς πόλεως, καὶ τὸ περὶ τούτου ψήφισμα νὰ ἀνακηρυχθῇ ἐν τῷ θεάτρῳ κατὰ τὴν πανήγυριν τῶν Διονυσίων, τραγῳδῶν εἰσαγομένων καινῶν· ὅταν ἦτον δηλονότι ἡ πλειοτέρα συρροὴ εἰς τὸ θέατρον καὶ ξένων καὶ ἐντοπίων. Τὴν πρότασιν ταύτην τοῦ Κτησιφῶντος κατηγόρησεν ὡς παράνομον ὁ ῥήτωρ Αἰσχίνης, ἀντιπολιτευόμενος ἀπ' ἀρχῆς τοῦ Δημοσθένους, προτείνων τρία τινά: Α'. ὅτι ὁ Δημοσθένης, μὴ δοὺς ἀκόμη λόγον τῆς ἀρχῆς (τῆς ἐπιστασίας τῆς τῶν τειχῶν ἐπισκευῆς καὶ τῆς διοικήσεως τῶν θεωρικῶν χρημάτων) ἣν διεχείρισεν, ἦτον ὑπόλογος (ὑπεύθυνος), καὶ ὁ νόμος διέταττεν « ὑπεύθυνον ἀρχὴν μὴ στεφανοῦν »· Β'. ὅτι ἡ ἀναγόρευσις τῶν περὶ στεφανώσεως ψηφισμάτων δὲν ἐπετρέπετο, κατὰ τὸν νόμον, νὰ γένῃ ἀλλοῦ, εἰμὴ τῶν μὲν ὑπὸ τοῦ δήμου στεφανωμένων, ἐν τῇ ἐκκλησίᾳ· τῶν δὲ ὑπὸ τῆς Βουλῆς, ἐν τῷ βουλευτηρίῳ· καὶ Γ'. ὅτι καὶ τοῦ στεφάνου αὐτοῦ ἦτον ἀνάξιος ὁ Δημοσθένης, ὡς οὐ μόνον κακῶς ἀπ' ἀρχῆς πολιτευσάμενος, ἀλλὰ καὶ δωροδοκήσας, καὶ λειποτακτήσας κτλ. Ὁ δὲ νόμος κελεύει μηδέποτε ψευδῆ γράμματα εἰς τὸ Μητρῷον εἰσάγεσθαι. Εἰς τὴν κατηγορίαν ταύτην, εἰσαχθεῖσαν μὲν ἐπὶ Χαιρώνδα ἄρχοντος, ἔτι ζῶντος τοῦ Φιλίππου, καὶ « πρὶν Ἀλέξανδρον εἰς τὴν ἀρχὴν καταστῆναι (παθανῶς περὶ τὴν ῥιά. Ὀλυμπιάδα) », ἀναβληθείσης δὲ τῆς δίκης διὰ παρεμπεσούσας ἄλλας σπουδαιοτέρας ὑποθέσεις, δικασθεῖσαν μετὰ δκτὼ ἔτη τῆς ἐν Χαιρωνείᾳ μάχης, ἐπὶ Ἀριστοφῶντος ἄρχοντος, « Ἀλεξάνδρου ὄντος ἐν Ἰνδοῖς ἢ ἐν Πέρσαις », (τὸ γ'. ἔτος τῆς 112

[1]) Παιανιεύς, δῆμος τῆς Ἀττικῆς, ὀπίσω τοῦ Ὑμηττοῦ.

'Ολυμπ. περὶ τὰ τέλη τοῦ Πυανεψιῶνος, ἡ τὰς ἀρχὰς τοῦ Μαιμακτηριῶνος), ἀπολογεῖται διὰ τοῦ παρόντος λόγου ὁ Δημοσθένης, καὶ ἐνίκησεν οὕτω λαμπρῶς, ὥστε ὁ κατήγορός του, μὴ λαβὼν οὔτε τὸ πέμπτον μέρος τῶν ψήφων, ἐδιάσθη νὰ φύγῃ διὰ παντὸς τὴν πατρίδα του, καὶ νὰ ἐγκαταβιώσῃ διδάσκαλος εἰς τὴν 'Ρόδον. 'Εθεωρήθησαν δὲ πάντοτε ἀμφότεροι οἱ λόγοι οὗτοι (τοὺς ὁποίους μετέφρασε καὶ εἰς τὸ Λατινικὸν ὁ Κικέρων), ὡς ἀριστουργήματα τῆς ῥητορικῆς δεινότητος καὶ τῆς Ἀττικῆς εὐγλωττίας, ἰδίως δὲ περὶ τοῦ λόγου τοῦ Δημοσθένους Διονύσιος ὁ Ἁλικαρνασσεὺς λέγει (ἐν τῷ περὶ συνθέσεως): « Τὸν ὑπὲρ Κτησιφῶντος λόγον » ἐγὼ κράτιστον ἀποφαίνομαι πάντων λόγων ».

ΠΡΩΤΟΝ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι[1] πᾶσι καὶ πάσαις[2], ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ' ὅπερ ἐστὶ μάλιστ' ὑπὲρ ὑμῶν[3] καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν, μὴ[4] τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ[5]· σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε· ἀλλὰ τοὺς νόμους[6] καὶ τὸν ὅρκον, ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις καὶ τοῦτο γέγραπται, τὸ « ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι ». τοῦτο δ'[7] ἐστὶν οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδὲν, οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις ἀποδοῦναι, ἀλλὰ καὶ τῷ τάξει καὶ τῇ ἀπολογίᾳ[8], ὡς βεβούληται καὶ προήρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρήσασθαι.

Πολλὰ μὲν οὖν ἔγωγ' ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα Αἰσχίνου δύο δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα· ἓν μέν, ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι· οὐ γάρ ἐστιν ἴσον νῦν ἐμοὶ τῆς παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν καὶ τούτῳ μὴ ἐλεῖν τὴν γραφήν· ἀλλ' ἐμοὶ μέν.., οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδὲν ἀρχόμενος τοῦ λόγου[9]· οὗτος δ' ἐκ περιουσίας[10] μου κατηγορεῖ· ἕτερον δ', ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὐτοὺς ἄχθεσθαι· τούτων τοίνυν ὃ μέν ἐστι πρὸς ἡδονήν, τούτῳ δέδοται· ὃ δὲ πᾶσιν ὡς ἔπος εἰπεῖν ἐνοχλεῖ, λοιπὸν ἐμοί. κἂν μὲν εὐλαβούμενος τοῦτο μὴ λέγω τὰ πεπραγμένα ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύσασθαι τὰ κατηγορημένα δόξω, οὐδ' ἐφ' οἷς ἀξιῶ

---

[1]) Τινὲς νομίζουν ὅτι εἰς τὴν εἰσβολὴν ταύτην τοῦ λόγου ἔδωκαν ἀφορμὴν εἰς τὸν 'Ρήτορα οἱ ἑξῆς τοῦ Ἀριστοφάνους ('Ιππ. 760) στίχοι·

« Τῇ μὲν δεσποίνῃ Ἀθηναίᾳ, τῇ τῆς πόλεως μεδεούσῃ,
» εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γεγένημαι
» βέλτιστος ἀνὴρ, μετὰ Λυσικλέα κτλ.
» ὥσπερ νυνὶ μηδὲν δράσας δεινὸν ἐν τῷ Πρυτανείῳ ».

[2]) Τὸ Πάσαις συμφωνεῖ ἀττικῶς τῷ Θεοῖς. [3]) Ἄξιον ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας καὶ ὑπολήψεως. [4]) Ὡς ἐπεξήγησις τοῦ Τοῦτο. [5]) Διότι ὁ Αἰσχίνης ἀπῄτησεν ὥστε ἡ ἀπολογία τοῦ Δημοσθένους νὰ γένῃ κατὰ τὴν αὐτὴν τῆς κατηγορίας τάξιν (ἴδε τὴν ὑπόθεσιν), τὸ ὁποῖον ὅμως δὲν συνέφερεν εἰς τὸν Δημοσθένην. [6]) (ἐνν.) Ποιήσασθαι συμβούλους. [7]) Τὸ 'Ομοίως ἀμφοῖν ἀκρ. [8]) Τὸ σχῆμα τοῦτο τοῦ λόγου εἶνε τὸ λεγόμενον Ἐν διὰ δυοῖν, καὶ ἰσοδυναμεῖ τῷ Τῇ τάξει τῇ τῆς ἀπολογίας, ἢ πληρέστερον Τὸ τῇ τάξει ἔν τε τῇ κατηγορίᾳ κἀν τῇ ἀπολογίᾳ, οὕτως ἐᾶσαι χρ., ὥσπερ ἕκαστος κτλ. [9]) Περὶ τῶν ἐσχάτων (περὶ ζωῆς καὶ θανάτου) ὁ κίνδυνος· τὸ σχῆμα Παρασιώπησις. [10]) Ἐν ἀνέσει, εὐκόλως, ἴδε τὸ Δεξ.

τιμᾶσθαι δεικνύναι· ἂν δ' ἐφ' ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι βαδίζω[44], πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ. πειράσομαι μὲν οὖν ὡς μετριώτατα τοῦτο ποιεῖν· ὅτι δ' ἂν τὸ πρᾶγμα αὐτὸ ἀναγκάζῃ, τούτου τὴν αἰτίαν οὗτος ἔστι δίκαιος ἔχειν, ὁ τοιοῦτον ἀγῶνα ἐνστησάμενος. Οἶμαι δ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, πάντας ἂν ὁμολογῆσαι κοινὸν εἶναι τουτονὶ τὸν ἀγῶνα ἐμοὶ καὶ Κτησιφῶντι, καὶ οὐδὲν ἐλάττονος ἄξιον σπουδῆς ἐμοί· πάντων μὲν γὰρ ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπόν, ἄλλως τε κἂν ὑπ' ἐχθροῦ τῷ τοῦτο συμβαίνῃ, μάλιστα δὲ τῆς παρ' ὑμῶν εὐνοίας καὶ φιλανθρωπίας, ὅσῳ περ καὶ τὸ τυγχεῖν τούτων μέγιστόν ἐστι.

Περὶ τούτων δ' ὄντος τουτουὶ τοῦ ἀγῶνος, ἀξιῶ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν ἀκοῦσαί μου περὶ τῶν κατηγορημένων ἀπολογουμένου δικαίως, ὥσπερ οἱ νόμοι κελεύουσιν[45], οὓς ὁ τιθεὶς ἐξ ἀρχῆς Σόλων, εὔνους ὢν ὑμῖν καὶ δημοτικός, οὐ μόνον τῷ γράψαι κυρίους ᾠετο δεῖν εἶναι, ἀλλὰ καὶ τῷ τοὺς δικάζοντας ὑμᾶς ὀμωμοκέναι· οὐκ ἀπιστῶν ὑμῖν, ὡς γ' ἐμοὶ φαίνεται, ἀλλ' ὁρῶν, ὅτι τὰς αἰτίας καὶ τὰς διαβολάς, αἷς ἐκ τοῦ πρότερος λέγειν ὁ διώκων ἰσχύει, οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν, εἰ μὴ τῶν δικαζόντων ἕκαστος ὑμῶν, τὴν πρὸς τοὺς Θεοὺς εὐσέβειαν [διαφυλάττων, καὶ τὰ τοῦ λέγοντος ὑστέρου δίκαια εὐνοϊκῶς προσδέξεται, καὶ παρασχὼν ἑαυτὸν ἴσον καὶ κοινὸν ἀμφοτέροις ἀκροατήν, οὕτω τὴν διάγνωσιν ποιήσεται περὶ ἁπάντων.

Μέλλων δὲ τοῦ τε ἰδίου βίου παντὸς, ὡς ἔοικε, λόγον διδόναι σήμερον καὶ τῶν κοινῇ πεπολιτευμένων, βούλομαι πάλιν τοὺς θεοὺς παρακαλέσαι, καὶ ἐναντίον ὑμῶν εὔχομαι πρῶτον μέν, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ', ὅτι μέλλει συνοίσειν καὶ πρὸς εὐδοξίαν κοινῇ καὶ πρὸς εὐσέβειαν ἑκάστῳ, τοῦτο παραστῆσαι τοὺς θεοὺς πᾶσιν ὑμῖν περὶ ταυτησὶ τῆς γραφῆς γνῶναι.

Εἰ μὲν οὖν περὶ ὧν ἐοίκασε μόνον κατηγόρησεν[46] Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος[47] εὐθὺς ἂν ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον τἄλλα διεξιὼν ἀνήλωκε, καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον εἶναι νομίζω καὶ δίκαιον ἅμα βραχέα, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τούτων πρῶτον εἰπεῖν, ἵνα μηδεὶς ὑμῶν τοῖς ἔξωθεν λόγοις[48] ἠγμένος[49], ἀλλοτριώτερον[50] τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου. Περὶ μὲν δὴ τῶν ἰδίων ὅσα λοιδορούμενος βεβλασφήμηκε περὶ ἐμοῦ, θεάσασθε ὡς ἁπλᾶ καὶ δίκαια λέγω. εἰ μὲν ἴστε με τοιοῦτον, οἷον οὗτος ᾐτιᾶτο, (οὐ γὰρ[51] ἄλλοθί που βεβίωκα ἢ παρ' ὑμῖν·) μηδὲ φωνὴν ἀνάσχησθε, μηδ' εἰ πάντα τὰ κοινὰ ὑπέρευ πεπολίτευμαι, ἀλλ' ἀναστάντες καταψηφίσασθε ἤδη[52]· εἰ δὲ πολλῷ βελτίω τούτου καὶ ἐκ βελτιόνων[53], καὶ μηδενὸς τῶν μετρίων, (ἵνα μὴ-

---

44) Ἐνδιατρίβω, διηγοῦμαι. 45) Ὡς ἐπεξήγησις τοῦ Δικαίως, τὸ ὁποῖον ἀναλογεῖ μὲ τὸ Ὁμοίως τοῦ νόμου. 46) Ὁ μακαρίτης Δουκας ἔγραψε: Κατηγόρει. 47) Τοῦ εἰς τὴν βουλὴν προκαθυποβληθέντος ὑπὸ τοῦ Κτησιφῶντος. 48) Τοῖς ἐκτὸς τοῦ προκειμένου. 49) Προκατειλημμένος. 50) Ἐχθρικῶς τρόπον τινά, τὸ συγκριτικὸν μετριώτερον τοῦ θετικοῦ. 51) Αἰτιολογεῖ τὸ Ἴστε. 52) Ὁποίαν πεποίθησιν ἔπρεπε νὰ ἔχῃ ὁ ῥήτωρ περὶ τῆς περὶ αὐτοῦ ὑπολήψεως τῶν συμπολιτῶν του, ὥστε νὰ ἐκφωνήσῃ τοιαύτην πρόκλησιν!
53) Γονέων καταγόμενον.

δὲν ἐπαχθὲς λέγω[81],) χείρονα καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς[82] ὑπειλήφατε καὶ γιγνώσκετε, τούτῳ μὲν μηδ' ὑπὲρ τῶν ἄλλων πιστεύετε· δῆλον γὰρ ὡς ὁμοίως ἅπαντ' ἐπλάττετο· ἐμοὶ δ', ἣν παρὰ πάντα τὸν χρόνον εὔνοιαν ἐνδέδειγμαι ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον [γεγενημένων], καὶ νυνὶ παράσχεσθε. Κακοήθης δ' ὤν, Αἰσχίνη, τοῦτο[83] παντελῶς εὐήθες ᾠήθης, τοὺς περὶ τῶν πεπραγμένων καὶ πεπολιτευμένων λόγους ἀφέντα με πρὸς τὰς λοιδορίας τὰς παρὰ σοῦ τρέψεσθαι[84]· οὐ δῆτα ποιήσω τοῦτο, οὐχ οὕτω τετύφωμαι[85], ἀλλ' ὑπὲρ μὲν τῶν πεπολιτευμένων, ἃ κατεψεύδου καὶ διέβαλλες, αὐτίκα ἐξετάσω· τῆς δὲ πομπείας[86] ταύτης τῆς ἀναίδην οὑτωσὶ γεγενημένης, ὕστερον, ἂν βουλομένοις ᾖ τούτοις ἀκούειν, μνησθήσομαι.

Τὰ μὲν οὖν κατηγορημένα, πολλὰ καὶ δεινὰ, καὶ περὶ ὧν ἐνίων[87] μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμωρίας· τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὐτὴ[88] ἐχθροῦ μὲν ἐπήρειαν ἔχει, καὶ ὕβριν, καὶ λοιδορίαν, καὶ προπηλακισμὸν ὁμοῦ, καὶ πάντα τὰ τοιαῦτα· τῶν μέν τοι[89] κατηγοριῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔνι τῇ πόλει δίκην ἀξίαν λαβεῖν, οὐδ' ἐγγύς. οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν, οὐδ' ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν· δ[90] οὔτε, μὰ τοὺς Θεούς, ὀρθῶς ἔχον οὔτε πολιτικὸν, οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ' ἐφ' οἷς ἀδικοῦντά με ἐώρα τὴν πόλιν, οὗτοί γε τηλικούτοις ἤλικα νῦν ἐτραγῴδει[91] καὶ διεξῄει, ταῖς ἐκ τῶν νόμων τιμωρίαις παρ' αὐτὰ[92] τἀδικήματα χρῆσθαι, εἰ μὲν εἰσαγγελίας[93] ἄξια πράττοντά με ἐώρα, εἰσαγγέλλοντα καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθιστάντα παρ' ὑμῖν· εἰ δὲ γράφοντα[94] παράνομα, παρανόμων γραφόμενον. οὐ[95] γὰρ ὅπου Κτησιφῶντα μὲν δύναται διώκειν δι' ἐμέ· ἐμὲ δ', εἴπερ ἐξελέγχειν ἐνόμιζεν, αὐτὸν οὐκ ἂν ἐγράψατο. Καὶ μὴν εἴ τι τῶν ἄλλων, ὧν νυνὶ διέβαλλε καὶ διεξῄει, ἢ καὶ ἄλλ' ὁτιοῦν ἀδικοῦντά με ὑμᾶς ἐώρα, εἰσὶ νόμοι περὶ πάντων καὶ ἀγῶνες καὶ κρίσεις καὶ τιμωρίαι, πικρὰ καὶ μεγάλα ἔχουσαι τἀπιτίμια, καὶ τούτοις ἐξῆν αὐτῷ ἅπασι χρῆσθαι κατ' ἐμοῦ καὶ ὀφλίνικα ἐφαίνετο ταῦτα πεποιηκώς, καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς[96] πρὸς ἐμὲ, ὡμολογεῖτο ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ· νῦν δ' ἐκστὰς τῆς ὀρθῆς καὶ

---

81) Ἵνα μὴ εἴπω Ἀρίστων, τὸ ὁποῖον ἤθελε φανῇ φορτικόν. 82) Γονεῖς καὶ συγγενεῖς.
83) Τὸ ἀφέντα με τρέψεσθαι, ἴδε τὴν σημ. Β. 84) Ἀντὶ ἐπιρρήματος. 85) Ἴδε τὸ Λεξ.
86) Λοιδορίας, ὡς καὶ τὸ Πομπεύειν κατωτέρω ἀντὶ τοῦ Λοιδορεῖν, ἀπὸ τῶν εἰς τὰς πομπὰς συνειθιζομένων ὕβρεων, ἴδε καὶ τὴν σημ. 305. 87) Περὶ ἐνίων (ἐξ) ὧν.
88) Καθ' ἑαυτὴν θεωρουμένη, ἐν γένει, ἁπλῶς. 89) Ὅλος οὗτος ὁ παράγραφος περιενεφόηται, καὶ οἱ σχολιασταὶ ἐγέμισαν σελίδας ὁλοκλήρους ἵνα σαφηνίσωσι δῆθεν αὐτόν. Ἐν γένει δὲ, ἰδοὺ τί θέλει νὰ παραστήσῃ ὁ ῥήτωρ. Εἶνε μὲν ἡ τὰ κατηγορημένα πολλὰ ἡ δεινὰ τόσον, ὥστε οὔτε τιμωρίαν ἀξίαν αὐτῶν ἡ πόλις δύναται νὰ ἐπιβάλῃ· ἀλλὰ πολὺ δεινότερος εἶνε ὁ σκοπὸς (ὁ τρόπος) τῆς κατηγορίας· διότι προσπαθεῖ νὰ μοῦ ἀφαιρέσῃ καὶ αὐτὴν τὴν ἀπολογίαν, ὁρίζων τὴν τάξιν αὐτῆς, ὃ οὔτε πολιτικὸν οὔτε δίκαιόν ἐστιν. οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ κτλ. ἀλλ' ἐφ' οἷς ἀδικοῦντά με κτλ. 90) Τὸ Ὃ ἐλλείπει εἰς τὰς τοῦ Ῥεϊσκίου ἐκδόσεις. 91) Γνωστὸν ὅτι ὁ Αἰσχίνης εἶχε χρηματίσῃ ὑποκριτὴς θεάτρου, καὶ εἰς τοῦτο ᾖ ἄλλοῦ τὸν ἐγγίζει συχνὰ ὁ Δημοσθ. 92) Ἀμέσως τότε, τότε κοντὰ ὅτε ἐπράχθησαν· ὅθεν τὸ κοινῶς Πάρυτα. 93) Ἴδε τὸ Λεξ. 94) Δίκαιον ἦν αὐτὸν χρῆσθαι ταῖς τιμωρίαις) γραφόμενον ἐμὲ, γράφοντα παράνομα. 95) Ἡ ἔρευνις πρὸς τὸ ὑπονοούμενον. Ἐρεῖ ὅτι· εἰ δὲ Δύτὸν πρὸς τὸ Ἐμὲ, = ἐμαυτόν. 96) Νομίζω ὅτι πρέπει νὰ διορθωθῇ Δ ὑτοῖς.

δικαίας ὁδοῦ, καὶ φυγὼν τοὺς παρ' αὐτὰ[37] τὰ πράγματα ἐλέγχους, τοσούτοις ὕστερον χρόνοις αἰτίας καὶ σκώμματα καὶ λαοδορίας συμφορήσας ὑποκρίνεται[38]. Εἶτα κατηγορεῖ μὲν ἐμοῦ, κρίνει[39] δὲ τουτονί· καὶ τοῦ μὲν ἀγῶνος ὅλου τὴν πρὸς ἐμὲ ἔχθραν προΐσταται[40], οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπηντηκὼς[41] ἐμοί, τὴν ἑτέρου ζητῶν ἐπιτιμίαν[42] ἀφελέσθαι φαίνεται. Καίτοι πρὸς ἅπασιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἄλλοις δικαίοις, οἷς ἂν εἰπεῖν τις ὑπὲρ Κτησιφῶντος ἔχοι, καὶ τοῦτ' ἐμοιγε δοκεῖ καὶ μάλα εἰκότως ἂν λέγειν, ὅτι τῆς ἡμετέρας ἔχθρας ἡμᾶς ἐκ ἡμῶν αὐτῶν δίκαιον ἦν τὸν ἐξετασμὸν ποιεῖσθαι· οὐ τὸ μὲν πρὸς ἀλλήλους ἀγωνίζεσθαι παραλείπειν, ἑτέρῳ δ' ὅτῳ[43] κακόν τι ζώσομεν ζητεῖν· ὑπερβολὴ γὰρ ἀδικίας τοῦτό γε.

Πάντα μὲν τοίνυν τὰ κατηγορημένα ὁμοίως ἐκ τούτων ἄν τις ἴδοι οὔτε δικαίως οὔτ' ἐπ' ἀληθείας οὐδεμιᾶς εἰρημένα· βούλομαι δὲ καὶ καθ' ἓν ἕκαστον αὐτῶν ἐξετάσαι, καὶ μάλισθ' ὅσα ὑπὲρ τῆς εἰρήνης καὶ τῆς πρεσβείας[44] κατεψεύσατό μου, τὰ πεπραγμένα ἑαυτῷ μετὰ Φιλοκράτους[45] ἀνατιθεὶς ἐμοί. Ἔστι δ' ἀναγκαῖον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσῆκον ἴσως, ὡς κατ' ἐκείνους τοὺς χρόνους εἶχε τὰ πράγματα ἀναμνῆσαι ὑμᾶς, ἵνα πρὸς τὸν ὑπάρχοντα καιρὸν ἕκαστα θεωρῆτε. Τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου[46] οὐ δι' ἐμέ, (οὐ γὰρ δὴ ἔγωγε ἐπολιτευόμην πω τότε·) πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε, ὥστε Φωκέας μὲν βούλεσθαι σωθῆναι, καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες, Θηβαίοις δ', ὁτιοῦν ἂν ἐφῃσθῆναι[47] παθοῦσιν, οὐκ ἀλόγως οὐδ' ἀδίκως αὐτοῖς ὀργιζόμενοι· οἷς γὰρ εὐτυχήκεσαν ἐν Λεύκτροις, οὐ μετρίως ἐκέχρηντο. Ἔπειθ' ἡ Πελοπόννησος ἅπασα διειστήκει[48], καὶ οὔθ' οἱ μισοῦντες Λακεδαιμονίους οὕτως ἴσχυον, ὥστε ἀνελεῖν αὐτούς, οὔθ' οἱ πρότερον δι' ἐκείνων ἄρχοντες[49] κύριοι τῶν πόλεων ἦσαν· ἀλλά τις ἦν ἄκριτος καὶ παρὰ τούτοις καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἔρις καὶ ταραχή. ταῦτα δ' ὁρῶν ὁ Φίλιππος (οὐ γὰρ ἦν ἀφανῆ), τοῖς παρ' ἑκάστοις προδόταις χρήματα ἀναλίσκων, πάντας συνέκρουε καὶ πρὸς αὐτοὺς ἐτάραττεν· εἴτ' ἐν οἷς ἡμάρτανον οἱ ἄλλοι καὶ κακῶς ἐφρόνουν, αὐτὸς παρεσκευάζετο καὶ κατὰ πάντων ἐφύετο[50]. Ὡς δὲ, ταλαιπωρούμενοι τῷ μήκει τοῦ πολέμου οἱ τότε μὲν βαρεῖς νῦν[51] δ' ἀτυχεῖς Θηβαῖοι, φανεροὶ πᾶσιν ἦσαν ἀναγκασθησόμενοι καταφεύγειν ἐφ' ὑμᾶς, ὁ Φίλιππος, ἵνα μὴ τοῦτο γένοιτο μηδὲ συνέλθοιεν

---

37) Παράβαλε τὴν σημ. 32. 38) Ἴδε τὴν σημ. 31. 39) Εἰσάγει εἰς δίκην, ἐγκαλεῖ.
40) Τὸν Κτησιφῶντα. 41) Προτείνει ὡς προφασιν. 42) Συναντηθεὶς μὲ ἐμέ, ἀντιπαραταχθείς. 43) Τιμὴν τὴν ὁποίαν εἶχεν ὡς πολίτης, νὰ τὸν ἀτιμάσῃ. 44) Ἀντὶ Ἕτερον ὅτῳ, κατ' ἐφελκυσμόν. 45) Τῆς πρὸς Φίλιππον, περὶ ἧς οἱ περὶ Παραπρεσβείας λέγοι τῶν ῥητόρων. 46) Ἑνὸς τῶν συμπρεσβευτῶν, Ἀγνωσίᾳ τὸν δῆμον, αἰσχροῦ προδότου, καθὼς φαίνεται ἐκ ἀπὸ τῶν δύο ἀντιδιαφερομένων ῥητόρων τὰς μαρτυρίας, ἐκ ἰδίως ἀπὸ τὸ ἐξῆς χωρίον τοῦ Δημοσθ. ἐν τῷ περὶ Παραπρεσβ. « Τίνα τῶν ἐν τῇ πόλει φήσαιτ' ἂν βδελυρώτατον εἶναι καὶ πλείστης ὀλιγωρίας καὶ ἀναιδείας μεστόν; Οὐδείς, οὐδ' ἂν ἁμαρτών, ὑμῶν ἄλλον εὖ οἶδ' ὅτι φήσειεν ἄν, ἢ Φιλοκράτην ». Οἱ Ἀθηναῖοι τὸν κατεδίκασαν εἰς θάνατον, ὅτι, κατηγορὼς ἀδικεῖν ἑαυτοῦ, τὴν κρίσιν οὐκ ὑπέμεινεν ». 47) Ὁ πόλεμος οὗτος ὁ μεταξὺ Φωκέων καὶ Λοκρῶν ὠνομάσθη καὶ ἱερὸς, διότι ἀφορμὴ αὐτοῦ ὑπῆρξεν ὁ ἐν Δελφοῖς ναὸς τοῦ Ἀπόλλωνος· διήρκεσε δὲ δέκα ἔτη. Ἴδε καὶ τὴν σημ. 276 τοῦ κατὰ Κτησιφ. 48) Ἠσθῆναι ἐπὶ τοῖς Θηβ., προθετικῶς. 49) Ὁ Δογγῖνος θαυμάζει τὴν φράσιν ταύτην. 50) Οἱ καλούμενοι Δεκαδάρχαι, ἴδε τὸν Πανηγυρικὸν τῶν Ἰσοκρ. 51) Ἤδεσαν κατ' ὀλίγον, ὡς τὰ φυτά.

52) Ἐν ἄλλοις **Νυνί**. Διότι εἶχε καταστρέψει τὰς Θήβας ἤδη ὁ Ἀλέξανδρος.

αἱ πόλεις, ὑμῖν μὲν εἰρήνην, ἐκείνοις δὲ βοήθειαν ἐπηγγείλατο. Τί οὖν συνηγωνίσατο αὐτῷ πρὸς τὸ λαθεῖν ὀλίγου δεῖν ὑμᾶς ἑκόντας ἐξαπατωμένους; ἡ τῶν ἄλλων Ἑλλήνων, εἴτε χρὴ κακίαν, εἴτ' ἄγνοιαν, εἴτε καὶ ἀμφότερα ταῦτ' εἰπεῖν, οἳ, πόλεμον συνεχῆ καὶ μακρὸν πολεμούντων ὑμῶν[53], καὶ τοῦτον ὑπὲρ τῶν κοινῇ πᾶσι συμφερόντων (ὡς ἔργῳ φανερὸν γέγονεν[54]), οὔτε χρήμασιν, οὔτε σώμασιν, οὐτ' ἄλλῳ οὐδενὶ τῶν ἁπάντων συνελάμβανον ὑμῖν οἷς καὶ δικαίως καὶ προσηκόντως ὀργιζόμενοι, ἑτοίμως ὑπηκούσατε τῷ Φιλίππῳ.

Ἡ μὲν οὖν τότε συγχωρηθεῖσα εἰρήνη διὰ ταῦτ', οὐ δι' ἐμέ, ὡς οὗτος διέβαλεν, ἐπράχθη· τὰ δὲ τούτων ἀδικήματα καὶ ὠμοδοκήματα ἐν αὐτῇ[55] τῶν νυνὶ παρόντων πραγμάτων, ἂν τις ἐξετάζῃ δικαίως, αἴτια εὑρήσει. Καὶ ταυτὶ πάνθ' ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι καὶ διεξέρχομαι. εἰ γὰρ εἶναί τι δοκοίη τὰ μάλιστα ἐν τούτοις ἀδίκημα, οὐδέν ἐστι ὅπου πρὸς ἐμέ· ἀλλ' ὁ μὲν πρῶτος εἰπὼν καὶ μνησθεὶς περὶ τῆς εἰρήνης, Ἀριστόδημος ἦν ὁ ὑποκριτής· ὁ δ' ἐκδεξάμενος καὶ γράψας, καὶ ἑαυτὸν μετὰ τούτου μισθώσας ἐπὶ ταῦτα, Φιλοκράτης ὁ Ἀγνούσιος, ὁ σός, Αἰσχίνη, κοινωνός, οὐκ ἐμός, οὐδ' ἂν σὺ διαρραγῇς ψευδόμενος· οἱ δὲ συνειπόντες, ὅτου ὅπποτε ἕνεκα (ἐῶ γὰρ τοῦτο γ' ἐν τῷ παρόντι), Εὔβουλος[56] καὶ Κηφισοφῶν[57]· ἐγὼ δ' οὐδὲν οὐδαμοῦ. Ἀλλ' ὅμως, τούτων τοιούτων ὄντων καὶ ἐπ' αὐτῆς τῆς ἀληθείας οὕτω δεικνυμένων, εἰς τοῦθ' ἦκεν ἀναιδείας, ὥστ' ἐτόλμα[58] λέγειν, ὡς ἄρα ἐγὼ, πρὸς τῷ τῆς εἰρήνης αἴτιος γεγενῆσθαι, [ἔτι] καὶ κεκωλυκὼς εἶην τὴν πόλιν μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων[59] αὐτὴν ποιήσασθαι. Εἶτ', ὦ...[60] τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι; ἔστιν ὅπου σὺ παρὼν, τηλικαύτην πρᾶξιν καὶ συμμαχίαν, ἡλίκην νῦν διατραγῴδεις καὶ διεξήεις, ὁρῶν ἀφαιρουμένον με τῆς πόλεως, ἠγανάκτησας, ἢ παρελθὼν ταῦτα, ἃ νυνὶ κατηγορεῖς, ἐδίδαξας καὶ διεξῆλθες; Καὶ μὴν εἰ τὸ κωλῦσαι τὴν τῶν Ἑλλήνων κοινωνίαν ἐπεπράκειν ἐγὼ Φιλίππῳ, σοὶ τὸ μὴ σιγῆσαι λοιπὸν ἦν, ἀλλὰ βοᾶν, καὶ διαμαρτύρεσθαι, καὶ δηλοῦν τουτοισί. Οὐ τοίνυν ἐποίησας οὐδαμοῦ τοῦτο, οὐδ' ἤκουσέ σου ταύτην τὴν φωνὴν οὐδείς· εἰκότως. οὔτε γὰρ ἦν πρεσβεία πρὸς οὐδένας ἀπεσταλμένη τότε τῶν Ἑλλήνων[61], ἀλλὰ πάλαι πάντες ἦσαν ἐξεληλεγμένοι, οὔθ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν. Χωρὶς δὲ τούτων, καὶ διαβάλλει τὴν πόλιν τὰ μέγιστα ἐν οἷς ψεύδεται. εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν Ἕλληνας εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ πρὸς Φίλιππον περὶ εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου[62] πρᾶγμα, οὐ πόλεως ἔργον οὐδὲ χρηστῶν ἀνθρώπων διεπράττεσθε. ἀλλ' οὐκ ἔστι

---

53) Κατὰ τῶν Φωκέων. 54) Διότι νικηθέντων ἐν Χαιρωνείᾳ τῶν Ἀθηναίων, ἐκυρίευσε τῆς Ἑλλάδος ὁ Φίλιππος. 55) Τῇ εἰρήνῃ. 56) Ὄχι ὁ Κωμικὸς ποιητής, ἀλλ' ἕτερος, δημαγωγὸς ἐπιφανέστατος, κατὰ τὸν Ἁρποκρατίωνα. 57) Ὁ Παιανιεύς, εἷς τῶν φίλων καὶ ἑταίρων τοῦ στρατηγοῦ Χάρητος. 58) Ἐν ἄλλοις: Ὥστε τολμᾷ. 59) Ἐκ συμφώνου μετὰ πάντων τῶν Ἑλλ. 60) Τὸ σχῆμα, Ἀποσιώπησις· ἐνδεῖαν δὲ ὀνόματος, καταλλήλου τῇ μοχθηρίᾳ αὐτοῦ, δηλοῖ. 61) Διότι προλαβὼν ὁ Αἰσχίνης εἶπεν, ὅτι ὁ Δημοσθένης, ἐκ συμφώνου μὲ τὸν Φιλοκράτην, κατώρθωσαν «ὅπως μὴ περιμείνητε τοὺς Πρέσβεις, οὓς ἤτε ἐκπεπομφότες, παρακαλοῦντες ἐπὶ Φίλιππον, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων, ἀλλ' ἐξ ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην». 62) Ἴδε σημ. 237 τοῦ Κατὰ Κτησ.φ.

ταῦτα, οὐκ ἔστι. τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθ' ἂν αὐτοὺς[65] ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν· ἀλλ' ἐπὶ τὸν πόλεμον; ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. Οὐκοῦν οὔτε τῆς ἐξ ἀρχῆς εἰρήνης ἡγεμὼν οὐδ' αἴτιος ὢν ἐγὼ φαίνομαι, οὔτε τῶν ἄλλων, ὧν κατεψεύσατό μου, οὐδὲν ἀληθὲς ὂν δείκνυται.

Ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐνταῦθα πάλιν σκέψασθε, τί ἡμῶν ἑκάτερος προείλετο πράττειν. καὶ γὰρ ἐκ τούτων εἴσεσθε, τίς ἦν ὁ Φιλίππῳ πάντα συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν, καὶ τὸ τῇ πόλει συμφέρον ζητῶν. Ἐγὼ μὲν τοίνυν ἔγραψα βουλεύων[66] ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνωνται, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν· οὗτοι δὲ, οὐδὲ γράψαντος ἐμοῦ, ταῦτα ποιεῖν ἠθέλησαν. τί δὲ τοῦτ' ἠδύνατο, ὦ ἄνδρες Ἀθηναῖοι, ἐγὼ διδάξω. Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖστον τὸν μεταξὺ[67] χρόνον γενέσθαι τῶν ὅρκων· ὑμῖν δ' ὡς ἐλάχιστον. διὰ τί; ὅτι ὑμεῖς μὲν οὐκ ἀφ' ἧς ὠμόσατε μόνον ἡμέρας, ἀλλ' ἀφ' ἧς ἠλπίσατε τὴν εἰρήνην ἔσεσθαι, πάσας ἐξελύσασθε τὰς παρασκευὰς τὰς τοῦ πολέμου· ὁ δὲ τοῦτο ἐκ παντὸς τοῦ χρόνου μάλιστα ἐπραγματεύετο, νομίζων, ὅπερ ἦν ἀληθὲς, ὅσα τῆς πόλεως προλάβοι, πρωτοῦ τοὺς ὅρκους ἀποδοῦναι, πάντα ταῦτα βεβαίως ἕξειν· οὐδένα γὰρ τὴν εἰρήνην λύσειν τούτων ἕνεκα. Ἃ ἐγὼ προορώμενος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ λογιζόμενος, τὸ ψήφισμα τοῦτο γράφω, πλεῖν ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ᾖ Φίλιππος, καὶ τοὺς ὅρκους τὴν ταχίστην ἀπολαμβάνειν, ἵν' ἐχόντων τῶν Θρᾳκῶν, τῶν ὑμετέρων συμμάχων, τὰ χωρία ταῦθ', ἃ νῦν[68] οὗτος διέσυρε, τὸ Σέρριον, καὶ τὸ Μύρτιον, καὶ τὴν Ἐργίσκην, οὕτω γίγνοιντ' οἱ ὅρκοι, καὶ μὴ προλαβὼν ἐκεῖνος τοὺς ἐπικαίρους τῶν τόπων κύριος τῆς Θρᾴκης κατασταίη, μηδὲ πολλῶν μὲν χρημάτων, πολλῶν δὲ στρατιωτῶν εὐπορήσας, ἐκ τούτων ῥᾳδίως τοῖς λοιποῖς ἐπιχειροίη πράγμασιν. Εἶτα τοῦτο μὲν οὐχὶ λέγει τὸ ψήφισμα, οὐδ' ἀναγινώσκει· εἰ δὲ βουλεύων ἐγὼ προσάγειν[67] τοὺς πρέσβεις ᾤμην δεῖν, τοῦτό μου διαβάλλει. Ἀλλὰ τί ἐχρῆν με ποιεῖν; μὴ προσάγειν γράψαι[68] τοὺς ἐπὶ τοῦθ' ἥκοντας, ἵν' ὑμῖν διαλεχθῶσιν; ἢ θέαν[69] μὴ κατανεῖμαι τὸν ἀρχιτέκτανα[70] αὐτοῖς κελεῦσαι; ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἄν, εἰ μὴ τοῦτ' ἐγράφη[71]. τὰ μικρὰ συμφέροντα τῆς πόλεως ἔδει με φυλάττειν, τὰ δ' ὅλα, ὥσπερ οὗτοι, πεπρακέναι [Φιλίππῳ]; οὐ δῆπου. Λέγε τοίνυν τὸ ψήφισμα τουτὶ λαβὼν, ὃ σαφῶς οὗτος εἰδὼς παρέβη[72]. λέγε.

ΨΗΦΙΣΜΑ.

α Ἐπὶ ἄρχοντος Μνησιφίλου[73], Ἑκατομβαιῶνος ἑνῇ καὶ νέᾳ[74], φυλῆς πρυ-

---

65) Τοὺς Ἕλληνας. 66) Βουλευτὴς ὤν. 67) Μεταξὺ τῆς εἰρήνης καὶ τῶν ὅρκων.
68) Τώρα, πρὸ ὀλίγου. Ἴδε Αἰσχ. κατὰ Κτησιφ. σημ. 153, 154, 155. 67) Νὰ παρεισαθῶσιν εἰς ὑμᾶς. Τρεῖς δὲ ἦσαν οἱ πρέσβεις οὗτοι· Παρμενίων, Ἀντίπατρος καὶ Εὐρύλοχος.
68) Μὴ γράψαι προσάγειν. 69) Τόπον ἵνα θεωρήσωσιν. 70) Τὸν ἐπιστάτην τῶν δημοσίων κτιρίων. 71) Πληρώνοντες τοὺς δύο ὀβολούς. 72) Δὲν τὸ ἀνέφερε, τὸ παρεσιώπησε.
73) Μνησίφιλος ἄρχων δὲν ἀναφέρεται τοῦτο τὸ ἔτος εἰς τὰς ἀναγραφὰς τῶν Ὀλυμπιάδων, ἀλλὰ Θεόφιλος· Μνησίφιλος δὲ ἀναφέρεται κατοπιν εἰς ἄλλο ψήφισμα· ἀλλ' ἴδε περὶ τούτου τὴν 57 σημ. τοῦ κατὰ Κτησιφ. 74) Ὅ ἐστι, τῇ τελευταίᾳ τοῦ λήγοντος καὶ πρώτῃ

» ταγευούσης Πανδιονίδος, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν· Ἐπειδὴ » Φίλιππος ἀποστείλας πρέσβεις περὶ τῆς εἰρήνης ὁμολογουμένας πεποίηται » συνθήκας πρὸς τὸν Ἀθηναίων δῆμον, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν » Ἀθηναίων, ὅπως ἂν ἡ εἰρήνη ἐπιτελεσθῇ, ἡ ἐπιχειροτονηθεῖσα ἐν τῇ πρώ- » τῃ ἐκκλησίᾳ, πρέσβεις ἑλέσθαι ἐκ πάντων Ἀθηναίων ἤδη πέντε· τοὺς δὲ » χειροτονηθέντας ἀποδημεῖν, μηδεμίαν ἀναβολὴν ποιουμένους, ὅπου ἂν ὄντα » πυνθάνωνται τὸν Φίλιππον, καὶ τοὺς ὅρκους λαβεῖν τε παρ' αὐτοῦ καὶ δοῦ- » ναι τὴν ταχίστην ἐπὶ ταῖς ὡμολογημέναις συνθήκαις αὐτῷ πρὸς τὸν Ἀθη- » ναίων δῆμον, συμπεριλαμβάνοντας καὶ τοὺς ἑκατέρων συμμάχους. Πρέ- » σβεις ἠρέθησαν Εὔβουλος Ἀναφλύστιος, Αἰσχίνης Ἀτρομήτου Κοθωκίδης, » Κηφισοφῶν Ῥαμνούσιος, Δημοκράτης Φλυεύς, Κλέων Κοθωκίδης ».

Ταῦτα γράψαντος ἐμοῦ τότε, καὶ τὸ τῇ πόλει συμφέρον, οὐ τὸ Φιλίππῳ ζητοῦντος, βραχὺ φροντίσαντες οἱ χρηστοὶ πρέσβεις οὗτοι, καθῆντο[75] ἐν Μακεδονίᾳ τρεῖς ὅλους[75a] μῆνας, ἕως ἦλθε Φίλιππος ἐκ Θράκης, πάντα καταστρεψάμενος τἀκεῖ, ἐξὸν ἡμερῶν δέκα, μᾶλλον δὲ τριῶν ἢ τεττάρων, εἰς τὸν Ἑλλήσποντον ἀφῖχθαι, καὶ τὰ χωρία σῶσαι, λαβόντας τοὺς ὅρκους πρὶν ἐκεῖνον ἐξελεῖν αὐτά. οὐ γὰρ ἂν ἦψατ' αὐτῶν, παόντων ἡμῶν, ἢ[76] οὐκ ἂν ὠρκίζομεν αὐτόν· ὥστε τῆς εἰρήνης ἂν διημαρτήκει, καὶ οὐκ ἂν ἀμφότερα εἶχε, καὶ τὴν εἰρήνην καὶ τὰ χωρία. Τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα[77] μὲν Φιλίππου, ὠροδόκημα δὲ τῶν ἀδίκων τούτων ἀνθρώπων καὶ Θεοῖς ἐχθρῶν, τοιοῦτον ἐγένετο, ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ πολεμεῖν καὶ διαφέρεσθαι τουτοισί.

Ἕτερον δ' εὐθὺς ἐφεξῆς ἔτι τούτου μεῖζον κακούργημα θεάσασθε. Ἐπειδὴ γὰρ ὥμοσε τὴν εἰρήνην ὁ Φίλιππος ἕξειν[78], προλαβὼν τὴν Θράκην διὰ τού-

---

τοῦ ἀρχομένου, ταὐτὸν εἰπεῖν καθ' ἡμᾶς, τῇ τριακοστῇ. [75]) Καθῆντο κάλλιον ἢ Ἐκάθηντο, λέγει ὁ Θ. Μ. [75a]) Κατ' ἀκριβῆ ὑπολογισμόν, παρατηρεῖ Εἰκέντιος ὁ Κονταρῖνος (Variarum lectionum libro p. 83.), μόνον δύο μῆνας καὶ δέκα ἡμέρας· καὶ ἰδοὺ πρῶτον ἡ τάξις τῶν Ἀττικῶν μηνῶν.

ά. Ἑκατομβαιών.	ε. Πυανεψιών.	θ'. Ἐλαφηβολιών.
β'. Μεταγειτνιών.	ς'. Ἀνθεστηριών.	ι. Μουνυχιών.
γ'. Βοηδρομιών.	ζ'. Ποσειδεών.	ιά. Θαργηλιών.
δ'. Μαιμακτηριών.	η. Γαμηλιών.	ιβ'. Σκιροφοριών.

Ἐπειδὴ λοιπὸν τῇ μὲν ι΄. τοῦ Ἐλαφηβολιῶνος ἔγινεν ἡ εἰρήνη· οἱ δὲ ἐπὶ τοὺς ὅρκους πρέσβεις, διατρίψαντες ὅλον τοῦτον τὸν μῆνα εἰς Ἀθήνας, δὲν ἐξώρμησαν εἰ μὴ περὶ τὰς 3 τοῦ ἑπομένου (Μουνυχιῶνος τρίτῃ ἰσταμένου), καθὼς τὸ ἀποδεικνύει ὁ Αἰσχίνης ἀπὸ τὸ περὶ τούτου ψήφισμα· ὑπέστρεψαν δὲ τῇ 13 τοῦ Σκιροφοριῶνος, καὶ τῇ 16 τοῦ αὐτοῦ (μετὰ τρεῖς δηλ. ἡμέρας), ἀπήγγειλαν τὰ κατὰ τὴν πρεσβείαν· τῇ δὲ 23 τοῦ αὐτοῦ κατεστράφησαν ὑπὸ τοῦ Φιλίππου οἱ Φωκεῖς· συνάγονται, ἀπὸ τῶν 3 τοῦ Μουνυχ. ἄχρι τῶν 13 τοῦ Σκιροφορ., 69 μόναι ἡμέραι, καὶ ὄχι 89. Τὸ ἴδιον παρατηρεῖται καὶ εἰς τὸν περὶ Παραπρεσβ. λόγον, ὅπου ἐπίσης διατείνεται ὁ Δημοσθ. ὅτι, » Τῆς εἰρήνης ἤδη γεγονυίας, καὶ τῆς Χερρονήσου ἁπάσης οὔσης, τέτταρας μῆνας ὅλους ἐσώζοντο οἱ Φωκεῖς τοὺς ὕστερον «· ἐν ᾧ ἀπὸ τῶν 19 τοῦ Ἐλαφηβολ., ὅτε ἔγινεν, ὡς εἴπομεν, ἡ εἰρήνη, μέχρι τῆς 13 τοῦ Σκιροφορ. ὅτε ἐκυρίευσε τὰς τῶν Φωκέων πόλεις ὁ Φίλιπ., δὲν εἶνε εἰμὴ τρεῖς μόνον μῆνες καὶ τέσσαρες ἡμέραι. Ἡ λοιπὸν, λέγει ὁ ῥηθεὶς σχολ., πρέπει νὰ ὑποθέσωμεν ὅτι τὸ Ὅλους ἰσοδυναμεῖ μὲ τὸ Μάλιστα=Ὡς ἔγγιστα· ἢ ἀληθεύει ἐκεῖν' ὅπερ λέγει ὁ Αἰσχ. περὶ τοῦ Δημοσθ. (ἐν τῷ περὶ Παραπρεσβ.), ὅτι » καὶ τοῦ βουλευτηρίου, καὶ τῶν δημοσίων γραμμάτων, καὶ τοῦ χρόνου, καὶ τῶν ἐκκλησιῶν κατατρίβεται «, ἀδεία πάντως ῥητορικῇ. [76]) Ἐὰν ἥπτετο. [77]) Κλέπτου ἴδιον χρατήγημα. [78]) Ὑποπτος ἡ λέξις· ὀθεν

τους τοὺς οὐχὶ πεισθέντας τῷ ἐμῷ ψηφίσματι, πάλιν ὠνεῖται παρ' αὐτῶν, ὅπως μὴ ἀπίωσιν ἐκ Μακεδονίας, ἕως ἂν τὰ τῆς στρατείας τῆς ἐπὶ τοὺς Φωκέας εὐτρεπῆ ποιήσαιτο, ἵνα μή, ὅεὖρ' ἀπαγγελλόντων ἡμῶν ὅτι μέλλει καὶ παρασκευάζεται πορεύεσθαι, ἐξέλθοιτε ὑμεῖς καὶ περιπλεύσαντες ταῖς τριήρεσιν εἰς Πύλας, ὥσπερ πρότερον, κλείσαιτε τὸν παρθμόν[79]· ἀλλ' ἅμ' ἀκούοιτε ταῦτα ἀπαγγελλόντων ἡμῶν, κἀκεῖνος ἐντὸς εἴη Πυλῶν, καὶ μηδὲν ἔχοιθ' ὑμεῖς ποιῆσαι. Οὕτω δ' ἦν ὁ Φίλιππος ἐν φόβῳ καὶ πολλῇ ἀγωνίᾳ, μὴ καὶ ταῦτα προειλῆφότος αὐτοῦ, πρὸ τοῦ τοὺς Φωκέας ἀπολέσθαι, ἀκούσαντες ψηφίσαισθε βοηθεῖν αὐτοῖς, καὶ ἐκφύγοι τὰ πράγματ' αὐτόν, ὥστε πάλιν μισθοῦται τὸν κατάπτυστον τουτονί, οὐκέτι κοινῇ μετὰ τῶν ἄλλων πρέσβεων, ἀλλ' ἰδίᾳ καθ' αὑτόν, τοιαῦτα πρὸς ὑμᾶς εἰπεῖν καὶ ἀπαγγεῖλαι, δι' ὧν ἅπαντ' ἀπώλετο.

Ἀξιῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δέομαι τοῦτο μεμνῆσθαι ὑμᾶς παρ' ὅλον τὸν ἀγῶνα, ὅτι μὴ κατηγορήσαντος[80] Αἰσχίνου μηδὲν ἔξω τῆς γραφῆς, οὐδ' ἂν ἐγὼ λόγον οὐδένα ἐποιούμην ἕτερον· ἁπάσαις δ' αἰτίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένου, ἀνάγκη κἀμοὶ πρὸς ἕκαστα τῶν κατηγορημένων μικρὰ ἀποκρίνεσθαι[81]. Τίνες οὖν ἦσαν οἱ παρὰ τούτου λόγοι τότε ῥηθέντες, καὶ δι' οὓς ἅπαντ' ἀπώλετο; ὡς οὐ δεῖ θορυβεῖσθαι τῷ παρεληλυθέναι Φίλιππον εἴσω Πυλῶν· ἔσται γὰρ ἅπανθ', ὅσα βούλεσθ' ὑμεῖς, ἐὰν ἄγηθ' ἡσυχίαν· καὶ ἀκούσεσθε δυοῖν ἢ τριῶν ἡμερῶν, οἷς μὲν ἐχθρὸς ἥκει[82], φίλον αὐτὸν γεγενημένον, οἷς δὲ φίλος[83], τοὐναντίον ἐχθρόν. οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας, ἔφη, βεβαιοῦν, μάλα σεμνῶς ὀνομάζων[84], ἀλλὰ τὸ ταὐτὰ συμφέρειν· συμφέρειν δὲ Φιλίππῳ καὶ Φωκεῦσι καὶ ὑμῖν ὁμοίως ἅπασι, τῆς ἀναλγησίας[85] καὶ τῆς βαρύτητος ἀπαλλαγῆναι τῆς τῶν Θηβαίων. ταῦτα δ' ἀσμένως τινὲς ἤκουον αὐτοῦ, διὰ τὴν τοῦ' ὑποῦσαν ἀπέχθειαν πρὸς τοὺς Θηβαίους. Τί οὖν συνέβη μετὰ ταῦτα; εὐθὺς οὐκ εἰς μακρὰν τοὺς μὲν ταλαιπώρους Φωκέας ἀπολέσθαι, καὶ κατασκαφῆναι τὰς πόλεις αὐτῶν, ὑμᾶς δ' ἡσυχίαν ἄγοντας, καὶ τούτῳ πεισθέντας, μικρὸν ὕστερον σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν, τοῦτον δὲ χρυσίον λαβεῖν· καὶ ἔτι πρὸς τούτοις τὴν μὲν ἀπέχθειαν τὴν πρὸς τοὺς Θηβαίους καὶ Θετταλοὺς τῇ πόλει γεγενῆσθαι, τὴν δὲ χάριν τὴν ὑπὲρ τῶν πεπραγμένων, Φιλίππῳ[86]. Ὅτι δ' οὕτω ταῦτ' ἔχει, λέγε μοι τό, τε τοῦ Καλλισθένους ψήφισμα, καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, ἐξ ὧν ἀμφοτέρων ταῦθ' ἅπανθ' ὑμῖν ἔσται φανερά· λέγε.

ΨΗΦΙΣΜΑ.

α Ἐπὶ Μνησιφίλου[87] ἄρχοντος, συγκλήτου[88] ἐκκλησίας ὑπὸ στρατηγῶν γενομένης, καὶ πρυτάνεων καὶ βουλῆς γνώμῃ, Μαιμακτηριῶνος δεκάτῃ ἀπιόν-

---

ἐν ἑνίοις μὲν παρελείφθη, ἐν ἄλλοις δὲ περιεκλείσθη, ἢ παρ' ἄλλων διωρθώθη. Ἐξ ἧς ἔχει προλαβών «. 79) Τὸ στενὸν τῆς Εὐβοίας, ἤτον δὲ ἡ ἐπίνειον τῆς Ἐρετρίας. « ὁμώνυμον αὐτῷ, τὸ ὁποῖον κατέσκαψεν ὁ Φίλιππος. 80) Ὑποθετικὴ, ἐὰν δέν. 81) Ἐν ἄλλοις ὀρθότερον Ἀποκρίνασθαι. 82) Τοῖς Φωκεῦσι. 83) Τοῖς Θηβαίοις. 84) Σεμνῇ λέξει χρώμενος τῇ Οἰκειότητας. 85) Ἀναισθησίας, ἀνοησίας. Καὶ κατόπιν δὲ ἐρεῖ: Οἱ ἀναίσθητοι Θηβαῖοι. 86) Ὥστε οἱ Θηβαῖοι καὶ Θετταλοὶ τὴν μὲν πόλιν (τὰς Ἀθήνας) νὰ λάβωσιν εἰς ἀπέχθειαν, διότι ἤθελε καὶ ἤλπιζε τὴν σωτηρίαν τῶν Φωκέων· εἰς δὲ τὸν Φίλιππον νὰ γνωρίζωσι χάριν, διότι κατέστρεψε τοὺς Φωκεῖς. 87) Ἴδε τὴν 73 σημ. 88) Ἐκτάκτου.

» τος[89], Καλλισθένης Ἐτεονίκου Φαληρεὺς εἶπε· Μηδένα Ἀθηναίων μηδεμιᾷ
» παρευρέσει[90] ἐν τῇ χώρᾳ κοιταῖον γίγνεσθαι[91], ἀλλ' ἐν ἄστει καὶ Πειραιεῖ,
» ὅσοι μὴ ἐν τοῖς φρουρίοις[92] εἰσὶν ἀποτεταγμένοι. τούτων δ' ἑκάστους, ἣν
» παρέλαβον τάξιν διατηρεῖν, μήτε ἀφημερεύοντας, μήτε ἀποκοιτοῦντας[93].
» ὃς δ' ἂν ἀπειθήσῃ τῷδε τῷ ψηφίσματι, ἔνοχος ἔστω τοῖς τῆς προδοσίας
» ἐπιτιμίοις, ἐὰν μή τι ἀδύνατον[94] ἐπιδείκνυῃ περὶ ἑαυτὸν ὃν· περὶ δὲ τῶν
» ἀδυνάτων ἐπικρινέτω ὁ ἐπὶ τῶν ὅπλων[95] στρατηγός, καὶ ὁ ἐπὶ τῆς διοικήσεως[96], καὶ ὁ γραμματεὺς τῆς βουλῆς. κατακομίζειν δὲ καὶ τὰ ἐκ τῶν
» ἀγρῶν πάντα τὴν ταχίστην, τὰ μὲν ἐντὸς σταδίων ἑκατὸν εἴκοσιν, εἰς ἄστυ
» καὶ Πειραιᾶ, τὰ δὲ ἐκτὸς σταδίων ἑκατὸν εἴκοσιν εἰς Ἐλευσῖνα καὶ Φυλὴν
» καὶ Ἀφιδναν καὶ Ῥαμνοῦντα καὶ Σούνιον. Εἶπε Καλλισθένης Φαληρεύς ».

Ἆρ' ἐπὶ ταύταις ταῖς ἐλπίσι τὴν εἰρήνην ἐποιεῖσθε, ἢ ταῦτ' ἐπηγγέλλεθ' ὑμῖν οὗτος ὁ μισθωτός; Λέγε δ' αὖ τὴν ἐπιστολήν, ἣν δεῦρ' ἔπεμψε Φίλιππος μετὰ ταῦτα.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

« Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ Βουλῇ καὶ τῷ Δήμῳ χαίρειν. Ἴσε ἡμᾶς παρεληλυθότας εἴσω Πυλῶν καὶ τὰ κατὰ τὴν Φωκίδα ὑφ' ἑαυτοὺς πεποιημένους· καὶ ὅσα[97] μὲν ἑκουσίως προσετίθετο τῶν πολισμάτων, φρουρὰς εἰσαγηγοχότας, τὰ δὲ μὴ ὑπακούοντα κατὰ κράτος λαβόντες καὶ ἐξανδραποδισάμενοι, κατεσκάψαμεν. Ἀκούων δὲ ὑμᾶς παρασκευάζεσθαι βοηθεῖν αὐτοῖς, γέγραφα ὑμῖν, ἵνα μὴ ἐπὶ πλεῖον ἐνοχλῆσθε περὶ τούτων. τοῖς μὲν γὰρ ὅλοις[98] οὐδὲν[99] μέτριόν μοι δοκεῖτε ποιεῖν, τὴν εἰρήνην συνθέμενοι, καὶ ὁμοίως ἀντιπαρεξάγοντες[100], καὶ ταῦτα οὐδὲ συμπεριειλημμένων τῶν Φωκέων ἐν ταῖς κοιναῖς ἡμῶν συνθήκαις, ὥστε, ἐὰν μὴ ἐμμένητε τοῖς ὡμολογημένοις, οὐδὲν προτερήσετε ἔξω[101] τοῦ ἐφθακέναι ἀδικοῦντες ».

Ἀκούετε, ὡς σαφῶς δηλοῖ καὶ διορίζεται ἐν τῇ πρὸς ὑμᾶς ἐπιστολῇ πρὸς τοὺς ἑαυτοῦ συμμάχους, ὅτι ταῦτα ἐγὼ πεποίηκα, ἀκόντων Ἀθηναίων, καὶ λυπουμένων· ὥστ' εἴπερ εὖ φρονεῖτε, ὦ Θηβαῖοι καὶ Θετταλοί, τούτους μὲν[102] ἐχθροὺς ὑπολήψεσθε, ἐμοὶ δὲ πιστεύσετε· οὐ τούτοις τοῖς ῥήμασι γράψας, ταῦτα δὲ βουλόμενος δεικνύναι. Τοιγαροῦν ἐκ τούτων ᾤχετο ἐκείνους λαβὼν εἰς τὸ[103] μηδοτιοῦν τῶν μετὰ ταῦτα προορᾶν μηδ' αἰσθάνεσθαι, ἀλλ' ἔᾶσαι πάντα τὰ πράγματα ἐκεῖνον ὑφ' ἑαυτῷ ποιήσασθαι· ἐξ ὧν ταῖς παρούσαις συμφοραῖς οἱ ταλαίπωροι Θηβαῖοι κέχρηνται. Ὁ δὲ ταύτης τῆς πίστεως[104] αὐτῷ συνεργὸς καὶ συναγωνιστής, καὶ ὁ δεῦρ' ἀπαγγείλας τὰ ψευδῆ καὶ φενακίσας ὑμᾶς οὗτός ἐστιν, ὁ τὰ Θηβαίων

---

89) = Φθίνοπος, δηλ. τῇ 21: 90) Προφάσει. 91) Ἐν τοῖς ἀγροῖς κοιμᾶσθαι.
92) Τοῖς ἐν τῇ χώρᾳ, τὰ ὁποῖα ἀναφέρονται εἰς τὸ τέλος τοῦ ψηφίσματος.
93) Μὴ μακρυνομένους μήτε ἡμέραν μήτε νύκτα τῆς θέσεώς των. 94) Ὑπερβαῖνον τὴν δύναμίν του, ἀπρόοπτον, 95) Τῶν ὁπλιτῶν, τοῦ πεζικοῦ, ἴδε καὶ σημ. 227. 96) Ὁ ἐπὶ τῆς οἰκονομίας (ὁ ταμίας) τοῦ στρατοῦ, ἴδε καὶ σημ. 60 τοῦ κατὰ Κτησιφ. τοῦ Αἰσχ.
97) (Εἰς ἐκεῖνα μὲν) ὅσα. 98) Ἐν γένει, τὰ σύνολον εἰπεῖν. 99) Ἐν ἄλλοις δηθότερον: Οὐδέ. 100) Παραβαίνοντες αὐτήν. 101) Κατορθώσετε. 102) Τοὺς Ἀθηναίους. 103) = Ὥστε.
104) Τοῖς τῶν Θηβαίων καὶ Θετταλῶν πρὸς αὐτον.

ὀδυρόμενος ὧν πάθη καὶ διεξιὼν ὡς οἰκτρὰ[105]. καὶ τούτων, καὶ τῶν ἐν Φωκεῦσι κακῶν, καὶ ὅσ' ἄλλα πεπόνθασιν οἱ Ἕλληνες, ἁπάντων αὐτὸς ὢν αἴτιος. Δῆλον γὰρ, ὅτι σὺ μὲν ἀλγεῖς[106] ἐπὶ τοῖς συμβεβηκόσιν, Αἰσχίνη, καὶ τοὺς Θηβαίους ἐλεεῖς, κτήματ' ἔχων ἐν τῇ Βοιωτίᾳ, καὶ γεωργῶν τὰ ἐκείνων· ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐξητούμην ὑπὸ τοῦ ταῦτα πράξαντος[107].

Ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους, οὓς αὐτίκα μᾶλλον ἁρμόσει λέγειν ἴσως. Ἐπάνειμι δὴ πάλιν ἐπὶ τὰς ἀποδείξεις, ὡς τὰ τούτων δωροδοκήματα καὶ ἀδικήματα τῶν νυνὶ παρόντων πραγμάτων γέγονεν αἴτια. Ἐπειδὴ γὰρ ἐξηπάτησθε μὲν ὑμεῖς ὑπὸ τοῦ Φιλίππου διὰ τούτων, τῶν ἐν ταῖς πρεσβείαις μισθωσάντων ἑαυτούς, καὶ οὐδὲν ἀληθὲς ὑμῖν ἀπαγγειλάντων, ἐξηπάτηντο δὲ οἱ ταλαίπωροι Φωκεῖς καὶ ἀνῄρηντο αἱ πόλεις αὐτῶν, τί ἐγένετο; οἱ μὲν κατάπτυστοι Θετταλοὶ καὶ ἀναίσθητοι Θηβαῖοι[85] φίλον, εὐεργέτην, σωτῆρα τὸν Φίλιππον ἡγοῦντο, πάντ' ἐκεῖνος ἦν αὐτοῖς, καὶ οὐδὲ φωνὴν ἤκουον, εἴ τις ἄλλο τι βούλοιτο λέγειν· ὑμεῖς δὲ, ὑφορώμενοι τὰ πεπραγμένα καὶ δυσχεραίνοντες, ἤγετε τὴν εἰρήνην ὅμως· οὐ γὰρ ἦν ὅ,τι ἂν ἐποιεῖτε μόνοι· καὶ οἱ ἄλλοι δὲ Ἕλληνες, ὁμοίως ὑμῖν πεφενακισμένοι, καὶ διημαρτηκότες ὧν ἤλπισαν, ἦγον τὴν εἰρήνην ἄσμενοι, καὶ αὐτοὶ τρόπον τινὰ ἐκ πολλοῦ πολεμούμενοι. ὅτε γὰρ περιῆν ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλοὺς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖθ' ὑφ' ἑαυτῷ, καὶ τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ[108] βαδίζοντες ἐκεῖσε[109] διεφθείροντο, ὧν εἷς οὗτος ἦν· τότε δὴ, τότε πάντες, ἐφ' οἷς ταῦτα παρεσκευάζετ' ἐκεῖνος, ἐπολεμοῦντο· εἰ δὲ μὴ ἠσθάνοντο, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ. ἐγὼ μὲν γὰρ προὔλεγον καὶ διεμαρτυρόμην, καὶ παρ' ὑμῖν ἀεί, καὶ ὅποι πεμφθείην· αἱ δὲ πόλεις ἐνόσουν, τῶν μὲν, ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν δωροδοκούντων καὶ διαφθειρομένων ἐπὶ χρήμασι, τῶν δὲ ἰδιωτῶν καὶ πολλῶν, τὰ μὲν οὐ προορωμένων, τὰ δὲ τῇ καθ' ἡμέραν ῥᾳστώνῃ καὶ σχολῇ δελεαζομένων, καὶ τοιουτονί τι πάθος[110] πεπονθότων ἁπάντων, πλὴν οὐκ ἐφ' ἑαυτοὺς ἑκάστων οἰομένων τὸ δεινὸν ἥξειν, ἀλλὰ διὰ τῶν ἑτέρων κινδύνων τὰ ἑαυτῶν ἀσφαλῶς σχήσειν ὑπολαμβανόντων, ὅταν βούλωνται. εἶτ', οἶμαι, συμβέβηκε τοῖς μὲν πλήθεσιν, ἀντὶ τῆς πολλῆς καὶ ἀκαίρου ῥαθυμίας, τὴν ἐλευθερίαν ἀπολωλεκέναι· τοῖς δὲ προεστηκόσι καὶ τἆλλα, πλὴν ἑαυτούς, οἰομένοις πωλεῖν, πρώτους ἑαυτοὺς πεπρακόσιν ἡσθῆσθαι. ἀντὶ γὰρ φίλων καὶ ξένων, ἃ τότε ὠνομάζοντο, ἡνίκα ἐδωροδόκουν, νῦν κόλακες καὶ θεοῖς ἐχθροὶ καὶ τἆλλα, ἃ προσήκει, πάντ' ἀκούουσιν· εἰκότως.

Οὐδεὶς γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τοῦ προδιδόντος συμφέρον ζητῶν χρήματ' ἀναλίσκει· οὐδ' ἐπειδὰν ὧν ἂν πρίηται κύριος γένηται, τῷ προ-

---

105) Ἴδε ἐν τῷ κατὰ Κτησιφ. §. μά. 106) Εἰρωνεία τὸ σχῆμα. 107) Τοῦ Ἀλεξάνδρου τοῦ κατασκάψαντος τὰς Θήβας, ἴδε Ἀρρ. Α', ά, 7. 107*) Σαφέστερον ἐκτίθεται τὰ περὶ τούτου ἐν τῷ περὶ Παραπρεσβ. διὰ τῶν ἑξῆς· « Ἐν τῇ τῶν ἀπολωλότων χώρᾳ συμμάχων, κτήματα καὶ γεωργίαι παμπληθεῖς (γεγόνασι τοῖς ταῦτα πράξασιν, . . ἔχθραι πρόσοδον τούτῳ Αἰσχίνῃ τριάκοντα μνᾶς ». 108) Πληρεξούσιοι περὶ εἰρήνης· ἢ Ἐξουσίαν ἔχοντες πορεύεσθαι, διότι ἦτον εἰρήνη. 109) Ὅπου ἦν ὁ Φίλιππος. 110) Ὁποῖον εἰρήκεται· οἰομένων δηλ. ἑκάστων ἥξειν μὲν τὸ δεινὸν, πλὴν οὐκ ἐφ' ἑαυτοὺς· ὑπολαμβανόντων δὲ κτλ.

δότῃ συμβούλῳ περὶ τῶν λοιπῶν ἔτι χρῆται. οὐδὲν γὰρ ἂν ἦν εὐδαιμονέστερον προδότου. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· πόθεν; πολλοῦ γε καὶ δεῖ. ἀλλ' ἐπειδὰν τῶν πραγμάτων ἐγκρατὴς ὁ ζητῶν ἄρχειν καταστῇ, καὶ τῶν ταῦτα ἀποδομένων δεσπότης ἐστί· τὴν δὲ πονηρίαν εἰδὼς, τότε δὴ, τότε καὶ μισεῖ καὶ ἀπιστεῖ καὶ προπηλακίζει. Σκοπεῖτε δὲ· καὶ γὰρ, εἰ παρελήλυθεν ὁ τῶν πραγμάτων καιρός, ὁ τοῦ γε εἰδέναι τὰ τοιαῦτα καιρὸς ἀεὶ πάρεστι τοῖς εὖ φρονοῦσι. μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου, ἕως προὔδωκεν Ὄλυνθον· μέχρι τούτου Τιμόλαος, ἕως ἀπώλεσε Θήβας· μέχρι τούτου Εὔβοικος καὶ Σῖμος οἱ Λαρισσαῖοι, ἕως Θετταλίαν ὑπὸ Φιλίππῳ ἐποίησαν. εἶτ' ἐλαυνομένων καὶ ὑβριζομένων καὶ τί κακὸν οὐχὶ πασχόντων; πᾶσα ἡ οἰκουμένη μεστὴ γέγονε προδοτῶν. Τί δ' Ἀρίστρατος ἐν Σικυῶνι; καὶ τί Περίλαος ἐν Μεγάροις; οὐκ ἀπερρίμμενοι; Ἐξ ὧν καὶ σαφέστατ' ἂν τις ἴδοι, ὅτι ὁ μάλιστα φυλάττων τὴν ἑαυτοῦ πατρίδα, καὶ πλεῖστα ἀντιλέγων τούτοις, οὗτος ὑμῖν, Αἰσχίνη, τοῖς προδιδοῦσι καὶ μισθαρνοῦσι, τὸ ἔχειν ἐφ' ὅτῳ δωροδοκήσετε περιποιεῖ, καὶ διὰ τοὺς πολλοὺς τούτους, τοὺς ἀνθισταμένους τοῖς ὑμετέροις βουλήμασιν, ὑμεῖς ἐστε σῶοι καὶ ἔμμισθοι· ἐπεὶ διά γε ὑμᾶς αὐτοὺς πάλαι ἂν ἀπολώλειτε.

Καὶ περὶ μὲν τῶν τότε πραχθέντων ἔχων ἔτι πολλὰ λέγειν, καὶ ταῦτα ἡγοῦμαι πλείω τῶν ἱκανῶν εἰρῆσθαι. αἴτιος δ' οὗτος, ὥσπερ ἑωλοκρασίαν[111] τινά μου τῆς πονηρίας τῆς ἑαυτοῦ καὶ τῶν ἀδικημάτων κατασκεδάσας, ἣν ἀναγκαῖον ἦν πρὸς τοὺς νεωτέρους τῶν πεπραγμένων[112] ἀπολύσασθαι. παρῳνώχλησθε δὲ καὶ ὑμεῖς ἴσως, οἱ καὶ πρὶν ἐμὲ ὁ,τιοῦν εἰπεῖν εἰδότες τὴν τούτου τότε μισθαρνίαν. Καίτοι φιλίαν γε καὶ ξενίαν[113] αὐτὴν ὀνομάζει καὶ νῦν εἶπέ που λέγων, ἃ ὁ τὴν Ἀλεξάνδρου ξενίαν ὀνειδίζων ἐμοί[114]. » Ἐγώ σοι ξενίαν Ἀλεξάνδρου; πόθεν λαβόντι, ἢ πῶς ἀξιωθέντι; οὔτε Φιλίππου ξένον οὔτ' Ἀλεξάνδρου φίλον εἴποιμ' ἂν ἐγώ σε· οὐχ οὕτω μαίνομαι· εἰ μὴ καὶ τοὺς θεριστὰς, καὶ τοὺς ἄλλο τι μισθοῦ πράττοντας, φίλους καὶ ξένους δεῖ καλεῖν τῶν μισθωσαμένων· ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· πόθεν; πολλοῦ γε καὶ δεῖ· ἀλλὰ μισθωτὸν ἐγώ σε Φιλίππου πρότερον, καὶ νῦν Ἀλεξάνδρου καλῶ, καὶ οὗτοι πάντες. εἰ δ' ἀπιστεῖς, ἐρώτησον αὐτούς· μᾶλλον δ' ἐγὼ τοῦθ' ὑπὲρ σοῦ ποιήσω. Πότερον ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, μίσθωτος[115] Αἰσχίνης ἡ ξένος εἶναι Ἀλεξάνδρου δοκεῖ; Ἀκούεις, ἃ λέγουσι; Βούλομαι κἀγὼ τοίνυν ἤδη καὶ περὶ τῆς γραφῆς αὐτῆς ἀπολογήσασθαι, καὶ διεξελθεῖν τὰ πεπραγμένα ἐμαυτῷ ἵνα, καίπερ εἰδὼς Αἰσχίνης, ὅμως ἀκούσῃ, ὅτ' ἐφημι καὶ τούτων τῶν προβεβουλευμένων[116] καὶ πολλῷ μειζόνων ἔτι τούτων δωρεῶν δίκαιος εἶναι τυγχάνειν. Καί μοι λέγε τὴν γραφὴν αὐτὴν λαβών.

111) Ἴδε τὸ Λεξ. 112) Τοὺς τότε νέους ἀκόμη, καὶ ἐπομένως ἀγνοοῦντας τὰς αἰτίας τῶν πεπραγμένων. 113) « Ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τοῦ Ἀλεξάνδρου », Αἰσχ. κατὰ Κτησιφ. §. ιθ'. 114) (ἐνν.) Ὠνείδισα. 115) Κατὰ τὸν Οὐλπιανὸν, ἐπίτηδες ἐβαρβάρισεν ὁ ῥήτωρ, ἐκφωνήσας προπαροξυτόνως τὴν λέξιν, ὥστε οἱ Ἀθηναῖοι, τῶν ὁποίων ἦτον εἰς ἄκρον εὐαίσθητος ἡ ἀκοὴ, ἐπαναλαβόντες αὐτὴν ὀρθοτονουμένην, νὰ ὑποτεθῶσιν ἀποκρινόμενοι εἰς τὴν ἐρώτησίν του, καὶ ὁμολογοῦντες τὸν Αἰσχίνην μισθωτόν. Ἀλλὰ τὸ ἀνέκδοτον τοῦτο, τὸ ὁποῖον προϋποτίθησι τὸν ῥήτορα ἔχοντα ὄρεξιν νὰ παίζῃ ἐν σηλικούτῳ ἀγῶνι, δὲν φαίνεται πιθανόν. 116) Ὅσας διαλαμβάνει τὸ προβούλευμα τοῦ Κτησιφῶντος, τὸ ὁποῖον εἶχεν ἤδη ἐγκρίνει ἡ βουλή.

ΕΠΙΤΡΟΠΕΙΟΝ ΒΟΛΙΤΙΣΜΟΥ & ΘΡΗΣΚΕΙΑΣ ΔΗΜ-ΚΡΑΤΙΑΣ

ΓΡΑΦΗ

» Ἐπὶ Χαιρωνίδου[117] ἄρχοντος, Ἐλαφηβολιῶνος ἕκτῃ ἱσαμένου, Αἰσχίνης » Ἀτρομήτου Κοθωκίδης ἀσεβείας πρὸς τὸν ἄρχοντα παρανόμων γραφὴν κατὰ » Κτησιφῶντος τοῦ Λεωσθένους Ἀναφλυστίου, ὅτι ἔγραψε παράνομον ψήφισμα, » (ὃ ἔφη δεῖ στεφανοῦσθαι Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ, » καὶ αὖθις στεφανοῦσθαι ἐν τῷ θεάτρῳ, Διονυσίοις τοῖς μεγάλοις[118], τραγῳδοῖς καὶ » νέοις[119], ὅτι ἀναστέφανοί ὁ δῆμος Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ » στεφάνῳ, ἀρετῆς ἕνεκα καὶ εὐνοίας, ἧς ἔχων διατελεῖ εἴς τε τοὺς Ἕλληνας » ἅπαντας καὶ τὸν δῆμον τῶν Ἀθηναίων, καὶ ἀνδραγαθίας[120]· καὶ διότι διατελεῖ πράττων καὶ λέγων τὰ βέλτιστα τῷ δήμῳ, καὶ πρόθυμός ἐστι ποιεῖν » ὅτι ἂν δύνηται ἀγαθόν) πάντα ταῦτα ψευδῆ γράψας καὶ παράνομα, τῶν » νόμων οὐκ ἐόντων πρῶτον μὲν ψευδεῖς γραφὰς εἰς τὰ δημόσια γράμματα[120a] καταβάλλεσθαι, εἶτα[121] τὸν ὑπεύθυνον στεφανοῦν· ἔτι δὲ Δημοσθένης » τειχοποιὸς[122] καὶ ἐπὶ τῷ θεωρικῷ[123] τεταγμένος· ἔτι δὲ μὴ[124] ἀναγορεύειν » τὸν στέφανον ἐν τῷ θεάτρῳ, Διονυσίοις, τραγῳδῶν τῇ καινῇ[125], ἀλλ' ἐὰν μὲν ἡ » βουλὴ στεφανοῖ, ἐν τῷ βουλευτηρίῳ ἀνειπεῖν[126], ἐὰν δὲ ἡ πόλις[127], ἐν Πνυκὶ[128] » ἐν τῇ ἐκκλησίᾳ. Τίμημα[129], τάλαντα πεντήκοντα. Κλήτορες, Κηφισοφῶν » Κηφισοφῶντος Ῥαμνούσιος, Κλεὼν Κλέωνος Κοθωκίδης ».

Ἃ μὲν διώκει τοῦ ψηφίσματος, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ' ἐστίν. ἐγὼ δ' ἀπ' αὐτῶν τούτων, πρῶτον οἶμαι δεῖλον ὑμῖν ποιήσειν, ὅτι πάντα δικαίως ἀπολογήσομαι. τὴν γὰρ αὐτὴν τούτῳ ποιησάμενος τῶν γεγραμμένων τάξιν[130], περὶ πάντων ἐρῶ καθ' ἕκαστον ἐφεξῆς, καὶ οὐδὲν ἐκὼν παραλείψω. Τοῦ μὲν οὖν γράψαι[131] πράττοντά με καὶ λέγοντα τὰ βέλτιστα τῷ δήμῳ διατελεῖν, καὶ πρόθυμον εἶναι ποιεῖν ὅτι ἂν δύνωμαι ἀγαθόν, καὶ ἐπαινεῖν ἐπὶ τούτοις, ἐν τοῖς πεπολιτευμένοις τὴν κρίσιν[132] εἶναί μοι νομίζω· ἀπὸ γὰρ τούτων ἐξεταζομένων εὑρεθήσεται, εἴτε ἀληθῆ περὶ ἐμοῦ γέγραφε Κτησιφῶν ταῦτα καὶ προσήκοντα, εἴτε καὶ ψευδῆ· τὸ δὲ μὴ προσγράψαντα[133] » Ἐπειδὰν τὰς εὐθύνας δῶ α στεφανοῦν[134] καὶ ἀνειπεῖν ἐν τῷ θεάτρῳ

---

117) Ἴδε Αἰσχ. κατὰ Κτησιφ. σελ. 36. ἐτῶν. 184 πρὸ τοῦ παρόντος λόγου. 118) Τὰ ἐν ἄστει ἢ μεγάλα Διονύσια (διότι ἦσαν καὶ μικρὰ τὰ ἐν λιμναις,) ἐτελοῦντο περὶ τὰς ἀρχὰς τοῦ ἔαρος, μεταξὺ τῶν 10 καὶ 18 τοῦ Ἐλαφηβολιῶνος, ὅτε ἦτον ὁ ἐνιαυτὸς μὴν τοῦ ἔτους. Ἡ δὲ δοτικὴ ἐλλειπτικῶς τῆς Ἐν. 119) Ἴδε τὴν ὑπόθεσιν. 120) Ὄχι βέβαια τῆς ἐν πολέμοις, ὅπου ὁ Δημοσθένης δὲν διέπρεψεν· ἀλλὰ, καθὼς τὸ ἐξηγεῖ καὶ ὁ Αἰσχίνης καὶ καθὼς ἀναφέρεται ἀλλοῦ εἰς ἄλλο Ψήφισμα (ἴδε σελ....), Καλοκἀγαθίας. 120a) Τὰ ἀρχεῖα. 121) (Ἀπὸ κοινοῦ) τῶν νόμων οὐκ ἐόντων. 122) Ἴδε τὴν Ὑπόθεσιν. 123) (Ἐνν.) ἀργυρίῳ, ἴδε Ὀλυνθ. 124) (Ἐνν.) Ἐόντων τῶν νόμων. 125) (Ἐν) τῇ καινῇ (εἰσόδῳ ἢ ἐπιδείξει) τραγῳδῶν.

126) = Ἀναγορεῦσαι (τὸν στέφανον). 127) = Ὁ δῆμος. 128) Ἐὰν ἡ Πνὺξ ἐκλήθη ἀπὸ τὴν πυκνότητα τῶν συνεργομένων, μένει ζητητέον. Σημειοῦ δὲ ὁ Ἡσύχιος, ὅτι τὸ πάλαι μὲν ἐκεῖ συνεκροτοῦντο ὅλαι τοῦ δήμου αἱ ἐκκλησίαι· ὕστερον δέ, μόνον ὅταν ἐχειροτονεῖτο στρατηγός. 129) (Ἐνν.) Ὁρίζεται τῷ ἐνόχῳ. Αἱ δὲ ταιαῦται δίκαι ἐλέγοντο Οὐκ ἀτίμητοι.

130) Ὄχι μ' ὅλα ταῦτα καθὼς ἤθελεν ὁ Αἰσχίνης, διότι τοῦτο τὸ ἀπέφυγεν ἀπ' ἀρχῆς, ὡς εἴπομεν, ὁ Δημοσθ. 131) Τὴν Κτησιφ. 132) Τὴν κρίσιν τοῦ γράψαι. 133) Τὸ δὲ στεφανοῦν μὴ προσγράψαντα (τὸν Κτησιφ.) καὶ τοῦτο: Ἐπειδὰν κτλ., ᾗ κελεύσαι (ἐν τῷ ψηφίσματι) ἀνειπεῖν τὸν στέφανον ἐν τῷ θεάτρῳ, ἡγοῦμαι μὲν καὶ τοῦτο κοινωνεῖν τοῖς πεπολιτ., (καθ' ὅσον ἐκ τούτων ἀποδειχθήσεται) εἴτε εἰμὶ εἴτε μὴ ἀξίως κτλ. Δείκτον μένοι ἔτι καὶ τοὺς νόμους καθ' οὓς κτλ.

κελεῦσαι τὸν στέφανον, κοινωνεῖν μὲν ἡγοῦμαι καὶ τοῦτο τοῖς πεπολιτευμένοις, εἴτε ἄξιός εἰμι τοῦ στεφάνου καὶ τῆς ἀναῤῥήσεως τῆς ἐν τούτοις, εἴτε καὶ μή· ἔτι μέντοι καὶ τοὺς νόμους δεικτέον εἶναί μοι δοκεῖ, καθ' οὓς ταῦτα γράφειν ἐξῆν τούτῳ[154]· οὕτωσὶ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως καὶ ἁπλῶς τὴν ἀπολογίαν ἔγνωκα ποιεῖσθαι· βαδιοῦμαι δ' ἐπ' αὐτά, ἃ πέπρακταί μοι. καί μ' μηδεὶς ὑπολάβῃ ἀπαρτᾶν[155] τὸν λόγον τῆς γραφῆς, ἐὰν εἰς Ἑλληνικὰς πράξεις καὶ λόγους ἐμπέσω· ὁ γὰρ διώκων τοῦ ψηφίσματος τὸ[156] λέγειν καὶ πράττειν τἀ ἄριστά με, καὶ γεγραμμένος ταῦτα, ὡς οὐκ ἀληθῆ, οὗτός ἐστιν ὁ τοὺς περὶ ἁπάντων τῶν ἐμοὶ πεπολιτευμένων λόγους οἰκείους καὶ ἀναγκαίους τῇ γραφῇ πεποιηκώς. εἶτα καὶ πολλῶν προαιρέσεων[157] οὐσῶν τῆς πολιτείας, τὰς περὶ τὰς Ἑλληνικὰς πράξεις εἱλόμην ἐγώ· ὥστε καὶ τὰς ἀποδείξεις ἐκ τούτων δίκαιός εἰμι ποιεῖσθαι.

Ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμὲ προὔλαβε καὶ κατέσχε Φίλιππος, ἐάσω· οὐδὲν γὰρ ἡγοῦμαι τούτων εἶναι πρὸς ἐμέ· ἃ δ', ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην ἐγώ, διεκωλύθη, ταῦτα ἀναμνήσω, καὶ τούτων ὑφέξω λόγον, τοσοῦτον ὑπειπών. Πλεονέκτημα, ὦ ἄνδρες Ἀθηναῖοι, μέγα ὑπῆρξε Φιλίππῳ παρὰ γὰρ τοῖς Ἕλλησιν, οὔ τισιν, ἀλλὰ πᾶσιν ὁμοίως, φοβερὸν[158] προδοτῶν καὶ δωροδόκων καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων συνέδη γενέσθαι, καὶ τοσαύτην, ὅσην οὐδείς πω πρότερον μέμνηται γεγονυῖαν. οὓς συναγωνιστὰς καὶ συνεργοὺς λαβὼν ὁ Φίλιππος, καὶ πρότερον κακῶς τοὺς Ἕλληνας ἔχοντας πρὸς ἑαυτοὺς καὶ στασιαστικῶς, ἔτι χεῖρον διέθηκε, τοὺς μὲν ἐξαπατῶν, τοῖς δὲ διδούς, τοὺς δὲ πάντα τρόπον διαφθείρων, καὶ διέστησεν εἰς μέρη πολλά, ἑνὸς τοῦ συμφέροντος ἅπασιν ὄντος, κωλύειν ἐκεῖνον μέγαν γίγνεσθαι. Ἐν τοιαύτῃ δὲ καταστάσει καὶ ἔτι ἀγνοίᾳ[159] τοῦ συνισταμένου κακοῦ τῶν ἁπάντων Ἑλλήνων δεῖ σκοπεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τί προσῆκον ἦν ἑλέσθαι πράττειν καὶ ποιεῖν[160] τὴν πόλιν, καὶ τούτων λόγον παρ' ἐμοῦ λαβεῖν. ὁ γὰρ ἐνταῦθα[161] ἑαυτὸν τάξας τῆς πολιτείας εἰμὶ ἐγώ.

Πότερον αὐτὴν ἐχρῆν, Αἰσχίνη, τὸ φρόνημα ἀφεῖσαν καὶ τὴν ἀξίαν τὴν ἑαυτῆς, ἐν τῇ Θετταλῶν καὶ Δολόπων τάξει συγκατακτᾶσθαι Φιλίππῳ τὴν τῶν Ἑλλήνων ἀρχήν, καὶ τὰ τῶν προγόνων καλὰ καὶ δίκαια ἀναιρεῖν; ἢ τοῦτο μὲν μὴ ποιεῖν; (δεινὸν γὰρ ὡς ἀληθῶς·) ἃ δ' ἑώρα συμβησόμενα, εἰ μηδεὶς κωλύσει, καὶ προηισθάνετ', ὡς ἔοικεν, ἐκ πολλοῦ, ταῦτα περιϊδεῖν γιγνόμενα; Ἀλλὰ νὴ ἔγωγε τὸν μάλιστα ἐπιτιμῶντα τοῖς πεπραγμένοις ἡδέως ἂν ἐροίμην, τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλετ' ἄν; πότερον τῆς συναιτίας τῶν συμβεβηκότων τοῖς Ἕλλησι κακῶν καὶ αἰσχρῶν, ἧς ἂν Θετταλοὺς καὶ τοὺς μετὰ τούτων εἴποι τις; ἢ τῆς περιεωρακυίας ταῦτα γιγνόμενα ἐπὶ τῇ τῆς ἰδίας πλεονεξίας ἐλπίδι, ἧς ἂν Ἀρκάδας καὶ Μεσ-

---

154) Τῷ Κτησιφ. 155) Φεύγω ἀπὸ τὸ προκείμενον τῆς κατηγορίας. 156) Ἐκεῖνο τοῦ ψηφίσματος τὸ μέρος τὸ διαλαμβάνον λέγειν καὶ πράττειν με τἀ ἄριστα. 157) Τρόπων καθ' οὓς δύναταί τις πολιτεύεσθαι. 158) Εὐφορίαν, ἀπὸ μεταφορᾶς τῶν γεννημάτων.
159) Καὶ ἐνῷ ἀκόμην ἠγνόουν οἱ Ἕλληνες τὸ κακὸν τὸ ὁποῖον ἡτοιμάζετο κατ' αὐτῶν.
160) Ἐκ παραλλήλου, συνήθως τοῖς ῥήτορσι. 161) Εἰς τοῦτο τῆς πολιτείας τὸ μέρος, τὸ περὶ τοῦ τί προσῆκον ἦν ποιεῖν τὴν πόλιν ἐν τοιαύτῃ καταστάσει.

σηνίους καὶ Ἀργείους θείημεν; Ἀλλὰ καὶ τούτων πολλοί, μᾶλλον δὲ πάντες, χεῖρον ἡμῶν ἀπηλλάγησαν[142]. καὶ γὰρ, εἰ μὲν, ὡς ἐκράτησε Φίλιππος, ᾤχετ' εὐθὺς ἀπιών, καὶ μετὰ ταῦτ' ἦγεν ἡσυχίαν, μήτε τῶν αὑτοῦ συμμάχων, μήτε τῶν ἄλλων Ἑλλήνων μηδένα μηθὲν λυπήσας, ὅμως ἦν ἄν τις κατὰ τῶν ἐναντιωθέντων οἷς οὐκ ἔπραττεν ἐκεῖνος μέμψις καὶ κατηγορία· εἰ δὲ ὁμοίως ἁπάντων τὸ ἀξίωμα, τὴν ἡγεμονίαν, τὴν ἐλευθερίαν περιεῖλετο, μᾶλλον δὲ καὶ τὰς πολιτείας, ὅσων ἠδύνατο, πῶς οὐχ ἁπάντων ἐνδοξότατα ὑμεῖς ἐβουλεύσασθε, ἐμοὶ πεισθέντες; Ἀλλ' ἐκεῖσε ἐπανέρχομαι.

Τί τὴν πόλιν, Αἰσχίνη, προσῆκε ποιεῖν, ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν ἑαυτῷ κατασκευαζόμενον Φίλιππον; ἢ τί τὸν σύμβουλον ἔδει λέγειν ἢ γράφειν τὸν Ἀθήνησιν ἐμέ; (καὶ γὰρ τοῦτο πλεῖον διαφέρει) ὃς συνῆδειν μὲν, ἐκ παντὸς τοῦ χρόνου μέχρι τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς αὐτὸς ἐπὶ τὸ βῆμα ἀνέβην, ἀεὶ περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης ἀγωνιζομένην τὴν πατρίδα, καὶ πλείω σώματα καὶ χρήματα ἀναλωκυῖαν ὑπὲρ φιλοτιμίας καὶ τῶν ἅπασι τοῖς Ἕλλησι συμφερόντων, ἢ τῶν ἄλλων Ἑλλήνων, οἳ τὰ ὑπὲρ αὐτῶν ἀναλώκασιν ἕκαστοι· ἑώρων δ' αὐτὸν τὸν Φίλιππον, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγὼν, ὑπὲρ ἀρχῆς καὶ δυναστείας τὸν ὀφθαλμὸν ἐκκεκομμένον[143] τὴν κλεῖν κατεαγότα[144], τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένον[145], πᾶν ὅ,τι ἂν βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρελέσθαι, τοῦτο ῥᾳδίως καὶ ἑτοίμως προϊέμενον, ὥστε τῷ λοιπῷ μετὰ τιμῆς καὶ δόξης ζῆν; Καὶ μὴν οὐδὲ τοῦτό γε οὐδεὶς ἂν εἰπεῖν τολμήσειεν, ὡς τῷ μὲν ἐν Πέλλῃ[146] τραφέντι, χωρίῳ αὐόξῳ τότε γε ὄντι καὶ μικρῷ, τοσαύτην μεγαλοψυχίαν προσῆκεν ἐγγενέσθαι, ὥστε τῆς τῶν Ἑλλήνων ἀρχῆς ἐπιθυμῆσαι, καὶ τοῦτ' εἰς τὸν νοῦν ἐμβαλέσθαι· ὑμῖν δὲ οὖσιν Ἀθηναίοις, καὶ καθ' ἡμέραν ἑκάστην ἐν πᾶσι καὶ λόγοις καὶ θεωρήμασι[147] τῆς τῶν προγόνων ἀρετῆς ὑπομνήμαθ' ὁρῶσι, τοσαύτην κακίαν[148] ὑπάρξαι, ὥστε τῆς τῶν Ἑλλήνων ἐλευθερίας αὐτεπαγγέλτους, ἐθελοντὰς παραγωρῆσαι Φιλίππῳ· οὐδ' ἂν εἷς ταῦτα φήσειε. λοιπὸν τοίνυν ἦν καὶ ἀναγκαῖον ἅμα, πᾶσιν, οἷς ἐκεῖνος ἔπραττεν ἀδικῶν ὑμᾶς, ἐναντιοῦσθαι δικαίως τοῦτ' ἐποιεῖτε μὲν ὑμεῖς ἐξ ἀρχῆς εἰκότως καὶ προσηκόντως, ἔγραφον δὲ καὶ συνεβούλευον καὶ ἐγὼ, καθ' οὓς ἐπολιτευόμην χρόνους· ὁμολογῶ.

Ἀλλὰ τί ἐχρῆν με ποιεῖν; ἤδη γάρ σε ἐρωτῶ. πάντα τἄλλ' ἀφεὶς, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Ἀλόννησον, οὐδενὸς τούτων μέμνημαι· Σέρριον δὲ καὶ Δορίσκον, καὶ τὴν Πεπαρήθου πόρθησιν, καὶ ὅσα ἄλλα τοιαῦτα ἡ πόλις ἠδίκητο, οὐδ' εἰ γέγονεν οἶδα· καίτοι σύ γ' ἔφησθά με ταῦτα λέγοντα εἰς ἔχθραν ἐμβαλεῖν τουτουσὶ[149], Εὐβούλου καὶ Ἀριστοφῶντος καὶ Διοπείθους τῶν περὶ τούτων ὄντων ψηφισμάτων, οὐκ ἐμῶν· ὧ λέγων εὐχερῶς πᾶν ὅ,τι ἂν βουληθῇς· οὐδὲ[149*] νῦν περὶ τούτων ἐρῶ· ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος

---

[142]) Ἔπαθον. [143]) Ὅτε βέλει ἐπλήγη τὸν ὀφθαλμὸν πολιορκῶν τὴν Χαλκιδικὴν Μεθώνην. [144]) Πληγεὶς ἐν Ἰλλυριοῖς. [145]) Ὅτε ἐπληγώθη ἐν Σκύθαις. [146]) Πόλις πρωτεύουσα τὸ πάλαι τῆς Μακεδονίας. [147]) Τοῖς συγγράμμασι καὶ τοῖς θεάμασιν. [148]) Ἀνανδρίας. [149]) « Ὁ δὲ, παριὼν, ἀρχὰς αὐτοῖς ἐνεδίδου πολέμου καὶ παρεσκεύαζε. . πρῶτος ἐξωρύξατο Δορίσκον ὁ Ἐργίσκην κτλ.... καὶ τὸν πόλεμον παρεσκεύασεν », Αἰσχ. κατὰ Κτησιφ. § κγ'. [149*]) Οὐδ' εἰ γέγονεν οἶδα. . . οὐδὲ νῦν περὶ τούτων ἐρῶ.

στρατηγίζόμενος[150] καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ Μεγάροις ἐπιχειρῶν, καὶ καταλαμβάνων Ὠρεόν, καὶ κατασκάπτων Πορθμόν[151], καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον, ἐν δ' Ἐρετρίᾳ Κλείταρχον, καὶ τὸν Ἑλλήσποντον ὑφ' ἑαυτῷ ποιούμενος, καὶ Βυζάντιον πολιορκῶν, καὶ πόλεις Ἑλληνίδας, τινὰς μὲν ἀναιρῶν, εἰς τινας δὲ τοὺς φυγάδας κατάγων· πότερον ταῦτα πάντα ποιῶν ἠδίκει καὶ παρεσπόνδει, καὶ ἔλυε τὴν εἰρήνην, ἢ οὔ; καὶ πότερον φανῆναί τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα ποιεῖν αὐτὸν ἐχρῆν, ἢ μή; Εἰ μὲν γὰρ μὴ ἐχρῆν, ἀλλὰ τὴν Μυσῶν λείαν[152] καλουμένην τὴν Ἑλλάδα οὖσαν ὠφθῆναι[153], ζώντων Ἀθηναίων καὶ ὄντων[154], περιείργασμαι[155] μὲν ἐγὼ περὶ τούτων εἰπών, περιείργασται δ' ἡ πόλις ἡ πεισθεῖσα ἐμοί· ἔστω δὲ ἀδικήματα πάντα ταῦτα, ἃ πέπρακται, καὶ ἁμαρτήματα ἐμά· εἰ δὲ ἔδει τινὰ τούτων κωλυτὴν φανῆναι, τίνα ἄλλον, ἢ τὸν Ἀθηναίων δῆμον προσῆκε γενέσθαι;

Ταῦτα τοίνυν ἐπολιτευόμην τότ' ἐγώ. καὶ ὁρῶν καταδουλούμενον πάντας ἀνθρώπους ἐκεῖνον, ἡγανακτούμην, καὶ προλέγων καὶ διδάσκων μὴ προΐεσθαι ταῦτα Φιλίππῳ διετέλουν. Καὶ μὴν τὴν εἰρήνην γε ἐκεῖνος ἔλυσε τὰ πλοῖα λαβών, οὐχ ἡ πόλις, Αἰσχίνη. Φέρε δὴ αὐτὰ τὰ ψηφίσματα, καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, καὶ λέγε ἐφεξῆς. ἀπὸ γὰρ τούτων ἐξεταζομένων, τίς τίνος αἴτιός ἐστι, γενήσεται φανερόν. λέγε.

ΨΗΦΙΣΜΑ.

α Ἐπὶ ἄρχοντος Νεοκλέους[156], μηνὸς Βοηδρομιῶνος, ἐκκλησίας συγκλήτου
» ὑπὸ [τῶν] στρατηγῶν συναχθείσης, Εὔβουλος Μνησιθέου Κυθήριος[157] εἶπεν·
» Ἐπειδὴ προσήγγειλαν οἱ στρατηγοὶ ἐν τῇ ἐκκλησίᾳ, ὡς ἄρα Λεωδάμαντα[158]
» τὸν ναύαρχον, καὶ τὰ μετ' αὐτοῦ ἀποσταλέντα σκάφη εἰκοσιν ἐπὶ τὴν τοῦ σί-
» του παραπομπὴν[159] εἰς Ἑλλήσποντον, ὁ παρὰ Φιλίππου στρατηγὸς Ἀμύντας
» καταγήγοχεν εἰς Μακεδονίαν καὶ ἐν φυλακῇ ἔχει, ἐπιμεληθῆναι τοὺς πρυ-
» τάνεις καὶ τοὺς στρατηγούς, ὅπως ἡ βουλὴ συναχθῶσι[160], καὶ αἱρεθῶσι πρέ-
» σβεις πρὸς Φίλιππον, οἵτινες παραγενόμενοι διαλέξονται πρὸς αὐτὸν περὶ

---

150) Ἡ σχοινοτενὴς αὕτη περίοδος, ἀπὸ τοῦ: Ἀλλ' ὁ τὴν Εὔβοιαν, ἕως τοῦ: Ἔλυε τὴν εἰρήνην, ἣ οὗς ὀνομάζεται κατὰ τοὺς τεχνικοὺς Πνεῦμα, διότι πρέπει νὰ προφερθῇ μὲ μίαν ἢ ὡς ἔγγιστα ἀναπνοήν, καὶ ἀναφέρεται ὑπὸ τοῦ Φαληρέως καὶ Ἑρμογένους, ὡς δυσμίμητον παράδειγμα. 151) Ἴδε σημ. 79. 152) Παροιμία ἐπὶ τῶν εὐαλώτων δι' ἐρημίαν. Πληγέντος γὰρ Τηλέφου τοῦ τῆς Μυσίας δυνάστου ὑπὸ τοῦ Ἀχιλλέως, καὶ ἀποδημήσαντος πρὸς τὸ θεραπευθῆναι, οἱ Ἕλληνες, μηδένα τὸν ἀντιταξόμενον ἔχοντες, ἐλεηλάτησαν τὴν Μυσίαν. 153) Τὴν Ἑλλ. ὀφθῆναι οὖσαν τὴν καλουμένην Μυσῶν λείαν. 154) Διορθοῦσί τινες: Ὀρώντων. 155) Περιεστὸν ἔργον εἰργασάμην, ἐματαιοπόνησα. 156) Ἐὰν τὸ ψήφισμα τοῦτο χρονολογῆται, κατὰ τὸν Κορσίνιον, εἰς τὸ δ'. ἔτος τῆς ρθ'. Ὀλυμπ., ἄρχων τοῦ ἔτους τούτου ἦτον κατὰ τὰς ἀναγραφὰς τῶν Ὀλυμπ. ὁ Νικόμαχος, ἀλλ' ἴδε περὶ τούτων τὴν σημ. 57 τοῦ κατὰ Κτησιφ. 157) Κύθηρον, δῆμος τῆς Πανδιονίδος Φυλῆς. 158) Ἐν τῇ κατοπιν ἐπιστολῇ τοῦ Φιλίππου ὀνομάζεται Λαομέδων· ἄλλος βέβαια παρὰ τὸν Ἀχαρνέα, περὶ τοῦ ὁποίου λέγει ὁ Αἰσχίνης (κατὰ Κτησιφ. §. λζ') « Οὐχ ἧττον Δημοσθένης λέγειν δυνάμενος, ἀλλ' ἴσως γε καὶ ἡδίων ῥήτωρ ». 159) Ἀποσταλέντα εἰς Ἑλλήσποντον ἐπὶ τὴν τοῦ σίτου παραπομπήν, ἵνα συνοδεύσωσι τὰ ἀπὸ τὸν Πόντον σιταγωγοῦντα εἰς Ἀθήνας πλοῖα.

160) Πληθυντικὸν τὸ ῥῆμα, διότι περιληπτικὸν ἡ Βουλή. Τῶν σχολιαστῶν δέ τις ὑπέταξεν ὅτι λείπει: καὶ ὁ δῆμος· διότι οἱ μὲν πρυτάνεις συνῆγον τὴν βουλήν, οἱ δὲ στρατηγοὶ τὸν δῆμον.

» τοῦ ἀφεθῆναι τόν τε ναύαρχον, καὶ τὰ πλοῖα καὶ τοὺς στρατιώτας. καὶ εἰ » μὲν δι' ἄγνοιαν ταῦτα πεποίηκεν ὁ Ἀμύντας, ὅτι[161] οὐ μεμψιμοιρεῖ ὁ δῆμος » οὐδὲν αὐτῷ· εἰ δέ τι πλημμελοῦντα παρὰ τὰ ἐπεσταλμένα λαβὼν[162], ὅτι » ἐπισκεψάμενοι Ἀθηναῖοι ἐπιτιμήσουσι κατὰ τὴν τῆς ὀλιγωρίας ἀξίαν. εἰ » δὲ μηδέτερον τούτων ἐστὶν, ἀλλ' ἰδίᾳ ἀγνωμονοῦσιν ἢ ὁ ἀποστείλας[163] ἢ ὁ » ἀπεσταλμένος[164], καὶ τοῦτο γράψαι λέγειν[165], ἵνα αἰσθανόμενος ὁ δῆμος » βουλεύσηται τί δεῖ ποιεῖν ».

Ταῦτα μὲν τοίνυν τὸ ψήφισμα Εὔβουλος ἔγραψεν, οὐκ ἐγώ· τὸ δ' ἐφεξῆς, Ἀριστοφῶν· εἶθ' Ἡγήσιππος· εἶτ' Ἀριστοφῶν πάλιν· εἶτα Φιλοκράτης· εἶτα Κηφισοφῶν· εἶτα πάντες οἱ ἄλλοι· ἐγὼ δ' οὐδὲν περὶ τούτων. Λέγε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

α Ἐπὶ Νεοκλέους ἄρχοντος, Βοηδρομιῶνος ἕνῃ καὶ νέᾳ, βουλῆς γνώμη, » πρυτάνεις καὶ στρατηγοὶ ἐχρημάτισαν, τὰ ἐκ τῆς ἐκκλησίας[166] ἀνενεγκόν- » τες, ὅτι ἔδοξε τῷ δήμῳ πρέσβεις ἑλέσθαι πρὸς Φίλιππον περὶ τῆς τῶν » πλοίων ἀνακομιδῆς, καὶ ἐντολὰς δοῦναι, καὶ τὰ ἐκ τῆς ἐκκλησίας ψηφί- » σματα· καὶ εἵλοντο τούς δε, Κηφισοφῶντα Κλέωνος Ἀναφλύστιον, Δημό- » κριτον Δημοφῶντος Ἀναγυράσιον, Πολύκριτον Ἀπημάντου Κοθωκίδην. Πρυ- » τανείᾳ[167] φυλῆς Ἱπποθοωντίδος, Ἀριστοφῶν Κολυττεὺς[168] πρόεδρος[169] εἶπεν ».

Ὥσπερ τοίνυν ἐγὼ ταῦτα δεικνύω τὰ ψηφίσματα, οὕτω καὶ σὺ δεῖξον, Αἰσχίνη, ποῖον ἐγὼ γράψας ψήφισμα, αἴτιός εἰμι τοῦ πολέμου. Ἀλλ' οὐκ ἂν ἔχοις· εἰ γὰρ εἶχες, οὐδὲν ἂν αὐτοῦ πρότερον νυνὶ παρέσχου. Καὶ μὴν οὐδ' ὁ Φίλιππος οὐδὲν αἰτιᾶταί με ὑπὲρ τοῦ πολέμου, ἑτέροις ἐγκαλῶν. Λέγε δ' αὐτὴν τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

α Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαί- » ρειν. Παραγενόμενοι πρὸς ἐμὲ οἱ παρ' ὑμῶν πρεσβευταὶ[170], Κηφισοφῶν καὶ » Δημόκριτος καὶ Πολύκριτος, διελέγοντο περὶ τῆς τῶν πλοίων ἀφέσεως, ὧν » ἐναυάρχει Λαομέδων[171]. Καθόλου μὲν οὖν ἔμοιγε φαίνεσθε ἐν μεγάλῃ εὐη- » θείᾳ ἔσεσθαι[172], εἰ οἴεσθ' ἐμὲ λανθάνειν, ὅτι ἐξαπεστάλη ταῦτα τὰ πλοῖα,

---

161) (Ἐνν.) Εἰπεῖν αὐτῷ τοὺς πρέσβεις. 162) Εἰ δὲ (πεποίηκε ταῦτα ὁ Ἀμύντας) λαβὼν (τὸν Λεωδάμαντα) πλημμελοῦντά τι παρὰ τὰ ἐπεσταλμένα (αὐτῷ ὑπὸ τῶν Ἀθην., εἰπεῖν τοὺς πρέσβεις), ὅτι ἐπισκεψ. κτλ. 163) Ὁ Φίλιππος ὁ ἀποστείλας τὸν Ἀμύνταν. 164) Ὁ Ἀμύντας ὁ ἀπεσταλμένος ὑπὸ τοῦ Φ. 165) Διαφόρως ἡρμήνευται ἡ φράσις, ἡ φυσικωτέρα ἐξήγησις εἶνε, νομίζω, ἡ ἑξῆς· ὁ Εὔβουλος εἶπε λέγειν (παραγγέλλειν τοῖς πρέσβεσι τοὺς Ἀθηναίους) ἵνα καὶ τοῦτο γράψωσιν (ἐκ Μακεδονίας εἰς Ἀθήνας). 166) Τῆς τοῦ δήμου. 167) (Ἐν τῇ) Πρυτανείᾳ,= Πρυτανευούσης. 168) Ἔπερ Κολυττεὺς ἦν ὁ Ἀριστοφῶν οὗτος, πῶς προήδρευε τῆς Ἱπποθοωντίδος φυλῆς; οὐ γὰρ ταύτης, ἀλλὰ τῆς Αἰγηΐδος ἦν ὁ Κολυττεύς. διὰ τοῦτο εἶπόν τινες ὅτι πρέπει νὰ γραφῇ ἐνταῦθα Ἀζηνιεύς. ἴδε Αἰσχ. κατὰ Κτησιφ. § λζ'. 169) Πρόεδροι ἐκαλοῦντο οἱ λαχόντες ἄρχειν ἑκάστης τῶν πέντε ἑβδομάδων τῆς πρυτανείας δέκα ἄνδρες ἐκ τῶν πρυτάνεων· οὗτοι δὲ μεταξὺ αὐτῶν ἐκληροῦντο τὰς ἡμέρας ἑκάστης ἑβδομάδος, καὶ ὁ ἄρχων τῆς ἡμέρας ἐκαλεῖτο Ἐπιστάτης, ὅστις προήδρευε τῆς τοῦ δήμου ἐκκλησίας. 170) Κυρίως ἔπρεπε: Πρέσβεις· διότι τὸ Πρεσβευτὴς εἶνε εὔχρηστον μόνον εἰς τὸ ἐνικόν. 171) Εἰς τὸ προλαβὸν ψήφισμα ὀνομάζεται Λεωδάμας, καὶ ἐκεῖνο φαίνεται εἶναι τὸ ὀρθότερον. 172) Καὶ τοῦτο κακοζήλον, ἀπὸ ἐνεστῶτος πρὸς μέλλοντα.

» πρόφασιν[175] μὲν ὡς τὸν σῖτον παραπέμψοντα ἐκ τοῦ Ἑλλησπόντου εἰς Ἄθη-
» μνον, βοηθήσοντα δὲ Σηλυμβριανοῖς τοῖς ὑπ' ἐμοῦ μὲν πολιορκουμένοις, οὐ
» συμπεριειλημμένοις δὲ ἐν ταῖς τῆς φιλίας κοιναῖς κειμέναις ἡμῖν συνθήκαις·
» καὶ ταῦτα συνετάχθη[176] τῷ ναυάρχῳ ἄνευ[177] μὲν τοῦ δήμου τοῦ Ἀθηναίων,
» ὑπὸ δέ τινων ἀρχόντων, καὶ ἑτέρων, ἰδιωτῶν μὲν νῦν ὄντων[178], ἐκ παντὸς
» δὲ τρόπου βουλομένων τὸν δῆμον ἀντὶ τῆς νῦν ὑπαρχούσης πρὸς ἐμὲ φι-
» λίας τὸν πόλεμον ἀναλαβεῖν, πολλῷ μᾶλλον φιλοτιμουμένων τοῦτο συν-
» τετελέσθαι, ἢ τοῖς Σηλυμβριανοῖς βοηθῆσαι, καὶ ὑπολαμβάνουσιν αὐτοῖς
» τὸ τοιοῦτον πρόσοδον ἔσεσθαι. Οὐ μέντοι μοι δοκεῖ τοῦτο χρήσιμον ὑπάρ-
» χειν, οὔθ' ὑμῖν, οὔτ' ἐμοί. Διόπερ τά τε νῦν καταχθέντα πλοῖα πρὸς ἡμᾶς
» ἀφίημι ὑμῖν, καὶ τοῦ λοιποῦ, ἐὰν βούλησθε μὴ ἐπιτρέπειν τοῖς προεστη-
» κόσιν ὑμῶν κακοήθως πολιτεύεσθαι, ἀλλ' ἐπιτιμᾶτε, πειράσομαι κἀγὼ
» διαφυλάττειν τὴν εἰρήνην. Εὐτυγεῖτε ».

Ἐνταῦθ' οὐδαμοῦ Δημοσθένην γέγραφεν, οὐδ' αἰτίαν οὐδεμίαν κατ' ἐμοῦ. Τί ποτ' οὖν τοῖς ἄλλοις ἐγκαλῶν, τῶν ἐμοὶ πεπραγμένων οὐχὶ μέμνηται; ὅτι τῶν ἀδικημάτων ἂν ἐμέμνητο τῶν ἑαυτοῦ, εἴ τι περὶ ἐμοῦ γέγραφε. τούτων γὰρ εἰχόμην ἐγώ, καὶ τούτοις ἠναντιούμην. Καὶ πρῶτον μὲν τὴν εἰς Πελοπόννησον πρεσβείαν ἔγραψα, ὅτε πρῶτον ἐκεῖνος εἰς Πελοπόννησον παρεδύετο[177]· εἶτα τὴν εἰς Εὔβοιαν, ἡνίκα Εὐβοίας ἥπτετο· εἶτα τὴν ἐπ' Ὠρεόν ἔξοδον (οὐκέτι πρεσβείαν,) καὶ τὴν εἰς Ἐρετρίαν[178], ἐπειδὴ τυράννους ἐκεῖνος ἐν ταύταις ταῖς πόλεσι κατέστησε· μετὰ ταῦτα δὲ τοὺς ἀποστόλους[179] ἅπαντας ἀπέστειλα, καθ' οὓς Χερρόνησος ἐσώθη καὶ Βυζάντιον[180] καὶ πάντες οἱ σύμμαχοι· ἐξ ὧν ὑμῖν μὲν τὰ κάλλιστα, ἔπαινοι, δόξαι, τιμαί, στέφανοι, χάριτες παρὰ τῶν εὖ πεπονθότων ἐγίγνοντο· τῶν δ' ἀδικουμένων τοῖς μὲν ὑμῖν τότε πεισθεῖσιν, ἡ σωτηρία περιεγένετο· τοῖς δ' ὀλιγωρήσασι, τὸ πολλάκις, ὧν ὑμεῖς προείπατε, μεμνῆσθαι, καὶ νομίζειν ὑμᾶς μὴ μόνον εὔνους αὐτοῖς, ἀλλὰ καὶ φρονίμους ἀνθρώπους καὶ μάντεις εἶναι. πάντα γὰρ ἐκβέβηκεν, ἃ προείπατε αὐτοῖς.

Καὶ μήν, ὅτι πολλὰ μὲν ἂν χρήματα ἔδωκε Φιλιστίδης, ὥστ' ἔχειν Ὠρεόν, πολλὰ δὲ Κλείταρχος, ὥστε ἔχειν Ἐρετρίαν, πολλὰ δ' αὐτὸς ὁ Φίλιππος, ὥστε ταῦθ' ὑπάρχειν ἐφ' ὑμᾶς αὐτῷ[181] καὶ περὶ τῶν ἄλλων μηδὲν ἐξελέγχεσθαι μηδὲ ἃ ποιῶν ἠδίκει μηδένα ἐξετάζειν πανταχοῦ, οὐδεὶς ἀγνοεῖ, καὶ πάντων ἥκιστα σύ· οἱ γὰρ παρὰ τοῦ Κλειτάρχου καὶ τοῦ Φιλιστίδου τότε πρέσβεις δεῦρ' ἀφικνούμενοι παρὰ σοὶ κατέλυον, Αἰσχίνη, καὶ σὺ προὔξενες[181*] αὐτῶν οὓς ἡ μὲν πόλις, ὡς ἐχθρούς, καὶ οὔτε δίκαια οὔτε συμφέροντα λέγοντας, ἀπήλασε, σοὶ δ' ἦσαν φίλοι. Οὐ τοίνυν ἐπρά-

---

175) (Κατὰ) πρόφασιν. 176) Παρηγγέλθησαν. 177) Ἄνευ τῆς γνώμης καὶ εἰδήσεως τῶν Ἀθ. 178) Καὶ διὰ τούτων ὑπαινίττεται, βέβαια, καὶ τὸν Δημοσθ. 177) Μήπως ἦτον· Παρεδύετο; 178) Συνήθως Ἐρέτριαν, ὡς φέρεται καὶ ἐν τῷ Λυκουργιανῷ καὶ τῷ Παρισιανῷ κώδηκι. 179) Ἀποστολὰς ναυτικῶν δυνάμεων. 180) Ἴδε κατόπιν τὸ ψήφισμα τῶν Βυζαντίων. 181) Νὰ ὑπάρχωσιν εἰς αὐτὸν (νὰ τὰ ἔχῃ) ὡς ἐπιτειχίσματα καθ' ὑμῶν.

181*) Ἐδέχθης αὐτοὺς εἰς τὸν οἶκόν σου, ὡς πρόξενος αὐτῶν. « Προξενῶ γάρ, κατὰ τὸν Θ. Μάγιστρον, οὐ μόνον τὸ Αἰτιῶ τινι τοῦδε γίνομαι, ἀλλὰ καὶ τὸ Ξενοδοχῶ, γενικῷ συνεσσομένων.

χθη τούτων οὐδὲν, ὦ βλασφημιῶν περὶ ἐμοῦ, καὶ λέγων ὡς σιωπῶ μὲν λαβών, βοῶ δ' ἀναλώσας· ἀλλ' οὐ σύγε[182], ἀλλὰ βοᾷς μὲν ἔχων, παύσῃ δὲ οὐδέποτ', ἐὰν μή σε οὗτοι παύσωσιν, ἀτιμώσαντες τήμερον.

Στεφανωσάντων τοίνυν ὑμῶν ἐπὶ τούτοις τότε, καὶ γράψαντος Ἀριστονίκου τας αὐτὰς συλλαβὰς, ἃς περ οὗτοσὶ Κτησιφῶν νῦν γέγραφε, καὶ ἀναῤῥηθέντος ἐν τῷ θεάτρῳ τοῦ στεφάνου, καὶ δευτέρου κηρύγματος ἤδη μοι τούτου[183] γιγνομένου, οὔτ' ἀντεῖπεν Αἰσχίνης παρὼν, οὔτε τὸν εἰπόντα ἐγράψατο. Καί μοι λέγε καὶ τοῦτο τὸ ψήφισμα λαβών, λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ Χαιρωνίδου[184] Ἡγήμονος ἄρχοντος, Γαμηλιῶνος ἕκτῃ ἀπιόντος[185], » φυλῆς πρυτανευούσης Λεοντίδος, Ἀριστόνικος Φρεάῤῥιος[186] εἶπεν· Ἐπειδὴ » Δημοσθένης Δημοσθένους Παιανιεὺς πολλὰς καὶ μεγάλας χρείας παρέσχη» ται[187] τῷ δήμῳ τῶν Ἀθηναίων, καὶ πολλοῖς τῶν συμμάχων καὶ πρότερον » καὶ ἐν τῷ παρόντι καιρῷ βεβοήθηκε διὰ τῶν ψηφισμάτων, καὶ τινας τῶν » ἐν τῇ Εὐβοίᾳ πόλεων ἠλευθέρωκε, καὶ διατελεῖ εὔνους ὢν τῷ δήμῳ τῶν » Ἀθηναίων, καὶ λέγει καὶ πράττει ὅ,τι ἂν δύνηται ἀγαθὸν ὑπέρ τε αὐτῶν » τῶν Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων· δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ » τῶν Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιέα, καὶ στεφα» νῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ, Διο» νυσίοις, τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως τοῦ στεφάνου ἐπιμελη» θῆναι τὴν πρυτανεύουσαν φυλὴν καὶ τὸν ἀγωνοθέτην. Εἶπεν Ἀριστόνικος » Φρεάῤῥιος ».

Ἔστιν οὖν ὅστις ὑμῶν οἰδέ τινα αἰσχύνην συμβᾶσαν τῇ πόλει διὰ τοῦτο τὸ ψήφισμα, ἢ χλευασμὸν, ἢ γέλωτα, ἃ νῦν οὗτος ἔφη συμβήσεσθαι, ἐὰν ἐγὼ στεφανῶμαι; Καὶ μὴν, ὅταν ἡ νέα καὶ γνώριμα πᾶσι τὰ πράγματα, ἐάν τε καλῶς ἔχῃ, χάριτος τυγχάνει· ἐὰν θ' ὡς ἑτέρως[188], τιμωρίας. Φαίνομαι τοίνυν ἐγὼ χάριτος τετυχηκὼς τότε, καὶ οὐ μέμψεως, οὐδὲ τιμωρίας.

Οὐκοῦν μέχρι μὲν τῶν χρόνων ἐκείνων, ἐν οἷς ταῦτ' ἐπράχθη, πάντας ἀνωμολόγημαι τοὺς χρόνους[189] τὰ ἄριστα πράττειν τῇ πόλει, τῷ νικᾶν, ὅτ' ἐβουλεύεσθε, λέγων καὶ γράφων· τῷ καταπαραχθῆναι τὰ γραφέντα, καὶ στεφάνους ἐξ αὐτῶν τῇ πόλει καὶ ἐμοὶ καὶ πᾶσιν ὑμῖν γενέσθαι· τῷ θυ-

---

182) (ἐνν.) Σιωπᾷς μὲν, βοᾷς δέ. 183) Τὸ Τούτου ἐξέλαβόν τινες ἀναφερόμενον εἰς τὸ τοῦ Ἀριστονίκου ψήφισμα· ἀλλ' ὁ Ψευδοπλούταρχος ῥητῶς λέγει· « Πρῶτος ἔγραψε στεφανωθῆναι αὐτὸν χρυσῷ στεφάνῳ Ἀριζονικος Νικοφάνες Ἀναγυράσιος », λέγει δὲ καὶ αὐτὸς ὁ Δημοσθένης (§ 63). Ταῦτα τὰ ψηφίσματα .. τὰ αὐτὰ ῥήματα ἔχει, ἅπερ πρότερον μὲν Ἀριστόνικος, νῦν δὲ Κτησιφῶν γεγραφε «. Ἀλλ' ἐπειδὴ ἀφ' ἑτέρου ἀναφέρει καὶ Δημομέλης καὶ Ὑπερίδου ψηφίσματα, περὶ ἑαυτοῦ ὁμοίως, ἢ παρακατιὼν λέγει ὅτι ἡ πρότερον πολλάκις ἐστεφανώθη, πιθανώτερον φαίνεται τὸ Τούτου ἀποδιδόμενον εἰς τὸ τοῦ Ἀριστονίκου ψήφισμα. 184) Ὁ αὐτὸς καὶ Χαιρώνδας ἢ Χαρώνδας καθὼς Φιλωνίδης ὁ Φιλώνδας καὶ Διωνίδης καὶ Διώνδας, κατὰ συγκοπήν. Ὁ δὲ Ἡγήμων, γραφόμενος καὶ Ἡγέμων, ἦτον φαίνεται πατήρ του. Ἴδε τὸν κατὰ Κτησιφ. § ή. 185) = Πέμπτῃ ἐπὶ εἰκάδι φθίνοντος. 186) Κατὰ τὸν Ψευδοπλούταρχον, Ἀναγυράσιος. 187) Ἐφάνη χρήσιμος.

188) Κακῶς δηλονότι, τὸ ὁπωσοῦν ἀπέφευγον πάντοτε οἱ ἀρχαῖοι, διὰ τὸ εὔφημον.

189) (Κατὰ) πάντας τοὺς χρόνους.

σίας τοῖς θεοῖς καὶ προσόδους[190], ὡς ἀγαθῶν τούτων ὄντων, ὑμᾶς πεποιῆσθαι. Ἐπειδὴ τοίνυν ἐκ τῆς Εὐβοίας ὁ Φίλιππος ἐξηλάθη, τοῖς μὲν ὅπλοις ὑφ' ὑμῶν, τῇ δὲ πολιτείᾳ καὶ τοῖς ψηφίσμασι, κἂν διαρραγῶσί τινες τούτων, ὑπ' ἐμοῦ· ἕτερον κατὰ τῆς πόλεως ἐπιτειχισμὸν ἐζήτει. ὁρῶν δ', ὅτι σίτῳ πάντων ἀνθρώπων πλείστῳ χρώμεθ' ἐπεισάκτῳ, βουλόμενος τῆς σιτοπομπείας κύριος γενέσθαι, παρελθὼν ἐπὶ Θράκης, Βυζαντίους, συμμάχους ὄντας αὐτῷ, τὸ μὲν πρῶτον ἠξίου συμπολεμεῖν τὸν πρὸς ὑμᾶς πόλεμον· ὡς δ' οὐκ ἤθελον, οὐδ' ἐπὶ τούτοις ἔφασαν τὴν συμμαχίαν πεποιῆσθαι, λέγοντες ἀληθῆ, χαράκωμα βαλόμενος πρὸς τῇ πόλει, καὶ μηχανήματ' ἐπιστήσας, ἐπολιόρκει. Τούτων δὲ γιγνομένων, ὅτι μὲν προσῆκε ποιεῖν ὑμᾶς, οὐκέτ' ἐρωτήσω· δῆλον γάρ ἐστιν ἅπασιν[191]. ἀλλὰ τίς ἦν ὁ βοηθήσας τοῖς Βυζαντίοις, καὶ σώσας αὐτούς; τίς ὁ κωλύσας τὸν Ἑλλήσποντον ἁπαλλοτριωθῆναι κατ' ἐκείνους τοὺς χρόνους; ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι. τὸ δ' Ὑμεῖς ὅταν εἴπω, τὴν πόλιν λέγω. τίς δ' ὁ τῇ πόλει λέγων καὶ γράφων καὶ πράττων, καὶ ἁπλῶς ἑαυτὸν εἰς τὰ πράγματα ἀφειδῶς διδούς; ἐγώ. Ἀλλὰ μήν, ἡλίκα ταῦτα ὠφέλησεν ἅπαντας, οὐκέτ' ἐκ λόγου δεῖ μαθεῖν ὑμᾶς, ἀλλ' ἔργῳ πεπείρασθε. ὁ γὰρ τότε ἐνστὰς πόλεμος, ἄνευ τοῦ[192] καλὴν δόξαν ἐνεγκεῖν, ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀφθονωτέροις καὶ εὐωνοτέροις διήγαγεν ὑμᾶς τῆς νῦν εἰρήνης, ἣν οὗτοι κατὰ τῆς πατρίδος τηροῦσιν οἱ χρηστοὶ ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν[193]· ὧν[194] διαμάρτοιεν, καὶ μὴ μετάσχοιεν, ὧν[195] ὑμεῖς, οἱ τὰ βέλτιστα βουλόμενοι, τοὺς θεοὺς αἰτεῖτε· μηδὲ μεταδοῖεν ὑμῖν, ὧν αὐτοὶ προήρηνται. Λέγε δ' αὐτοῖς καὶ τοὺς τῶν Βυζαντίων στεφάνους καὶ τοὺς τῶν Περινθίων, οἷς ἐστεφάνουν ἐκ τούτων τὴν πόλιν.

ΨΗΦΙΣΜΑ ΒΥΖΑΝΤΙΩΝ.

c Ἐπὶ Ἱερομνάμονος[196] Βοσπορίχῳ[197] Δαμάγητος ἐν τᾷ ἁλίᾳ[198] ἔλεξεν, ἐκ
d τᾶς βωλᾶς λαῶν ῥήτραν[199]· Ἐπειδὴ ὁ δᾶμος ὁ Ἀθηναίων ἔν τε τοῖς προ-
d γενομένοις καιροῖς εὐνοέων διατελεῖ Βυζαντίοις καὶ τοῖς συμμάχοις καὶ
d συγγενέσι Περινθίοις[200], καὶ πολλὰς καὶ μεγάλας χρείας παρέσχηται, ἔντε
d τῷ παρεστακότι καιρῷ[201], Φιλίππῳ τῷ Μακεδόνος ἐπιστρατεύσαντος ἐπὶ
d τὰν χώραν καὶ τὰν πόλιν ἐπ' ἀναστάσει[202] Βυζαντίων καὶ Περινθίων, καὶ
d τὰν χώραν δαΐοντος καὶ δενδροκοπέοντος, βοηθησας πλοίοισιν ἑκατὸν καὶ
d εἴκοσι, καὶ σίτῳ, καὶ βέλεσι, καὶ ὁπλίταις, ἐξείλετο ἄμμε[203] ἐκ τῶν με-
d γάλων κινδύνων, καὶ ἀποκατέστασε τὰν πάτριον πολιτείαν, καὶ τὼς νόμως

---

190) Ἴδε τὸ Λεξ. 191) (ἐνν.) Ὅτι ἔδει βοηθεῖν. 192) Ἐκτὸς τοῦ ὅτι. 193) Ἐλπίζοντες ἀντιμεμφθῆναι ὑπὸ τοῦ Ἀλεξάνδρου, ὡς τηρήσαντες, ἀπόντος αὐτοῦ, τὴν εἰρήνην.
194) Ἐλπίδων. 195) Τῶν ἀγαθῶν ἐκείνων, ἃ ὑμεῖς τοὺς θεοὺς αἰτεῖτε. 196) Δωρικῶς ἀντὶ Ἱερομνήμονος, διότι οἱ Βυζάντιοι, ὡς ἄποικοι τῶν Μεγαρέων, ἐδώριζον. 197) Οἱ μὲν ἐξέλαβον τὸ Βοσπόριχος ὡς ὄνομα τοῦ Ἱερομνήμονος, ἀπὸ τοῦ ὁποίου ἐχρονολογοῦντο, καθὼς εἰς τὰς Ἀθήνας ἀπὸ τοῦ ἐπωνύμου ἄρχοντος, τὰ δημόσια ἔγγραφα· οἱ δὲ ἀντὶ Βόσπορος, ἤτοι λείπει τὸ ὄνομα τοῦ Ἱερομνήμονος. 198) Ἡ τοῦ δήμου ἐκκλησία καθὼς εἰς τὰς Ἀθήνας ἡ Ἁλιαία. 199) Κατὰ προβούλευμα τῆς βουλῆς. = Βουλῆς γνώμη.
200) Πέρινθος ἡ νῦν Ἡράκλεια, πόλις τῆς Προποντίδος. 201) Τῷ παρόντι, τῷ ἐνεστῶτι.
202) Ἵνα ἀναστάτους ποιήσῃ. 203) Ἡμᾶς,

» καὶ τὰς τάφρους, δεδόχθαι[204] τῷ δάμῳ τῷ Βυζαντίων καὶ Περινθίων Ἀθη-
» ναίοις δόμεν[205] ἐπιγαμίαν, πολιτείαν, ἔγκτασιν γᾶς καὶ οἰκίαν[206], προε-
» δρίαν ἐν τοῖς ἀγῶσι, πόθοδον[207] ποτὶ τὰν βωλὰν καὶ τὸν δᾶμον πράτοις
» μετὰ τὰ ἱερά[208]· καὶ τοῖς κατοικεῖν ἐθέλουσι τὰν πόλιν ἀλειτουργήτοις
» ἦμεν πασᾶν τᾶν[209] λειτουργιᾶν· στᾶσαι δὲ καὶ εἰκόνας τρεῖς ἑκκαιδεκα-
» πήχεις ἐν τῷ Βοσπόρῳ[210], στεφανούμενον[211] τὸν δᾶμον τὸν Ἀθηναίων
» ὑπὸ τῶ δάμω τῶ Βυζαντίων καὶ Περινθίων· ἀποστεῖλαι δὲ καὶ δωρεὰς[212]
» ἐς τὰς ἐν τᾷ Ἑλλάδι πανηγύριας, Ἴσθμια καὶ Νέμεα καὶ Ὀλύμπια καὶ
» Πύθια, καὶ ἀνακαρύξαι τὸν στέφανον, ᾧ[213] ἐστεφάνωται ὁ δᾶμος ὁ Ἀθη-
» ναίων ὑφ' ὑμῶν, ὅπως ἐπιστέωνται οἱ Ἕλληνες πάντες Ἀθηναίων ἀρε-
» τὰν καὶ τὰν Βυζαντίων καὶ Περινθίων εὐχαριστίαν».

Λέγε καὶ τοὺς παρὰ τῶν ἐν Χερρονήσῳ στεφάνους.

ΨΗΦΙΣΜΑ ΧΕΡΡΟΝΗΣΙΤΩΝ.

«Χερρονησιτῶν οἱ κατοικοῦντες Σηστόν, Ἐλεοῦντα, Μάδυτον[214], Ἀλω-
» πεκόννησον, στεφανοῦσιν Ἀθηναίων τὴν βουλὴν καὶ τὸν δῆμον χρυσῷ
» στεφάνῳ ἀπὸ ταλάντων ἑξήκοντα· καὶ Χάριτος βωμὸν ἱδρύονται [καὶ]
» Δήμου Ἀθηναίων, ὅτι πάντων μέγιστον ἀγαθῶν πράττειν αἴτιος[215] γέ-
» γονε Χερρονησίταις, ἐξελόμενος ἐκ τῆς Φιλίππου[216], καὶ ἀποδοὺς τὰς
» πατρίδας, τοὺς νόμους, τὴν ἐλευθερίαν, τὰ ἱερά· καὶ ἐν τῷ μετὰ ταῦτα
» αἰῶνι παντὶ οὐκ ἐλλείψει εὐχαριστῶν, καὶ ποιῶν ὅ,τι ἂν δύνηται ἀγα-
» θόν. Ταῦτα ἐψηφίσαντο ἐν κοινῷ βουλευτηρίῳ».

Οὐκοῦν οὐ μόνον τὸ Χερρόνησον καὶ Βυζάντιον σῶσαι, οὐδὲ τὸ κωλῦσαι τὸν Ἑλλήσποντον ὑπὸ Φιλίππῳ γενέσθαι τότε, οὐδὲ τὸ τιμᾶσθαι τὴν πόλιν ἐκ τούτων, ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία διεπράξατο· ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις ἔδειξε τήν τε τῆς πόλεως καλοκἀγαθίαν, καὶ τὴν Φιλίππου κακίαν· ὁ μὲν γὰρ, φίλος καὶ σύμμαχος ὢν τοῖς Βυζαντίοις, πολιορκῶν αὐτοὺς ἐωρᾶτο ὑπὸ πάντων (οὗ τί γένοιτ' ἂν αἴσχιον, ἢ μιαρώτερον;)· ὑμεῖς δ' οἱ καὶ μεμψάμενοι[217] πολλὰ καὶ δίκαια ἂν ἐκείνοις εἰκότως περὶ ὧν ἠγνωμονήκεσαν εἰς ὑμᾶς ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐ μόνον οὐ μνησικακοῦντες, οὐδὲ προϊέμενοι τοὺς ἀδικουμένους, ἀλλὰ καὶ σώζοντες ἐφαίνεσθε· ἐξ ὧν δόξαν, εὔνοιαν, τιμὴν παρὰ πάντων ἐκτᾶσθε. Καὶ μὴν, ὅτι μὲν πολλοὺς ἐστεφανώκατ' ἤδη τῶν πολιτευομένων, ἅπαντες ἴσασι·

---

[204]) Ἔλεξε δεδόχθαι. [205]) Δοῦναι. [206]) Δικαίωμα ἰδιοκτησίας γαιῶν καὶ οἰκιῶν ἐν Βυζαντίῳ. [207]) Πρόσοδον πρὸς τὴν βουλὴν καὶ τὸν δῆμον. [208]) Πρώτοις μετὰ τὴν θυσίαν, ἢ μετὰ τὰς περὶ τῶν ἱερῶν ὑποθέσεις. [209]) Προσακτικαὶ λειτουργίαι ἦσαν αἱ ἔκτακτοι.
[210]) Ὅσοι ἐκλαμβάνουν τὸ Βοσπόριχος ὡς ἀνθρώπου ὄνομα, παραδέχονται ἐντεῦθα τὴν ἀνάγνωσιν Β ο σ π ό ρ ῳ. Πιθανώτερον νομίζω Β ο σ π ο ρ ί ῳ, διότι Βοσπόριον ὠνομάζετο ὁ λιμὴν τῶν Βυζαντίων. [211]) Παριςῶσας τὸν δῆμον τῶν Ἀθ. στεφανούμενον.
[212]) Ἐν ἄλλοις, Δ ω ρ ε ά ς. [213]) Ἐν ἄλλοις. Ὅς,—οὗς. [214]) Ἡ πόλις αὕτη φυλάττει ἐν σήμερον ἀκόμη τὸ ὄνομά της, καλουμένη Μάϊτος. [215]) Διορθ. Π α ρ α ί τ ι ο ς.
[216]) Προστιθεῖσί τινες, Β ί α ς· ἄλλοι διορθοῦσιν· Ἐ κ τ ο ῦ Φ ι λ ί π π ο υ.
[217]) Καὶ μ' ὅλον ὅτι εἶχετε ἴσως δίκαιον καὶ νὰ παραπονηθῆτε ἀπ' αὐτούς. Τὰς δὲ αἰτίας ἐκτίθησιν ἐν τῷ περὶ τῆς Ῥόδ. ἐλευθερίας.

δι' ὃν τινα δὲ ἄλλον ἡ πόλις ἐστεφάνωται, σύμβουλον λέγω καὶ ῥήτορα, πλὴν δι' ἐμέ, οὐδ' ἂν εἷς εἰπεῖν ἔχοι.

Ἵνα τοίνυν καὶ τὰς βλασφημίας, ἃς κατὰ τῶν Εὐβοέων καὶ τῶν Βυζαντίων ἐποιήσατο, εἴ τι δυσχερὲς αὐτοῖς ἐπέπρακτο πρὸς ὑμᾶς ὑπομιμνήσκων, συκοφαντίας οὔσας ἐπιδείξω, μὴ μόνον τῷ ψευδεῖς εἶναι, (τοῦτο μὲν γὰρ ὑπάρχειν ὑμᾶς εἰδότας ἡγοῦμαι[218],) ἀλλὰ καὶ τῷ[219], εἰ τὰ μάλιστ' ἦσαν ἀληθεῖς, οὕτως, ὡς ἐγὼ κέχρημαι τοῖς πράγμασι, συμφέρειν χρήσασθαι, ἐν ᾗ δύο βούλομαι τῶν καθ' ὑμᾶς[220] πεπραγμένων καλῶν τῇ πόλει διεξελθεῖν. καὶ ταῦτ' ἐν βραχέσι. καὶ γὰρ ἄνδρα ἰδίᾳ καὶ πόλιν κοινῇ πρὸς τὰ κάλλιστα τῶν ὑπαρχόντων ἀεὶ δεῖ[221] τὰ λοιπὰ πειρᾶσθαι πράττειν. Ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων, καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς, Εὔβοιαν, Τάναγραν, τὴν Βοιωτίαν ἅπασαν, Μέγαρα, Αἴγιναν, Κλεωνάς, τὰς ἄλλας νήσους, οὐ ναῦς, οὐ τείχη τῆς πόλεως τότε κεκτημένης, ἐξῆλθετε εἰς Ἀλίαρτον, καὶ πάλιν οὐ πολλαῖς ἡμέραις ὕστερον εἰς Κόρινθον, ὧν τότε Ἀθηναίων πόλλ' ἂν ἐχόντων μνησικακῆσαι καὶ Κορινθίοις καὶ Θηβαίοις τῶν περὶ τὸν Δεκελεικὸν πόλεμον[222] πραχθέντων· ἀλλ' οὐκ ἐποίουν τοῦτο, οὐδ' ἐγγύς[223]. καὶ τοι τότε ταῦτα ἀμφότερα[224], Αἰσχίνη, οὐθ' ὑπὲρ εὐεργετῶν ἐποίουν, οὔτ' ἀκίνδυνα ἑώρων· ἀλλ' οὐ διὰ ταῦτα προεῖντο[225] τοὺς καταφεύγοντας ἐφ' ἑαυτούς, ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἤθελον τοῖς δεινοῖς αὐτοὺς διδόναι, ὀρθῶς καὶ καλῶς βουλευόμενοι. πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου ὁ θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ· δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα· φέρειν δ', ὅ,τι ἂν ὁ θεὸς διδῷ, γενναίως[226]. Ταῦτ' ἐποίουν οἱ ὑμέτεροι πρόγονοι, ταῦθ' ὑμῶν οἱ πρεσβύτεροι· οἳ Λακεδαιμονίους, οὐ φίλους ὄντας οὐδ' εὐεργέτας, ἀλλὰ πολλὰ τὴν πόλιν ἡμῶν ἠδικηκότας καὶ μεγάλα, ἐπειδὴ Θηβαῖοι κρατήσαντες ἐν Λεύκτροις ἀνελεῖν ἐπεχείρουν, διεκωλύσατε, οὐ φοβηθέντες τὴν τότε Θηβαίοις ῥώμην καὶ δόξαν ὑπάρχουσαν, οὐδ' ὑπὲρ οἷα πεποιηκότων ἀνθρώπων κινδυνεύσετε διαλογισάμενοι. Καὶ γάρ τοι πᾶσι τοῖς Ἕλλησιν εὐείξατε ἐκ τούτων, ὅτι κἂν ὁ,τισοῦν τις εἰς ὑμᾶς ἐξαμάρτῃ, τούτῳ τὴν ὀργὴν εἰς τἆλλα ἔχετε· ἂν δ' ὑπὲρ σωτηρίας ἢ ἐλευθερίας κίνδυνός τις αὐτοὺς καταλαμβάνῃ, οὔτε μνησικακήσετε, οὔθ' ὑπολογιεῖσθε.

Καὶ οὐκ ἐπὶ τούτων μόνον οὕτως ἐσχήκατε, ἀλλὰ πάλιν σφετεριζομένων Θηβαίων τὴν Εὔβοιαν, οὐ περιείδετε, οὐδ' ὧν ὑπὸ Θεμίσωνος καὶ Θεοδώρου[227] περὶ Ὠρωπὸν ἠδίκησθε ἀνεμνήσθητε, ἀλλ' ἐβοηθήσατε καὶ τούτοις,

---

218) = Προειδέναι. 219) Μὴ μόνον τῷ εἶναι ψευδεῖς, ἀλλὰ καὶ τῷ συμφέρειν χρήσασθαι οὕτως ὡς κτλ. 220) Ἐφ' ὑμῶν, εἰς τὰς ἡμέρας Σας. 221) Ὅμοια μὲ τὰ προϋπάρχοντα, κατὰ τὸ παράδειγμα ἐκείνων. 222) Ὁ πόλεμος οὗτος, κληθεὶς οὕτως ἀπὸ τοῦ φρουρίου τῆς Δεκελείας, τὸ ὁποῖον, κατ' εἰσήγησιν τοῦ Ἀλκιβιάδου, κατέσχον οἱ Λακεδ., ἤρξατο τὸ δ'. ἔτος τῆς 91 Ὀλυμπ. 223) (ἐνν.) Τοῦ ποιῆσαι ἐγένοντο. 224) Τὸ ἐξελθεῖν εἰς Ἀλίαρτον, καὶ πάλιν ὕστερον εἰς Κόρινθον. 225) Προΐεμαι. 226) Τὴν λαμπρὰν ταύτην γνώμην ἀναφέρει ὁ Φιλόστρατος ὡς παράδειγμα « τῆς Δημοσθένους σεμνότητος ». 227) Εὐβοεῖς ἀμφότεροι, ἐπιθέμενοι τῷ Ὠρωπῷ, χωρίῳ μεταξὺ Ἀττικ. καὶ Βοιωτ., κατέσχον αὐτὸν τὸ γ'.

τῶν ἐθελοντῶν τριηραρχῶν τότε πρῶτον γενομένων τῇ πόλει, ὧν εἷς ἦν ἐγώ. ἀλλ' οὔπω περὶ τούτων[228]. Καίτοι καλὸν μὲν ἐποιησατε καὶ τὸ σῶσαι τὴν νῆσον, πολλῷ δ' ἔτι τούτου κάλλιον, τὸ, καταστάντες κύριοι, καὶ τῶν σωμάτων, καὶ τῶν πόλεων, ἀποδοῦναι ταῦτα δικαίως αὐτοῖς τοις ἐξημαρτηκόσιν εἰς ὑμᾶς, μηδὲν, ὧν ἠδίκησθε, ἐν οἷς ἐπιστεύθητε, ὑπολογισάμενοι. Μυρία τοίνυν ἕτερα εἰπεῖν ἔχων, παραλείπω, ναυμαχίας, ἐξόδους πεζὰς, στρατείας[229], καὶ πάλαι γεγονυίας, καὶ νῦν ἐφ' ὑμῶν αὐτων, ἃς ἁπάσας ἡ πόλις τῆς τῶν ἄλλων ἕνεχ' Ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας πεποίηται. Εἶτ' ἐγὼ τεθεωρηκὼς ἐν τοσούτοις καὶ τοιούτοις[230] τὴν πόλιν ὑπὲρ τῶν τοῖς ἄλλοις συμφερόντων ἐθέλουσαν ἀγωνίζεσθαι, ὑπὲρ αὐτῆς τρόπον τινὰ τῆς βουλῆς οὔσης, τί ἤμελλον κελεύσειν, ἢ τί συμβουλεύσειν αὐτῇ ποιεῖν; μνησικακεῖν νὴ Δία πρὸς τοὺς βουλομένους σώζεσθαι, καὶ προφάσεις ζητεῖν, δι' ἃς ἅπαντα προησόμεθα τὰ συμφέροντα; καὶ τίς οὐκ ἂν ἀπέκτεινέ με δικαίως, εἴ τι τῶν ὑπαρχόντων τῇ πόλει καλὸν λόγῳ μόνον καταισχύνειν ἐπεχείρησα; ἐπεὶ τό γε ἔργον οὐκ ἂν ἐποιήσαθ' ὑμεῖς, ἀκριβῶς οἶδ' ἐγώ· εἰ γὰρ ἠβούλεσθε, τί ἦν ἐμποδών; οὐκ ἐξῆν; οὐχ ὑπῆρχον οἱ ταῦτ' ἐροῦντες οὗτοι;

Βούλομαι τοίνυν ἐπανελθεῖν, ἐφ' ἃ τούτων ἐξῆς[231] ἐπολιτευόμην. καὶ σκοπεῖτε ἐν τούτοις πάλιν αὖ, τί τὸ τῇ πόλει βέλτιστον ἦν. Ὁρῶν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ναυτικὸν ὑμῶν καταλυόμενον, καὶ τοὺς μὲν πλουσίους ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων[232] γιγνομένους, τοὺς δὲ μέτρια ἢ μικρὰ κεκτημένους τῶν πολιτῶν τὰ ὄντα ἀπολλύντας, ἔτι δ' ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν τῶν καιρῶν, ἔθηκα νόμον, καθ' ὃν τοὺς μὲν τὰ δίκαια ποιεῖν ἠνάγκασα, τοὺς πλουσίους, τοὺς δὲ πένητας ἔπαυσ' ἀδικουμένους, τῇ πόλει δ', ὅπερ ἦν χρησιμώτατον, ἐν καιρῷ γίγνεσθαι τὰς παρασκευὰς ἐποίησα. καὶ γραφεὶς τὸν ἀγῶνα τοῦτον παρανόμων, εἰς ὑμᾶς εἰσῆλθον[233], καὶ ἀπέφυγον, καὶ τὸ πέμπτον μέρος τῶν ψήφων ὁ διώκων οὐκ ἔλαβε. Καίτοι πόσα χρήματα τοὺς ἡγεμόνας[234] τῶν συμμοριῶν[235], ἢ τοὺς δευτέρους[235a] καὶ τρίτους οἴεσθέ μοι δοῦναι, ὥστε μάλιστα μὲν μὴ θεῖναί με τὸν νόμον τοῦτον, εἰ δὲ μή, καταβαλόντα με ἐᾶν ἐν ὑπωμοσίᾳ[236]; τοσαῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα οἰκήσαιμ' ἂν ἐγὼ πρὸς ὑμᾶς εἰπεῖν. Καὶ ταῦτ' εἰκότως ἂν ἔπραττον ἐκεῖνοι. ἦν γὰρ αὐτοῖς, ἐκ μὲν τῶν προτέρων νόμων, συνεκκαίδεκα[237]

ἔτος τῆς ργ'. Ὀλυμπ. ἐπὶ Κηφισοδώρου ἄρχοντος, κατὰ τὸν Ξενοφ. (Ἑλλην. Ζ', δ'.) καὶ δικάζεσθαι περὶ αὐτοῦ πρὸς Ἀθηναίους ἠξίουν. Θηβαῖοι δὲ, λαβόντες τὸ χωρίον ἵνα φυλάξωσιν αὐτὸ δῆθεν ἄχρι τῆς δίκης, οὐδετέροις ἀπεδίδοσαν, ἄχρις οὗ Φίλιππος ὕστερον λαβὼν αὐτὸ παρὰ τῶν Θηβαίων ἐχαρίσατο τοῖς Ἀθην. Ἴδε καὶ Αἰσχ. κατὰ Κτησιφ. §. κδ'.

[228]) Διότι θὰ τὰ ἀναφέρῃ κατ' ἔκτασιν κατόπιν. [229]) Τὸ μὲν Ἐξοδος διὰ τὰ πλησίον μέρη, τὸ δὲ Στρατείας, διὰ τὰ μακρυνά. [230]) Καιροῖς ἢ κινδύνοις.

[231]) Ἀμέσως μετὰ ταῦτα. [232]) Ἐκ τοῦ μικρὰ ἀναλίσκειν. [233]) Παρουσιάσθην.

[234]) Τῶν πρὸς τὰς λειτουργίας συνταγμάτων. Εἴκοσι δὲ ἦσαν αἱ συμμορίαι αὗται, ἀνὰ ἑξήκοντα ἄνδρας ἑκάστη, ὑποδιαιρουμένη εἰς πέντε μέρη ἀνὰ δώδεκα ἄνδρας, καὶ ὑποχρεωμένη νὰ συνεισφέρῃ ἀνὰ 10 τριήρεις. Ἴδε τὸν περὶ τῶν Συμμοριῶν τούτων λόγον τοῦ ῥήτορος. [235]) Τοὺς πρώτους, καὶ καθεξῆς· διότι οἱ συγκροτοῦντες ἑκάστην συμμορίαν ἦ ἕκαστον πεμπτημόριον αὐτῆς ἦσαν κατατεταγμένοι ἀναλόγως τῆς καταστάσεως των ἀπὸ τοῦ εὐπορωτάτου μέχρι τῶν ἀπορωτάτων. [236]) Ἴδε τὸ Λεξ. [237]) Ἑκκαίδεκα ὁμοῦ συντελοῦντες εἰς μίαν τριήρη.

λειτουργεῖν, αὗται μὲν μικρὰ καὶ οὐδὲν ἀναλίσκουσι, τοὺς δ' ἀπόρους τῶν πολιτῶν ἐπιτρίβουσιν· ἐκ δὲ τοῦ ἐμοῦ νόμου, τὸ γιγνόμενον κατὰ τὴν οὐσίαν ἕκαστον τιθέναι, καὶ δυεῖν ἐφάνη τριήραρχος ὁ τῆς μιᾶς ἕκτος καὶ δέκατος ὢν πρότερον συντελής. οὐδὲ γὰρ τριηράρχους ἐπωνόμαζον ἑαυτούς, ἀλλὰ συντελεῖς. ὥστε δὴ ταῦτα λυθῆναι καὶ μὴ τὰ δίκαια ποιεῖν ἀναγκασθῆναι, οὐκ ἔσθ' ὅ,τι οὐκ ἐδίδοσαν. Καί μοι λέγε πρῶτον μὲν τὸ ψήφισμα, καθ' ὃ εἰσῆλθον τὴν γραφήν, εἶτα τοὺς καταλόγους, τόν τ' ἐκ τοῦ προτέρου νόμου, καὶ τὸν κατὰ τὸν ἐμόν. λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ ἄρχοντος Πολυκλέους[238], μηνὸς Βοηδρομιῶνος ἕκτῃ ἐπὶ δέκα, φυλῆς » πρυτανευούσης Ἱπποθοωντίδος, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἰσήνεγ- » κε νόμον εἰς τὸ τριηραρχικὸν[239] ἀντὶ τοῦ προτέρου, καθ' ὃν αἱ συντέλειαι » ἦσαν τῶν τριηράρχων· καὶ ἐπεχειροτόνησεν ἡ βουλὴ καὶ ὁ δῆμος. καὶ ἀπ- » ήνεγκε[240] παρανόμων γραφὴν Δημοσθένει Πατροκλῆς Φλυεύς, καὶ τὸ πέμ- » πτον μέρος τῶν ψήφων οὐ λαβὼν, ἀπέτισε τὰς πεντακοσίας δραχμάς[241] ».

Φέρε δὴ καὶ τὸν καλὸν[242] κατάλογον.

ΚΑΤΑΛΟΓΟΣ.

« Τοὺς τριηράρχους καλεῖσθαι ἐπὶ τὴν τριήρη συνεκκαίδεκα ἐκ τῶν ἐν » τοῖς λόγοις συντελειῶν[243], ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν εἰς τετταράκοντα, ἐπὶ » ἴσον τῇ χορηγίᾳ χρωμένους ».

Φέρε δὴ παρὰ τοῦτον, τὸν ἐκ τοῦ ἐμοῦ νόμου κατάλογον.

ΚΑΤΑΛΟΓΟΣ.

« Τοὺς τριηράρχους αἱρεῖσθαι ἐπὶ τὴν τριήρη ἀπὸ τῆς οὐσίας κατὰ τίμη- » σιν[244], ἀπὸ ταλάντων δέκα· ἐὰν δὲ πλειόνων ἡ οὐσία ἀποτετιμημένη ᾖ » χρημάτων, κατὰ τὸν ἀναλογισμὸν ἕως τριῶν πλοίων[245] καὶ ὑπηρετικοῦ ἡ » λειτουργία ἔστω· κατὰ τὴν αὐτὴν δὲ ἀναλογίαν ἔστω, καὶ οἷς ἐλάττων » οὐσία ἐστὶ τῶν δέκα ταλάντων, εἰς συντέλειαν συναγομένοις εἰς τὰ δέκα » τάλαντα ».

Ἆρά γε μικρὰ βοηθῆσαι τοῖς πένησιν ὑμῶν δοκῶ; ἢ μικρὰ ἀναλῶσαι ἂν, τοῦ[246] μὴ τὰ δίκαια ποιεῖν, οἱ πλούσιοι; Οὐ τοίνυν μόνον τῷ μὴ καθυφεῖναι[247] ταῦτα σεμνύνομαι, οὐδὲ τῷ γραφεὶς ἀποφυγεῖν, ἀλλὰ καὶ τῷ συμφέροντα θεῖναι τὸν νόμον, καὶ τῷ πεῖραν[248] ἔργῳ δεδωκέναι. πάντα γὰρ τὸν πόλεμον[249] τῶν ἀποστόλων γιγνομένων κατὰ τὸν νόμον τὸν ἐμὸν, οὐχ ἱκε-

---

238) Τὸ ἔτος τοῦτο, γ'. τῆς ρί. Ὀλυμπ., ἦτον κατὰ τὰς ἀναγραφὰς ἄρχων Λυσιμαχίδας, ἀλλ' ἴδε τὴν 87 σημ. τοῦ κατὰ Κτησιφ. 239) Διὰ τὸ τριηραρχ. (ἐνν.) ἀνάλωμα, καθὼς καὶ Θεωρικόν. Κατ' ἄλλους σημαίνει τὸ τῶν ναυτικῶν ὑπουργεῖον, l'Amirauté. 240) Μήπως ξένε ἁράγε Ἐπήνεγκε; μ' ὅλον ὅτι τὸ Ἀπήνεγκεν ἦτον λέξις δικανικῶς καθιερωμένη. 241) Τὸ τίμημα τῶν ἀδίκως ἐγκαλούντων τινά. 242) Εἰρωνικῶς ἀντὶ Κακόν. 243) Ἐκ τῶν ἐν ἑκάστῃ συμμορίᾳ συντελῶν. 244) Κατ' ἐκτίμησιν τῆς περιουσίας των, ἀπὸ δέκα τάλαντα καὶ κάτω. 245) Κατ' ἀναλογίαν μέχρι τριῶν τριήρεων καὶ ἑνὸς ὑπηρετικοῦ (μι- κροῦ πλοίου διὰ τὰ ἐρέβια κλπ.). 246) (Ὑπὲρ ἢ Ἕνεκα) τοῦ μὴ ποιεῖν τὰ δ. 247) Ἐνδοῦναι εἰς τὰς τῶν πλουσίων ἀπαιτήσεις. 248) Τοῦ συμφέροντα εἶναι αὐτόν. 249) (Κατὰ) πάντα τὸν π-

τηρίαν ἔθηκε[250] τριήραρχος οὐδείς πώποθ' ὡς ἀδικούμενος παρ' ὑμῖν, οὐκ ἐν Μουνυχίᾳ ἐκαθέζετο[251], οὐχ ὑπὸ τῶν ἀποστολέων[252] ἐδέθη οὐ τριήρης, οὔτ' ἔξω καταληφθεῖσα[253] ἀπώλετο τῇ πόλει, οὔτ' αὐτοῦ ἀπελείφθη, οὐ δυναμένη ἀνάγεσθαι. καίτοι κατὰ τοὺς προτέρους νόμους ἅπαντα ταῦτα ἐγίγνετο· τὸ δ' αἴτιον ἐν τοῖς πένησιν ἦν, τῷ λειτουργεῖν μὴ δύνασθαι· πολλὰ δὴ τὰ ἀδύνατα[254] συνέβαινεν. ἐγὼ δ' ἐκ τῶν ἀπόρων εἰς τοὺς εὐπόρους μετήνεγκα τὰς τριηραρχίας· πάντ' οὖν τὰ δέοντα ἐγίγνετο. Καὶ μὴν καὶ κατ' αὐτὸ τοῦτο ἄξιός εἰμι ἐπαίνου τυχεῖν, ὅτι πάντα τὰ τοιαῦτα προηρούμην πολιτεύματα, ἀφ' ὧν ἅμα δόξαι καὶ τιμαὶ καὶ δυνάμεις συνέβαινον τῇ πόλει· βάσκανον[255] δὲ καὶ πικρὸν[256] καὶ κακόηθες οὐδέν ἐστι πολίτευμα ἐμόν, οὐδὲ ταπεινόν, οὐδὲ τῆς πόλεως ἀνάξιον.

Ταὐτὸ τοίνυν ἦθος ἔχων ἔν τε τοῖς κατὰ τὴν πόλιν πολιτεύμασι καὶ ἐν τοῖς Ἑλληνικοῖς φανήσομαι. οὔτε γὰρ ἐν τῇ πόλει τὰς παρὰ τῶν πλουσίων χάριτας μᾶλλον ἢ τὰ τῶν πολλῶν δίκαια εἱλόμην· οὔτ' ἐν τοῖς Ἑλληνικοῖς τὰ Φιλίππου δῶρα καὶ τὴν ξενίαν ἠγάπησα ἀντὶ τῶν κοινῇ πᾶσι ταῖς Ἕλλησι συμφερόντων. Ἡγοῦμαι τοίνυν λοιπὸν εἶναί μοι περὶ τοῦ κηρύγματος[257] εἰπεῖν, καὶ τῶν εὐθυνῶν[258]· τὸ γάρ, ὡς τὰ ἄριστά γε ἔπραττον, καὶ διὰ παντὸς εὔνους εἰμί, καὶ πρόθυμος εὖ ποιεῖν ὑμᾶς, ἱκανῶς ἐκ τῶν εἰρημένων δεδηλῶσθαί μοι νομίζω. Καίτοι τὰ μέγιστά γε τῶν πεπολιτευμένων καὶ πεπραγμένων ἐμαυτῷ παραλείπω, ὑπολαμβάνων, πρῶτον μὲν ἐφεξῆς[259] τοὺς περὶ αὐτοῦ τοῦ παρανόμου[260] λόγους ἀποδοῦναί με δεῖν· εἶτα, κἂν μηδὲν εἴπω περὶ τῶν λοιπῶν πολιτευμάτων, ὁμοίως παρ' ὑμῶν ἑκάστῳ τὸ συνειδὸς ὑπάρχειν μοι[261].

Τῶν μὲν οὖν λόγων[262], οὓς οὗτος ἄνω καὶ κάτω διακυκῶν ἔλεγε περὶ τῶν παραγεγραμμένων[263] νόμων, οὔτε, μὰ τοὺς θεούς, οἶμαι ὑμᾶς μανθάνειν[264], οὔτ' αὐτὸς ἠδυνάμην συνεῖναι τοὺς πολλούς[265] αὐτῶν· ἁπλῶς δὲ τὴν ὀρθὴν ὁδὸν[266] περὶ τῶν δικαίων διαλέξομαι. Τοσοῦτον γὰρ δέω λέγειν, ὡς οὐκ εἰμὶ ὑπεύθυνος, ὃ νῦν οὗτος [πολλάκις] διέβαλλε καὶ διωρίζετο, ὥσθ' ἅπαντα τὸν βίον[267] ὑπεύθυνος εἶναι ὁμολογῶ, ὧν ἢ διακεχειρίκα ἢ πεπολίτευμαι παρ' ὑμῖν. ὧν μέντοι γε ἐκ τῆς ἰδίας οὐσίας ἐπαγγειλάμενος[268] δέδωκα τῷ δήμῳ, οὐδεμίαν ἡμέραν ὑπεύθυνος εἶναι φημί· ἀκούεις, Αἰσχίνη; οὐδ' ἄλλον οὐδένα[269], οὐδ' ἂν τῶν ἐννέα ἀρχόντων τις ὢν τύχῃ. Τίς γὰρ ἐστι νόμος τοσαύτης ἀδικίας καὶ μισανθρωπίας μεστός, ὥστε τὸν δόντα τι τῶν ἰδίων,

---

250) Εἰς τὸ τῆς Μουνυχίας Ἀρτέμιδος ἱερόν. 251) Κατέφυγεν ὡς ἱκέτης. 252) Ἀποστολεῖς, ἄρχοντες Ἀθήνησιν, ἐπιστάται τῆς ἐκπλεύσεως τῶν στόλων. 253) Προφθασθεῖσα ὑπὸ τῶν ἐχθρῶν, διὰ τὸ μὴ ταχυναυτεῖν, ὡς μὴ καλῶς παρεσκευασμένη. 254) » Ἅνοι τοῦ φιλαίτιον καὶ συκοφαντικόν, » λέγει ὁ Οὐλπ. 255) Τοῦ στεφάνου ἐν τῷ θεάτρῳ. 256) Τοῦ ἀπολογισμοῦ τῆς διαχειρίσεώς τε, ἴδε τὴν Ὑπόθ. καὶ τὴν 417 σημ. τοῦ κατὰ Κτησιφ. 257) Μετὰ τὰ περὶ τοῦ πολιτεύματός μου εἰρημένα. 258) Περὶ τοῦ ἂν ἦνε ἢ οὐχὶ παράνομον ἐν γένει τὸ ψήφισμα. 259) Συνοιδέν (Συνειδὸς ὑπάρχει) ἕκαστος ὑμῶν ἐμοὶ οὕτω πολιτευσαμένῳ. 260) Μανθάνειν τοὺς πολλοὺς ἐκ τῶν λόγων. 261) Γεγραμμένων παραλλήλως (εἰς τὸ πλάγιον) τοῦ ψηφίσματος ἐπὶ σανίδος, καθὼς λέγει ὁ Αἰσχίνης, § νς. Ἀλλά παλαιός τις σχολιαστὴς ἑρμηνεύει τὴν λέξιν διὰ τοῦ » Νόθων. .. παρ' οὓς παρέγραψα τὸ ψήφισμα «. 262) Ἐννοεῖν. 263) Τοὺς πλείους. 264) (Κατὰ) τὴν ὀρθ. ὁδόν. 265) Ὑπ' ἅπαντα τὸν β. 266)=Αὐτεπάγγελτος, αὐθορμήτως. 267) (Ἐνν.) Φημὶ εἶναι ὑπεύθυνον.

καὶ ποιήσαντα πρᾶγμα φιλάνθρωπον καὶ φιλόδωρον[268], τῆς χάριτος μὲν ἀποστερεῖν, εἰς δὲ τοὺς συκοφάντας ἄγειν, καὶ τούτους ἐπὶ τὰς εὐθύνας, ὧν ἔδωκεν, ἐφιστάναι; οὐδὲ εἷς ὅηπου· εἰ δὲ φησιν οὗτος, δειξάτω, κἀγὼ στέρξω καὶ σιωπήσομαι. Ἀλλ' οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ' οὗτος συκοφαντῶν, ὅτι ἐπὶ τῷ θεωρικῷ τότε ὢν, ἐπέδωκα τὰ[269] χρήματα, ἐπῄνεσεν αὐτόν, φησίν, ἡ βουλὴ ὑπεύθυναν ὄντα· οὐ περὶ τούτων γε[270] οὐδενός, ὧν ὑπεύθυνος ἦν, ἀλλ' ἐφ' οἷς ἐπέδωκα, ὦ συκοφάντα.

Ἀλλὰ καὶ τειχοποιὸς ἦσθα, φησί· καὶ δι' αὐτό γε τοῦτο ὀρθῶς ἐπῃνούμην, ὅτι ταὐηλωμένα ἐπέδωκα, καὶ οὐκ ἐλογιζόμην. Ὁ μὲν γὰρ λογισμὸς εὐθυνῶν καὶ τῶν ἐξεταζόντων προσδεῖται· ἡ δὲ δωρεὰ χάριτος καὶ ἐπαίνου δικαία ἐστὶ τυγχάνειν· διόπερ ταῦτ' ἔγραψεν ὁδί[271] περὶ ἐμοῦ. Ὅτι δ' οὕτω ταῦτα ἔχει, καὶ οὐ μόνον ἐν τοῖς νόμοις, ἀλλὰ καὶ ἐν τοῖς ὑμετέροις ἤθεσιν ὥρισται[272], ἐγὼ ῥᾳδίως πολλαχόθεν δείξω. Πρῶτον μὲν γὰρ Ναυσικλῆς στρατηγῶν, ἐφ' οἷς ἀπό τῶν ἰδίων προεῖτο, πολλάκις ἐστεφάνωται ὑφ' ὑμῶν· εἶθ', ὅτι τὰς ἀσπίδας Διότιμος ἔδωκε, καὶ πάλιν Χαρίδημος, ἐστεφανοῦντο· εἶθ' οὑτοσὶ[273] Νεοπτόλεμος, πολλῶν ἔργων ἐπιστάτης ὤν, ἐφ' οἷς ἐπέδωκε τετίμηται. Σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε, εἰ τῷ τινα ἀρχὴν ἄρχοντι ἢ δι[δ]όναι τὰ ἑαυτοῦ τῇ πόλει διὰ τὴν ἀρχὴν μὴ ἐξέσται, ἢ τῶν δοθέντων, ἀντὶ τοῦ κομίσασθαι χάριν, εὐθύνας ὑφέξει. Ὅτι τοίνυν ταῦτ' ἀληθῆ λέγω, λέγε τὰ ψηφίσματά μοι τὰ τούτοις[274] γεγενημένα αὐτά[275], λαβών· λέγε.

ΨΗΦΙΣΜΑ.

α Ἄρχων[276] Δημόνικος Φλυεύς, Βοηδρομιῶνος ἕκτῃ μετ' εἰκάδα[276],
β γνώμῃ βουλῆς καὶ δήμου, Καλλίας Φρεάρριος εἶπεν· Ὅτι δοκεῖ τῇ
β βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι Ναυσικλέα, τὸν ἐπὶ τῶν ὅπλων[277], ὅτι,
β Ἀθηναίων ὁπλιτῶν δυσχιλίων ὄντων ἐν Ἰμβρῳ[278] καὶ βοηθούντων
β τοῖς κατοικοῦσιν Ἀθηναίοις τὴν νῆσον, οὐ δυναμένου Φίλωνος τοῦ ἐπὶ
β τῆς διοικήσεως[279] κεχειροτονημένου, διὰ τοὺς χειμῶνας πλεῦσαι καὶ
β μισθοδοτῆσαι τοὺς ὁπλίτας, ἐκ τῆς ἰδίας οὐσίας ἔδωκε, καὶ οὐκ εἰσέπραξε
β τὸν δῆμον· καὶ ἀναγορεῦσαι τὸν στέφανον Διονυσίοις, τραγῳδοῖς καινοῖς».

ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ.

«Εἶπε Καλλίας Φρεάρριος, πρυτάνεων λεγόντων[280] βουλῆς γνώμῃ· Ἐπει-

---

268) Φιλοδώρου, ἐλευθερίου ἀνθρώπου ἴδιον. 269) Ἂν δὲν ἦνε τολμηρὸν, ἴσως πρέπει, νομίζω, νὰ διορθωθῇ: Ἐπέδωκ' ἅττα χρήματα· διότι πρῶτον ὁ ῥήτωρ δὲν προεῖπε τίποτε περὶ τούτου, ὥστε τὸ ἄρθρον νὰ ἀναφέρηται εἰς τὰ προειρημένα· ἔπειτα καὶ τὰ ἐπιδεδομένα δὲν ἦσαν εἰμὴ 100 μναῖ, περὶ τῶν ὁποίων ἠμποροῦσεν ὁ ῥήτωρ νὰ εἴπῃ ὅτι ἦσαν ὀλίγα τινὰ (ἅττα). 270) Ὄχι βέβαια διὰ κἀνὲν ἐξ ἐκείνων ὧν ὑπεύθυνος ἤμην. 271) Ὁ Κτησιφῶν. 272) Ἐθίμοις. 273) Τὸ δεικτικόν, διοτι ἦτον παρών. 274) (Ἐπὶ) τούτοις, πρὸς χάριν τούτων τῶν προειρημένων ἀνδρῶν. 275) Τὰ ἴδια, τὰ πρωτότυπα ὄχι ἀντίγραφα αὐτῶν. 276) Σπανιώτερον, ἀντὶ τοῦ συνήθους: Ἐπὶ Ἀρχοντος· ἔχει δὲ ὑπονοούμενον τὸ Ἦν. 277) Ὄχι τῇ 25, καθὼς ἀναποδίζων μετρᾷ ὁ Οὐλφιος· ἀλλὰ τῇ 26. ἴδε ᾧ τὴν 138 σημ. τοῦ κατὰ Κτησιφ. 277) (ἐνν.) Στρατηγὸν, ἴδε σημ. 95. 278) Τῇ νήσῳ, τῇ παρὰ τὸν Ἑλλήσποντον. 279) Ἴδε σημ. 96. 280) Ὁ Οὐλφιος ᾧ ἄλλοι ἐξέλαβον τὸ Λεγόντων ἀντὶ Συλλεγέντων, ᾧ τὸ μετέφρασαν convocatis: ἀπορῶ πόθεν συμπεράναντες τοῦτο, ἐν ᾧ φαίνεται τῷ ὄντι δυσεξήγητος ἄλλως ἡ λέξις. Νομίζω, ἀλλὰ πολὺ ἀμφιβάλ-

» δὴ Χαρίδημος, ὁ ἐπὶ τῶν ὁπλιτῶν, ἀποσταλεὶς εἰς Σαλαμῖνα[281], καὶ » Διότιμος, ὁ ἐπὶ τῶν ἱππέων, ἐν τῇ ἐπὶ τοῦ ποταμοῦ[282] μάχῃ τῶν στρα- » τιωτῶν τινων[283] ὑπὸ τῶν πολεμίων σκυλευθέντων, ἐκ τῶν ἰδίων ἀναλω- » μάτων καθώπλισαν τοὺς νεανίσκους ἀσπίσιν ὀκτακοσίαις· δεδόχθαι τῇ » βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι Χαρίδημον καὶ Διότιμον χρυσῷ στε- » φάνῳ, καὶ ἀναγορεῦσαι Παναθηναίοις τοῖς μεγάλοις ἐν τῷ γυμνικῷ ἀ- » γῶνι[284], καὶ Διονυσίοις, τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως ἐπιμε- » ληθῆναι θεσμοθέτας, πρυτάνεις, ἀγωνοθέτας».

Τούτων ἕκαστος, Αἰσχίνη, τῆς μὲν ἀρχῆς, ἧς ἦρχεν, ὑπεύθυνος ἦν, ἐφ' οἷς δ' ἐστεφανοῦτο, οὐχ ὑπεύθυνος· οὐκοῦν οὐδ' ἐγώ. ταὐτὰ γὰρ δίκαιά ἐστί μοι περὶ τῶν αὐτῶν τοῖς ἄλλοις δῆπου. Ἐπέδωκα, καὶ ἐπαινοῦμαι διὰ ταῦτα, οὐκ ὢν, ὧν ἐπέδωκα, ὑπεύθυνος· ἦρχον, καὶ δέδωκά γε εὐθύνας ἐκείνων[285], οὐχ ὧν ἐπέδωκα. Νὴ Δί', ἀλλ' ἀίκως ἦρξα; εἶτα παρὼν, ὅτε με εἰσῆγον[286] οἱ λογισταὶ, διὰ τί οὐ κατηγόρεις; Ἵνα τοίνυν εἰδῆτε, ὅτι αὐτὸς οὑτός μοι μαρτυρεῖ, ἐφ' οἷς οὐχ ὑπεύθυνος ἦν ἐστεφανῶσθαι, λαβὼν ἀνάγνωθι τὸ ψήφισμα ὅλον[287] τὸ γραφέν μοι[288]. οἷς[289] γὰρ οὐκ ἐγράψατο τοῦ προβουλεύματος, τούτοις, ἃ διώκει, συκοφαντῶν φανήσεται. λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ ἄρχοντος Εὐθυκλέους, Πυανεψιῶνος ἐννάτῃ[290] ἀπιόντος, φυλῆς πρυ- » τανευούσης Οἰνηΐδος. Κτησιφῶν Λεωσθένους Ἀναβλύστιος εἶπεν· Ἐπειδὴ » Δημοσθένης Δημοσθένους Παιανιεὺς, γενόμενος ἐπιμελητὴς τῆς τῶν τει- » χῶν ἐπισκευῆς, καὶ προσαναλώσας εἰς τὰ ἔργα ἀπὸ τῆς ἰδίας οὐσίας τρία » τάλαντα, ἐπέδωκε ταῦτα τῷ δήμῳ, καὶ ἐπὶ τοῦ θεωρικοῦ καταστὰς, » ἐπέδωκε τοῖς ἐκ πασῶν τῶν φυλῶν θεωρικοῖς[291] ἑκατὸν μνᾶς εἰς θυσίας· » δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δη- » μοσθένους Παιανιέα, ἀρετῆς ἕνεκα καὶ καλοκἀγαθίας[292], ἧς ἔχων διατε- » λεῖ ἐν παντὶ καιρῷ εἰς τὸν δῆμον τῶν Ἀθηναίων, καὶ στεφανῶσαι χρυ- » σῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ, Διονυσίοις, » τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως ἐπιμεληθῆναι τὸν ἀγωνοθέτην».

λων, ὅτι ἡ φράσις σημαίνει· (Σὺν τῇ) γνώμῃ τῆς βουλῆς, καθὼς εἶπον (διεβεβαίωσαν) περὶ τούτου οἱ πρυτάνεις, κατὰ τὸ λέγειν τῶν πρυτάνεων. [281]) Πόλιν τῆς Κύπρου. [282]) Ποτόν ἐν Κύπρῳ παρὰ τὴν Σαλαμῖνα οὐδεὶς ἀναφέρει· ὅθεν πιθανῶς ἐννοεῖ ὁ ῥήτωρ τὴν αὐτὴν μάχην, τὴν ὁποίαν ἀναφέρει ᾧ ἐν τῷ ἑξ. §. ᾧ ποταμὸν τῶν ἐν Βοιωτίᾳ τινά, καὶ πιθανώτατα τὸν Κηφισσόν· καὶ τότε ἀφαιρετέον τὸ κόμμα μετὰ τὸ Τῶν ὁπλιτῶν, ἵν' ᾖ· Ὁ ἀποσταλεὶς εἰς Σ. ἐπὶ (στρατηγὸς) τῶν ὁπλ. [283]) Διορθοῦσί τινες: Στρατιωτικῶν (ἐνν. σκευῶν). [284]) Διότι τότε ἦτον ἡ πλειοτέρα συρροὴ τῶν θεατῶν. [285]) Τί. ν ἦρξα. [286]) Εἰς τὸ λογιστήριον. Ἦσαν δὲ οἱ λογισταὶ οὗτοι δέκα τὸν ἀριθμὸν, καὶ εἰς αὐτοὺς ὠφειλον νὰ δώσωσι λογον τῆς διαχειρίσεώς των οἱ ἄρχοντες, ἐντὸς τριακοντα ἡμερῶν μετὰ τὴν παῦσίν των. Ἄλλοι παρὰ τούτους ἦσαν οἱ δύω λογισταὶ, ὁ μὲν τῆς βουλῆς, ὁ δὲ τῆς διοικήσεως, ἐκλεγόμενοι διὰ κλήρου ὡς παρακαλυθεῖν τοῖς διοικοῦσι, κατὰ τὸν Πολυδ. Καὶ ἄλλοι πάλιν οἱ εὔθυνοι, προσαιρούμενοι ὡς πάρεδροι τρόπον τινὰ τῶν λογιζῶν, ᾧ εἰσπράκτορες τῶν ὀφειλομένων τῷ δημοσίῳ. [287]) (Ἐπὶ) ἐμοὶ, πρὸς χάριν (ἕνεκεν) ἐμοῦ. [288]) Διότι ὁ Αἰσχίνης εἰς τὴν κατηγορίαν τε ἀνέφερε μόνον μέρος (τὸ ἐπιλῆψιμον) αὐτοῦ. [289]) (Ἐν τούτοις γὰρ τοῖς μέρεσι τοῦ προβολ.) οἷς (κατ' ἔφελκ. ἀντὶ Ἃ) οὐκ ἐγράψατο, φανήσεται συκοφαντῶν καὶ ἐκεῖνα ἃ διώκει. [290]) Τῇ 22. [291]) Διορθ. θεωροῖς. [292]) Ὁ Αἰσχίν. ἀπὸ κακοήθειαν βέβαια ἔγραψεν Ἀνδραγαθίας, ὅ. σημ. 122.

Οὐκοῦν, ἃ μὲν ἐπέδωκα, ταῦτ' ἐστὶν, ὧν οὐδὲν σὺ γέγραψαι· ἃ δὲ φησιν ἡ βουλὴ δεῖν ἀντὶ τούτων γενέσθαι μοι, ταῦτ' ἔσθ', ἃ οἰώκεις. Τὸ λαθεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφῃ; ὁ δὲ παμπόνηρος ἄνθρωπος καὶ θεοῖς ἐχθρὸς καὶ βάσκανος ὄντως ποιός τις ἂν εἴη πρὸς θεῶν; [εἰ[295]] οὐχ ὁ τοιοῦτος; Καὶ μὴν περὶ τοῦ γ' ἐν τῷ θεάτρῳ κηρύττεσθαι[296], τὸ μὲν μυριάκις μυρίους[297] κεκηρῦχθαι παραλείπω, καὶ τὸ πολλάκις[298] αὐτὸς ἐσεφανῶσθαι πρότερον· ἀλλὰ, πρὸς θεῶν, οὕτω σκαιὸς εἶ καὶ ἀναίσθητος, Αἰσχίνη, ὡς οὐ δύνασαι λογίσασθαι, ὅτι τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον[299] ὁ στέφανος, ὅπου ἂν ἀναῤῥηθῇ· τοῦ δὲ τῶν στεφανούντων ἕνεκα συμφέροντος ἐν τῷ θεάτρῳ γίγνεται τὸ κήρυγμα; οἱ γὰρ ἀκούσαντες ἅπαντες εἰς τὸ ποιεῖν εὖ τὴν πόλιν προτρέπονται, καὶ τοὺς ἀποδιδόντας τὴν χάριν μᾶλλον ἐπαινοῦσι τοῦ στεφανουμένου· διόπερ τὸν νόμον τοῦτον ἡ πόλις γέγραφε. Λέγε δ' αὐτόν μοι τὸν νόμον λαβών.

ΝΟΜΟΣ.

α Ὅσους στεφανοῦσί τινες τῶν δήμων, τὰς ἀναγορεύσεις τῶν στεφάνων ποιεῖσθαι ἐν αὐτοῖς ἑκάστους τοῖς ἰδίοις δήμοις, ἐὰν μή τινας ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἢ ἡ βουλὴ στεφανοῖ· τούτοις δὲ[298] ἐξεῖναι ἐν τῷ θεάτρῳ Διονυσίοις ἀναγορεύεσθαι.

Ἀκούεις, Αἰσχίνη, τοῦ νόμου λέγοντος σαφῶς· α πλὴν ἐάν τινας ὁ δῆμος ἢ ἡ βουλὴ ψηφίσηται· τούτους δὲ ἀναγορευέτω; Τί οὖν, ὦ ταλαίπωρε, συκοφαντεῖς; τί λόγους πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις[299] ἐπὶ τούτοις; Ἀλλ' οὐδ' αἰσχύνῃ, φθόνου δίκην εἰσάγων, οὐκ ἀδικήματος οὐδενὸς [λαβεῖν τιμωρίαν][300], καὶ νόμους τοὺς μὲν μεταποιῶν, τῶν δ' ἀφαιρῶν μέρη, οὓς ὅλους δίκαιον ἦν ἀναγιγνώσκεσθαι τοῖς γε ὀμωμοκόσι[301] κατὰ τοὺς νόμους ψηφιεῖσθαι; Ἔπειτα σὺ, τοιαῦτα ποιῶν, λέγεις, ἃ δεῖ προσεῖναι τῷ δημοτικῷ[302], ὥσπερ ἀνδριάντα ἐκδεδωκὼς κατὰ συγγραφήν[303], εἶτ' οὐκ ἔχοντα, ἃ προσῆκεν ἐκ τῆς συγγραφῆς, κομιζόμενος, ἢ λόγῳ τοὺς δημοτικοὺς, ἀλλ' οὐ τοῖς πράγμασι καὶ τοῖς πολιτεύμασι γιγνωσκομένους[304]· καὶ βοᾷς, ῥητὰ καὶ ἄῤῥητα ὀνομάζων, ὥσπερ ἐξ ἀμάξης[305], ἃ σοὶ καὶ τῷ σῷ γένει πρόσεστιν, οὐκ ἐμοί[306]. Καίτοι καὶ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι· ἐγὼ λοιδορίαν κατηγορίας τούτῳ δια-

---

295) Τὸ Εἰ προσετέθη ὑπὸ τοῦ Ῥεϊσκίου, οὐδὲν δέον. 296) Μεταβαίνει εἰς τὸ ἄλλο ζήτημα, τὸ περὶ τοῦ Ποῦ. 297) Ὑπερβολὴ συνήθης τοῖς ῥήτορσι. 298) Πῶς Πολλάκις, ἀφ' οὗ ἴδιος εἶπεν ἀνωτέρω (§. 26): « Καὶ δευτέρᾳ κηρύγματος ἤδη μοι τούτου γιγνομένου »; Ἀλλὰ τὰ στρατηγήματα ταῦτα συγχωροῦνται τοῖς ῥήτορσι. 299) Τιμήν. 300) Ἀλλ' ὁ νόμος ἐννοεῖ τοὺς ξένους μόνον· ὠφελεῖται ὅμως ὁ Δημοσθ. ἀπὸ τὸ ἀόριστον τῆς φράσεως. 299) Δι' ἐλλεβόρου καθαίρεις, ὡς πάσχων ἄνοιαν ἢ πικρίαν (φθόνου). 300) Τὸ λαβεῖν τιμωρίαν παρέλιπεν, εὖ ποιῶν, ὁ μακαρίτης Δούκας, ὡς προστεθὲν ὑπὸ τοῦ Οὐολφίου, πρὸς εὐδόσιν ὅθεν τῆς συντάξεως! 301) (Ἐν) τοῖς ὀμωμοκόσιν, ἐνώπιον ἢ ἐν ἐπηκόῳ αὐτῶν. 302) Ἴδε Αἰσχ. κατὰ Κτησιφ. §. μέ. 303) Ὡς ἐὰν ἐσυμφώνησας ἀνδριάντος κατασκευὴν μετά τινος ἀνδριαντοποιοῦ, καὶ ἔπειτα δὲν τὸν δέχεσαι, διότι δὲν εἶναι κατὰ τὴν συμφωνίαν. 304) Αἰτιατικὴ ἀπόλυτος, ἀπὸ κοινοῦ τοῦ Ὥσπερ, διὰ τὸ ψευδὲς τῆς ὑποθέσεως. 305) Εἰς τὰ Ἐλευσίνια αἱ γυναῖκες τῶν Ἀθην. ἀπερχόμεναι ἐφ' ἁμάξης εἰς τὴν πανήγυριν, ἐλοιδοροῦντο ἀλλήλαις, κατά τι θρησκευτικὸν ἔθιμον· ὅθεν ἡ παροιμία.

306) (ἐνν.) Ἐστίν.

φέρειν ἡγοῦμαι, τῷ τὴν μὲν κατηγορίαν ἀδίκημα[507] ἔχειν, ὧν ἐν τοῖς νόμοις εἰσὶν αἱ τιμωρίαι, τὴν δὲ λοιδορίαν βλασφημίας, ἃς κατὰ τὴν αὐτῶν φύσιν τοῖς ἐχθροῖς περὶ ἀλλήλων συμβαίνει λέγειν· οἰκοδομῆσαι δὲ τοὺς προγόνους ἡμῶν ταυτὶ τὰ δικαστήρια ὑπείληφα, οὐχ ἵνα, συλλέξαντες ὑμᾶς εἰς ταὐτὰ, ἀπὸ τῶν ἰδίων κακῶν[507*] τὰ ἀπόρρητα λέγωμεν ἀλλήλους, ἀλλ' ἵνα ἐξελέγχωμεν, ἐάν τις ἡδικηκώς τι τυγχάνῃ τὴν πόλιν. Ταῦτα τοίνυν εἰδὼς Αἰσχίνης, οὐδὲν ἧττον ἐμοῦ, πομπεύειν[508] ἀντὶ τοῦ κατηγορεῖν εἵλετο.

Οὐ μὴν οὐδ' ἐνταῦθα[507*] ἔλαττον ἔχων[508] δίκαιός ἐστιν ἀπελθεῖν· ἦδη δ' ἐπὶ ταῦτα πορεύσομαι[509], τοσοῦτον αὐτὸν ἐρωτήσας. Πότερόν σέ τις, Αἰσχίνη, τῆς πόλεως ἐχθρὸν ἢ ἐμὸν εἶναι θῇ[509*]; ἐμὸν ὤηλονότι· εἶτα, οὗ[510] μὲν ἦν παρ' ἐμοῦ δίκην κατὰ τοὺς νόμους ὑπὲρ τούτων[511] λαβεῖν, εἴπερ ἠδίκουν, ἐξέλιπες, ἐν ταῖς εὐθύναις[512], ἐν ταῖς γραφαῖς[513], ἐν ταῖς ἄλλαις κρίσεσιν· οὗ δ' ἐγὼ μὲν ἀθῶος ἅπασι, τοῖς νόμοις, τῷ χρόνῳ, τῇ προθεσμίᾳ, τῷ κεκρίσθαι περὶ πάντων πολλάκις τούτων πρότερον, τῷ μηδεπώποτε ἐξελεγχθῆναι μηδὲν ὑμᾶς ἀδικῶν, τῇ πόλει δ' ἡ πλέον ἢ ἔλαττον[513*] ἀνάγκη τῶν γε δημοσίᾳ πεπραγμένων μετεῖναι τῆς δόξης[513*], ἐνταῦθα ἀπῄτηκας; Ὅρα μὴ τούτων μὲν ἐχθρὸς ᾖς, ἐμὸς δὲ προσποιῇ[515].

Ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβὴς καὶ δικαία ψῆφος ἅπασι δέδεικται[516], δεῖ δέ με, ὡς ἔοικε, καὶ περ οὐ φιλολοίδορον ὄντα φύσει, διὰ τὰς ὑπὸ τούτου βλασφημίας εἰρημένας, ἀντὶ πολλῶν καὶ ψευδῶν αὐτὰ ταναγκαιότατ' εἰπεῖν περὶ αὐτοῦ, καὶ δεῖξαι, τίς ὢν καὶ τίνων, ῥᾳδίως οὕτως ἄρχει τοῦ κακῶς λέγειν, καὶ λόγους τινας διασύρει, αὐτὸς εἰρηκὼς[517], ἃ τις οὐκ ἂν ὠκνησε τῶν μετρίων[518] ἀνθρώπων φθέγξασθαι· εἰ γὰρ Αἰακός, ἢ Ῥαδάμανθυς, ἢ Μίνως[518*] ἦν ὁ κατηγορῶν, ἀλλὰ μὴ σπερμολόγος[519], περίτριμμα ἀγορᾶς[520], ὅλεθρος[521] γραμματεύς, οὐκ ἂν αὐτὸν οἶμαι τοιαῦτ' εἰπεῖν, οὐδ' ἂν οὕτως ἐπαχθεῖς[522] λόγους παρίσασθαι, ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα[51], ὦ γῆ[525] καὶ ἥλιε καὶ ἀρετή, καὶ τὰ τοιαῦτα, καὶ πάλιν[526] σύνεσιν καὶ παιδείαν ἐπικαλούμενον, ἢ τὰ καλὰ καὶ τὰ αἰσχρὰ διαγιγνώσκεται· ταῦτα γὰρ ὑπουθεν ἠκούετ' αὐτοῦ λέγοντος· σοὶ δὲ ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς[527] τίς

---

507) (Λαμβάνοντες) ἀπὸ τῶν ἰδ. 507*) Ἐν τούτῳ τῷ πράγματι. τῷ πομπεύειν ἀντὶ κτλ. 508) Εἰρωνικῶς ἀντὶ πλεῖον ἔχων, ὅπως ἀπῄτει ἡ φύσις τοῦ λόγου. 509) Μεταδήσομαι, ἀλλοῦ εἶπε βαδιοῦμαι. 509*) Ἐν ἄλλοις φῇ. 510) Ἐκεῖ ὅπε ᾗ ἐπιφέρει πρὸς ἐξήγησιν. Ἐν ταῖς εὐθύναις κτλ. 511) Τῶν παρακαθημένων, τῶν Ἀθηναίων. 512) Λέγει γὰρ ᾗ ἐν τοῖς ἑξῆς (§. 74.) ὁ ῥήτωρ, ὅτι «Τοὺς πρώτους χρόνους καθ' ἑκάστην σχεδόν τι ἡμέραν ἐκρινόμην ἐγώ, συζώντων οἷς ἐπιμελὲς κακῶς ἐμὲ ποιεῖν, ἃ γραφὰς, εὐθύνας, εἰσαγγελίας, πάντα ταῦτα ἐπαγόντων μοι». 513) Ἐνταῦθα δὲ ὅπε. 513*) = Μᾶλλον ἢ ἧττον. 514*) Τῆς δόξ. τῶν δημοσ. πεπραγ. 515) (ἐνν.) Εἶναι. 516) Ἀπεδείχθη πᾶσι πῶς χρὴ ψηφίσασθαι εὐσεβῶς ᾗ δικαίως ὑπὲρ ἐμοῦ. Τὸ δὲ Ἐπειδὴ μένει ἀνανταπόδοτον, ὥσπερ ἐπιλαθομένου τοῦ ῥήτορος τὴν ἀπόδοσιν διὰ τὰ παρεμπεσόντα. Τοῦτο δὲ συγχωρεῖται ὅταν ᾖ ἐναντίως ᾗ ἐμφαίνῃ πάθος ὁ λόγος. Ἴδε Αἰσχ. καυὰ Κτησιφ. §. κ'. 517) Ἐν ᾧ αὐτὸς εἶπε πράγματα, τὰ ὁποῖα κτλ. 518) Δὲν λέγω τῶν ἀρίστων, ἀλλὰ τῶν ὁπωσοῦν. 518*) Ὡς θρυλλουμένων τῶν ἡρώων τούτων ἐπ' ἀρετῇ ᾗ δικαιοσύνῃ· ὅθεν καὶ δικάζειν ἐν ᾅδου ἐμυθεύοντο· ὧν ὁ μὲν ἐβασίλευσεν Αἰγίνης, ὁ δὲ τῆς Λυκίας, ὁ δὲ Μίνως τῆς Κρήτης. 519) Μωρολόγος, φλύαρος. 520) Κατατρίψας τὸν βίον τε εἰς τὴν ἀγορὰν, ἐπομένως ἀναίσχυντος, βάναυσος. 521) Καθὼς λέγομεν κοινῶς, Χαμένος, ὀλέθρου ἄξιος. Τὸ δὲ Γραμματεὺς, διότι παρακατιὼν ἐρεῖ ὅτι ὁ Αἰσχίνης ἐγραμμάτευε μισθοῦ τοῖς ἀρχιδίοις. 522) Φορτικοὺς, πληκτικοὺς, διὰ τὸ ἀνοίκειον τοῦ λόγου τος. 523) Ἴδε Αἰσχ. κατὰ Κτησιφ. τὸν τελευταῖον §. 525) Συγγενέσι.

μετουσία[326]; ἢ καλῶν, ἢ μὴ τοιούτων, τίς διάγνωσις; πόθεν λαβόντι, ἢ πῶς ἀξιωθέντι; ποῦ δὲ παιδείας σοι θέμις μνησθῆναι, ἧς τῶν μὲν ὡς ἀληθῶς τετυχηκότων οὐδ' ἂν εἷς εἴποι περὶ αὐτοῦ τοιοῦτον οὐδέν, ἀλλὰ κἂν, ἑτέρου λέγοντος[328], ἐρυθριάσειε, τοῖς δ' ἀπολειφθεῖσι μὲν, ὥσπερ σὺ, προσποιουμένοις[327] δ' ὑπ' ἀναισθησίας, τὸ τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖν, ὅταν λέγωσιν, οὐ τὸ δοκεῖν τοιούτοις εἶναι περίεστιν[328].

Οὐκ ἀπορῶν δ', ὅ,τι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖν, ἀπορῶ, τοῦ[329] πρώτου μνησθῶ. πότερ', ὡς ὁ πατήρ σου, Τρόμης[330], ἐδούλευε[331] παρ' Ἐλπίᾳ τῷ πρὸς τῷ Θησείῳ διδάσκοντι γράμματα[332], χοίνικας[333] παχείας ἔχων καὶ ξύλον[334], ἢ ὡς ἡ μήτηρ[335] σου τοῖς μεθημερινοῖς γάμοις ἐν τῷ κλισίῳ[336] τῷ πρὸς τῷ Καλαμίτῃ Ἥρωι[337] χρωμένη, τὸν καλὸν ἀνδριάντα[338] καὶ τριταγωνιστὴν[339] ἄκρον ἐξέθρεψέ σε; ἀλλὰ πάντες ἴσασι ταῦτα, κἂν ἐγὼ μὴ λέγω. Ἀλλ' ὡς ὁ τριηραύλης[340] Φορμίων, ὁ Δίωνος τοῦ Φρεαρρίου δοῦλος, ἀνέστησεν[341] αὐτὴν ἀπὸ ταύτης τῆς καλῆς[342] ἐργασίας. Ἀλλὰ, νὴ τὸν Δία καὶ τοὺς θεούς, ὀκνῶ, μὴ περὶ σοῦ τὰ προσήκοντα λέγων, αὐτὸς οὐ προσήκοντας ἐμαυτῷ δόξω προηρῆσθαι λόγους. ταῦτα μὲν οὖν ἐάσω· ἀπ' αὐτῶν δὲ, ὧν αὐτὸς[343] βεβίωκεν, ἄρξομαι. οὐδὲ γὰρ, ὧν ἔτυχεν[344] ἦν, ἀλλ' οἷς ὁ δῆμος καταρᾶται. ὀψὲ γάρ ποτε —, ὀψὲ[345] λέγω; χθὲς μὲν οὖν καὶ πρώην[346] ἅμ' Ἀθηναῖος καὶ ῥήτωρ γέγονε καὶ δύο συλλαβὰς προσθεὶς, τὸν μὲν πατέρα ἀντὶ Τρόμητος ἐποίησεν Ἀτρόμητον, τὴν δὲ μητέρα σεμνῶς πάνυ Γλαυκοθέαν[347], ἣν Ἐμπουσαν ἅπαντες ἴσασι καλουμένην, ἐκ τοῦ πάντα ποιεῖν καὶ πάσχειν ἀηδονότι ταύτης τῆς ἐπωνυμίας τυχοῦσαν· πό-

---

325) Τί κοινόν; 326) Περὶ αὐτοῦ. 327) (ἑνν.) Λύτήν. 328) Τὸ ποιεῖν τοὺς ἀκούοντας ἀλγεῖν (πλήκτειν, ἀχθεσθαι) περιεῖ τοῖς ἀπολειφθεῖσι κτλ. 329) Τίνος. 330) Μετονομασθεὶς ἐπὶ τὸ σεμνότερον Ἀτρόμητος, ἴδε κατωτέρω. 331) Ὑπηρέτει ὡς δοῦλος (σκλάβος, ἀργυρώνητος). 332) Τὰ κοινὰ, τὰ κοινῶς ἐολωδογράμματα. Τὸ αὐτὸ ἐπάγγελμα μετήρχετο ᾗ αὐτὸς ὁ Ἀτρόμητος ἔπειτα, « διδάσκων γράμματα, πρὸς τῷ τοῦ Ἥρωος τοῦ Ἰατροῦ, καθὼς λέγει ὁ Δημοσθ. ἐν τῷ περὶ Παραπρεσβ. Περίεργον δὲ ὅτι ᾗ ὁ Αἰσχίνης τέλος πάντων, φυγὼν εἰς Ῥόδον, διδασκαλεῖον ἐκεῖ συνέστησεν. 333) Ἴδε τὸ Λεξ. 334) Στρογγύλον, τρυπημένον εἰς τὴν μέσην, ᾗ ἐμβαλλόμενον εἰς τὸν λαιμὸν τῶν ἀχρείων δούλων, πρὸς τιμωρίαν· κοιν. Φούρκα. 335) Ἡ μήτηρ τοῦ Αἰσχίνου ὠνομάζετο Γλαυκὶς ἢ Γλαυκοθέα, « ἣν φασι (λέγει ὁ Ἀπολλώνιος,) τὴν πρώτην ἡλικίαν ἑταιρηκέναι «, ᾗ τοῦτο ὑπαινίττεται καὶ ὁ Δημοσθ. διὰ τῶν μεθημερινῶν γάμων. 336) Ἴδε τὸ Λεξ. 337) Ἐν ἄλλοις Ἡρῴῳ. Περὶ δὲ τοῦ Καλαμίτου τούτου ἥρωος, τοῦ ὁποίου ἄγαλμα πιθανῶς ἡ ἠρίον ἴδρυτο ἐκεῖ, εἴποτε ἄλλο δὲν ἀναφέρουν οἱ συγγραφεῖς. Εἰς τὰς Ἀθήνας ἔχομεν τῷ ὄντι τοῦ Καλαμιώτου τὴν βρύσιν· ἀλλὰ τί κοινόν; 338) Εἰρωνικῶς· διότι ὁ Αἰσχίνης ἦτον, φαίνεται, ἀσχημοκαμωμένος. 339) Ἴδε τὸ Λεξ. ᾗ τὴν σημ. 31. 340) Δούλων εἰς τὰς τριήρεις, πρὸς ῥύθμισιν τῆς εἰρεσίας. 341) Τὴν προσέλαβεν ὡς παλλακὴν εἰς τὸν οἶκόν του, ἀναστήσας αὐτὴν ἀπὸ τοῦ κλισίου. 342) Εἰρωνικῶς. 343) Κατ' ἐφελκ. ἀντὶ Α. 344) Εἰς τῶν τυχόντων, ἀσήμαντος, κατ' εἰρωνείαν ᾗ σχῆμα τὸ λεγόμενον Παρὰ προσδοκίαν. 345) Διὰ τοῦ κήρυκος, τοῖς προδόταις ὄηλ. ᾗ τοῖς τὸν δῆμον φενακίζουσιν, οὐ μὴν ἀλλὰ καὶ τοῖς νόθοις καὶ παρεγγράπτοις· καὶ τοῦτο αἰτιολογεῖ ὁ ἐπιφερόμενος Γάρ. Ἴδε Δείναρχον κατὰ Ἀριστογείτονος, καὶ Δημοσθ. περὶ Παραπρεσβ. » Ταῦθ' ὑπὲρ ὑμῶν, ὦ ἄνδρες Ἀθ., καθ' ἑκάστην ἐκκλησίαν ὁ κήρυξ εὔχεται, νόμῳ προστεταγμένα· καὶ ὅταν ἡ βουλὴ κάθηται, παρ' ἐκείνῃ πάλιν. . Ὁ δὲ ὑπογραμματεύων τῇ βουλῇ, αὐτὸς ἐξηγεῖται τὸν νόμον τοῦτον τῷ κήρυκι «. 346) » Δεῖ λαβεῖν (λέγει ὁ Οὐλπ.) τὸ μὲν πρῶτον Ὀψέ, ὥσπερ διηγουμένου· τὸ δὲ δεύτερον, ὡς κατ' ἐρώτησιν «.

346) = Προχθές. 347) Ἀντὶ Γλαυκίδος· διότι τὸ Ἐμπουσα ἦτον, φαίνεται, ἐπίθετον. Τὸ δὲ Γλαυκὶς ἀπὸ Γλαύκη τοῦ Ἀχαρνίως, τοῦ πάππου της. Ἴδε Αἰσχ. περὶ Παραπρεσβ. §κς'.

θεν γὰρ ἄλλοθεν; Ἀλλ' ὅμως οὕτως ἀχάριστος εἶ καὶ πονηρὸς φύσει, ὥστ', ἐλεύθερος ἐκ δούλου, καὶ πλούσιος ἐκ πτωχοῦ διὰ τουτουσὶ[548] γεγονώς, οὐχ ὅπως χάριν αὐτοῖς ἔχεις, ἀλλὰ καὶ μισθώσας σαυτὸν κατὰ τουτωνὶ πολιτεύῃ.

Καὶ περὶ ὧν μὲν ἐστί τις ἀμφισβήτησις, ὡς ἄρα ὑπὲρ τῆς πόλεως εἴρηκεν, ἐάσω· ἃ δ' ὑπὲρ τῶν ἐγθρῶν καθαρῶς ἀπεδείχθη πράττων, ταῦτα ἀναμνήσω. Τίς γὰρ ὑμῶν οὐκ οἶδε τὸν ἀποψηφισθέντα Ἀντιφῶντα[549], ὃς, ἐπαγγειλάμενος Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν τὰ ὑμέτερα, εἰς τὴν πόλιν ἦλθεν ὤν, λαβόντος ἐμοῦ κεκρυμμένον ἐν Πειραιεῖ, καὶ καταστήσαντος εἰς τὴν ἐκκλησίαν, βοῶν ὁ βάσκανος οὗτος καὶ κεκραγώς, ὡς ἐν δημοκρατίᾳ δεινὰ ποιῶ, τοὺς ἡγουμένους τῶν πολιτῶν ὑβρίζων, καὶ ἐπ' οἰκίας βαδίζων ἄνευ ψηφίσματος, ἀφεθῆναι ἐποίησε; καὶ εἰ μὴ ἡ βουλὴ ἡ ἐξ Ἀρείου Πάγου, τὸ πρᾶγμα αἰσθομένη, καὶ τὴν ὑμετέραν ἄγνοιαν ἐν οὐ δέοντι συμβεβηκυῖαν ἰδοῦσα, ἐπεζήτησε τὸν ἄνθρωπον, καὶ συλλαβοῦσα ἐπανήγαγεν ὡς ὑμᾶς, ἐξήρπαστ' ἂν ὁ τοιοῦτος, καὶ τὸ δίκην δοῦναι διαδὺς ἐξεπέμπετ' ἂν ὑπὸ τοῦ συνωλόγου τουτουί. νῦν δ' ὑμεῖς στρεβλώσαντες αὐτὸν ἀπεκτείνατε, ὡς ἔοικε γε καὶ τοῦτον. Τοιγαροῦν εἰδυῖα ταῦτα ἡ βουλὴ ἡ ἐξ Ἀρείου Πάγου τὰ τούτῳ τότε πεπραγμένα, χειροτονησάντων αὐτὸν ὑμῶν σύνδικον[550] ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ, ἀπὸ τῆς αὐτῆς ἀγνοίας, ἀφ' ἧσπερ πολλὰ προὔδοσθε τῶν κοινῶν, ὡς προείλεσθε κἀκείνην καὶ κυρίαν τοῦ πράγματος ἐποιήσατε[551], τοῦτον μὲν εὐθὺς ἀπήλασεν ὡς προδότην, Ὑπερίδῃ δὲ λέγειν προσέταξε, καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα τὴν ψῆφον[552] ἔπραξε, καὶ οὐδεμία ψῆφος ἠνέχθη τῷ μιαρῷ τούτῳ. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

« Μαρτυροῦσι Δημοσθένει ὑπὲρ ἁπάντων[553] οἵδε, Καλλίας Σουνιεύς, Ζήνων » Φλυεύς, Κλέων Φαληρεύς, Δημόνικος Μαραθώνιος, ὅτι, τοῦ δήμου ποτὲ χει- » ροτονήσαντος Αἰσχίνην σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ εἰς τοὺς Ἀμ- » φικτύονας, συνεδρεύσαντες ἡμεῖς ἐκρίναμεν Ὑπερίδην ἄξιον εἶναι μᾶλλον » ὑπὲρ τῆς πόλεως λέγειν, καὶ ἀπεστάλη Ὑπερίδης. »

Οὐκοῦν, ὅτε, τούτου μέλλοντος λέγειν, ἀπήλασεν ἡ βουλὴ καὶ προσέταξεν ἑτέρῳ, τότε καὶ προδότην εἶναι καὶ κακόνουν ὑμῖν ἀπέφηνεν. Ἓν μὲν τοίνυν τοῦτο τοιοῦτο πολίτευμα τοῦ νεανίου τούτου, ὁμοιόν γε (οὐ γάρ;)[554] οἷς[555] ἐμοῦ κατηγορεῖ· ἕτερον δὲ ἀναμιμνήσκεσθε. Ὅτε γὰρ Πύθωνα Φίλιππος ἔπεμψε τὸν Βυζάντιον, καὶ παρὰ τῶν αὐτοῦ συμμάχων πάντων συνέπεμψε πρέσβεις, ὡς ἐν αἰσχύνῃ ποιήσων[556] τὴν πόλιν, καὶ δείξων ἀδικοῦσαν, τότε

---

548) Τοὺς πολίτας, τοὺς παρισταμένους. 549) Ἀποβληθέντα παρ' ὑμῶν ὡς παρέγγραπτον, ἐν τῇ γενομένῃ διαψηφίσει τῶν γνησίων πολιτῶν καὶ τῶν μὴ τοιούτων.

550) Τοῦ Ἀμφικτυονικοῦ συνεδρίου, τὸ ὁποῖον συνηθροίζετο ὄχι μόνον εἰς τὰς Θερμοπύλας καὶ εἰς τοὺς Δελφούς, ἀλλὰ καὶ εἰς τὴν Δῆλον ἐνίοτε. Ἴσως ὁ αὐτὸς καὶ Σύνεδρος, ἴδε κατωτέρω. 551) Εἰς αὐτὴν (τὴν ἐξ Ἀρείου Πάγου βουλὴν) ἀνεθέσατε τὸ κῦρος τῆς πράξεως ταύτης. 552) Ἐνόρκως ψηφοφοροῦσα. 553) Τῶν ἄλλων βουλευτῶν. 554) Εἰρωνικῶς.

555) Κατ' ἔρθλκ. ἀντὶ Δ. 556) = Καταισχυνῶν.

ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι[357] καθ' ὑμῶν οὐκ εἶξα οὐδ' ὑπεχώρησα, ἀλλ' ἀνεστὰς ἀντεῖπον, καὶ τὰ τῆς πόλεως δίκαια οὐχὶ προὔδωκα, ἀλλ' ἀδικοῦντα Φίλιππον ἐξήλεγξα φανερῶς οὕτως, ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμένους ὁμολογεῖν· οὗτος δὲ συνηγωνίζετο, καὶ τἀναντία ἐμαρτύρει τῇ πατρίδι, καὶ ταῦτα ψευδῆ. Καὶ οὐκ ἀπέχομαι ταῦτα, ἀλλὰ καὶ πάλιν μετὰ ταῦθ' ὕστερον Ἀναξίνῳ τῷ κατασκόπῳ συνιόντι εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. Καί τοι ὅστις τῷ ὑπὸ τῶν πολεμίων πεμφθέντι μόνος μόνῳ συνήγει καὶ ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος καὶ πολέμιος τῇ πατρίδι. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

α Μελέδημος[358] Κλέωνος, Ὑπερίδης Καλλαίσχρου, Νικόμαχος Διοφάντου μαρτυροῦσι Δημοσθένει, καὶ ἐπωμόσαντο ἐπὶ τῶν στρατηγῶν, εἰδέναι Αἰσχίνην Ἀτρομήτου Κοθωκίδην συνερχόμενον νυκτὸς εἰς τὴν Θράσωνος οἰκίαν καὶ κοινολογούμενον Ἀναξίνῳ, ὃς ἐκρίθη εἶναι κατάσκοπος παρὰ Φιλίππου. Αὗται ἀπεδόθησαν αἱ μαρτυρίαι ἐπὶ Νικίου[359], Ἑκατομβαιῶνος τρίτῃ ἱσταμένου β.

Μυρία τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ, παραλείπω. καὶ γὰρ οὗτος πως ἔχει[360]· πολλὰ ἂν ἐγὼ νῦν ἔτι τούτων ἔχοιμι δεῖξαι, ὧν οὗτος κατ' ἐκείνους τοὺς χρόνους τοῖς μὲν ἐχθροῖς ὑπηρετῶν, ἐμοὶ δ' ἐπηρεάζων εὑρέθη, ἀλλ' οὐ τίθεται[361] ταῦτα παρ' ἡμῖν εἰς ἀκριβῆ μνήμην[362], οὐδ' ἦν προσῆκεν ὀργήν[363], ἀλλὰ δεδώκατε ἔθει τινὶ φαύλῳ πολλὴν ἐξουσίαν τῷ βουλομένῳ τὸν λέγοντά τι τῶν ὑμῖν συμφερόντων ὑποσκελίζειν καὶ συκοφαντεῖν, τῇ ἐπὶ ταῖς λοιδορίαις ἡδονῆς καὶ χάριτος τὸ τῆς πόλεως συμφέρον ἀντικαταλλαττόμενοι. Διόπερ ῥᾴδιον ἐστι καὶ ἀσφαλέστερον ἀεὶ τοῖς ἐχθροῖς ὑπηρετοῦντα μισθαρνεῖν, ἢ τὴν ὑπὲρ ὑμῶν ἑλόμενον τάξιν πολιτεύεσθαι.

Καὶ τὸ μὲν δὴ πρὸ τοῦ πολεμεῖν φανερῶς συναγωνίζεσθαι Φιλίππῳ δεινὸν μέν, ὦ γῆ καὶ θεοί! (πῶς γὰρ οὔ; κατὰ τῆς πατρίδος·) ὅτε δὲ, εἰ βούλεσθε, ὅτε[364] αὐτῷ τοῦτο. ἀλλ' ἐπειδὴ φανερῶς ἤδη τὰ πλοῖα ἐσεσήλυτο[365] Χερρόνησος ἐπορθεῖτο, ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετ' ἄνθρωπος[366], οὐκέτ' ἐν ἀμφισβητησίμῳ τὰ πράγματα ἦν, ἀλλ' ἐνειστήκει πόλεμος, ὅτι μὲν πώποτ' ἔπραξεν ὑπὲρ ὑμῶν ὁ βάσκανος οὑτοσὶ ἰαμβειοφάγος[367], οὐκ ἂν ἔχοι δεῖξαι· οὐδ' ἔστιν οὔτε μεῖζον οὔτ' ἔλαττον ψήφισμα οὐδὲν Αἰσχίνῃ ὑπὲρ τῶν συμφερόντων τῇ πόλει· εἰ δέ φησι[368], νῦν δειξάτω ἐν τῷ ἐμῷ ὕδατι[369]· ἀλλ' οὐκ ἔστιν οὐδέν. καίτοι δυοῖν αὐτὸν ἀνάγκη θάτερον, ἤ, μηδὲν τοῖς πραττομένοις ὑπ' ἐμοῦ τότ' ἔχοντ' ἐγκαλεῖν, μὴ γράφειν παρὰ ταῦθ[368] ἕτερα, ἢ

357) Σαθρῶς καταφερομένῳ χειμάρρῳ δίκην. 358) Ἐν ἄλλοις Τελέδημος. 359) Ἄρχοντος. 360) Τὸ πρᾶγμα. 361) Σημειωτέα ἡ φράσις· Τίθεσθαί τι παρά τινι εἰς μνήμην, εἰς ὀργήν, = Μεμνῆσθαί τι καὶ ὀργίζεσθαι διὰ αὐτό. 362) Ἄφετε. 363) Τὰ ἡμέτερα ὑπὸ τοῦ Φιλίππου. 364) Ὁ Φίλιππος. 365) Ὀρθότ. ἰαμβοφάγος· διότι, ἀπαγγέλλων ὡς ὑποκριτὴς εἰς τὸ θέατρον τὰ ἰαμβεῖα τῶν τραγικῶν, τὰ κατέφρωγε τὰ διέστρεφεν ἐξ ἀμαθίας ἢ διότι εἶχε πάντοτε εἰς τὸ στόμα του (ἀνεμάσσα) ἰάμβους, εἴτ' στίχους ποιητοῦ, εἴτε λοιδορίας. 366) (ἐνν.) Εἶναι αὐτῷ ψήφισμα. 367) Ἐν ᾧ ῥέει ἐκ τ κλεψύδρας τὸ πρὸς τὴν ἐμὴν ἀπολογίαν προσδιορισθὲν ὕδωρ. 368) Τὰ ὑπ' ἐμοῦ πραττόμενα

τὸ τῶν ἐχθρῶν συμφέρον ζητοῦντα, μὴ φέρειν εἰς μέσον τὰ τούτων ἀμείνω. Ἆρα οὖν οὐδὲ ἔλεγεν, ὥσπερ οὐδὲ ἔγραψεν, ἡνίκα ἐργάσασθαί τι δέοι κακὸν ὑμᾶς, οὐ μὲν οὖν[569] ἦν εἰπεῖν ἑτέρῳ.

Καὶ τὰ μὲν ἄλλα καὶ[570] φέρειν ἠδύναθ', ὡς ἔοικεν, ἡ πόλις, ἃ ποιῶν οὗτος ἐλάνθανεν· ἐν δ' ἐπεξεργάσατο[571], ὦ ἄνδρες Ἀθηναῖοι, τοιοῦτον, ὃ πᾶσι τοῖς προτέροις ἐπέθηκε τέλος, περὶ οὗ τοὺς πολλοὺς ἀνάλωσε λόγους, τὰ τῶν Ἀμφισσέων τῶν[572] Λοκρῶν διεξιὼν δόγματα, ὡς διαστρέψων τἀληθές. Τοῦ' οὐ τοιοῦτόν ἐστι[573]· πόθεν; πολλοῦ γε καὶ δεῖ· οὐδέποτ' ἐκνίψῃ[574] σὺ τάκει[575] πεπραγμένα σαυτῷ· οὐχ οὕτω πολλὰ ἐρεῖς. Καλῶ[576] δ' ἐναντίον ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς θεοὺς ἅπαντας καὶ πάσας[2], ὅσοι τὴν χώραν ἔχουσι τὴν Ἀττικήν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον[577], ὃς πατρῷός ἐστι τῇ πόλει[578], καὶ ἐπεύχομαι πᾶσι τούτοις, εἰ μὲν ἀληθῆ πρὸς ὑμᾶς εἶπον καὶ εἶπον τότ' εὐθὺς ἐν τῷ δήμῳ, ὅτε πρῶτον εἶδον τουτονὶ τὸν μιαρὸν τούτου τοῦ πράγματος[579] ἀπτόμενον (ἔγνων[580] γὰρ, εὐθέως ἔγνων), εὐτυχίαν μοι δοῦναι καὶ σωτηρίαν· εἰ δὲ πρὸς ἔχθραν ἢ φιλονεικίας ἰδίας ἕνεκ' αἰτίαν ἐπάγω τούτῳ ψευδῆ, πάντων τῶν ἀγαθῶν ἀνόνητόν με ποιῆσαι. Τί οὖν ταῦτ' ἐπήρομαι καὶ διετεινάμην οὕτωσὶ σφοδρῶς; ὅτι, καὶ γράμματ' ἔχων ἐν τῷ δημοσίῳ[581] κείμενα, ἐξ ὧν ταῦτ' ἐπιδείξω σαφῶς, καὶ ὑμᾶς εἰδὼς τὰ πεπραγμένα μνημονεύοντας, ἐκεῖνο φοβοῦμαι, μὴ τῶν εἰργασμένων αὐτῷ κακῶν οὗτος ἐλάττων[582] ὑπολειφθῇ· ὅπερ πρότερον συνέβη, ὅτε τοὺς ταλαιπώρους Φωκέας ἐποίησεν ἀπολέσθαι, τὰ ψευδῆ δεῦρ' ἀπαγγείλας.

Τὸν γὰρ[583] ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν[584] ἦλθε Φίλιππος, καὶ δι' ὃν ἠρέθη τῶν Ἀμφικτυόνων ἡγεμών, ὃς καὶ ἅπαντ' ἀνέτρεψε τὰ τῶν Ἑλλήνων πράγματα, οὗτός ἐστιν ὁ συγκατασκευάσας, καὶ πάντων εἷς ἀνὴρ τῶν μεγίστων αἴτιος κακῶν γεγενημένος. καὶ τότ' εὐθὺς ἐμοῦ διαμαρτυρομένου καὶ βοῶντος ἐν τῇ ἐκκλησίᾳ· «Πόλεμον εἰς τὴν Ἀττικὴν εἰσάγεις, Αἰσχίνη, πόλεμον Ἀμφικτυονικόν,» οἱ μὲν ἐκ παρακλήσεως[585] συγκαθήμενοι οὐκ εἴων με λέγειν, οἱ δ' ἐθαύμαζον, καὶ κενὴν αἰτίαν διὰ τὴν ἰδίαν ἔχθραν ἐπάγειν με ὑπελάμβανον αὐτῷ. Ἦτις[586] δ' ἡ φύσις, ὦ ἄνδρες Ἀθηναῖοι, γέγονε τούτων τῶν πραγμάτων, καὶ τίνος ἕνεκα ταῦτα συνεσκευάσθη, καὶ πῶς ἐπράχθη, νῦν ἀκούσατε, ἐπειδὴ τότε ἐκωλύθητε. καὶ γὰρ εὖ[587] πρᾶγμα συντεθὲν ὄψεσθε, καὶ μεγάλα ὠφελήσεσθε πρὸς ἱστορίαν[588] τῶν κοινῶν, καὶ ὅση δεινότης ἦν ἐν τῷ Φιλίππῳ, θεάσασθε.

---

569) Ἢ κοῦ ἐναντίου· τότε οὔτε ἄφινεν ἄλλον νὰ ὁμιλήσῃ. 570) Ὁ Καὶ περιττεύει κατ' ἔμφασιν, ἢ προσαπαιτεῖ ᾧ ἕτερον ῥῆμα, Πάσχειν φέρ' εἰπεῖν ἢ τι τοιοῦτο. 571) Ἐπὶ τοῖς προεξειργασμένοις. 572) Ἐν ἄλλοις Καὶ ἀντὶ τοῦ Τῶν. 573) (ἐνν.) Ὥστε ᾧ διαφαφῆναι. 574) Ἀποπλυνεῖς, ἀθῶον σεαυτὸν ἀποδείξεις. 575) Ἐν τῷ τῶν Ἀμφικτ. συνεδρίῳ. 576) Ἐπικαλοῦμαι. 577) ἐπειδὴ περὶ τοῦ ἐν Δελφοῖς ναοῦ ὁ λόγος. 578) «Πατρῷος δὲ ὁ Ἀπόλλων Ἀθηναίοις, ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε Κρέουσαν, ἐξ ἧς γίνεται ὁ Ἴων.» Σχολ. Ἀριστοφ. Νεφ. 1470. 579) Τῆς Πυλαγορίας ἢ πιθανώτερον τοῦ συγκροῦσαι τοὺς Λοκροὺς τοῖς Ἀμφικτύοσιν ὑπὲρ τοῦ Φιλίππου. 580) Παρατηρητέον πόσην δύναμιν προσθέτουν εἰς τὸν λόγον αἱ ἐπαναδιπλώσεις. 581) (ἐνν.) Οἴκῳ τῷ Μητρῴῳ. 582) Ἀνικανώτερος ἢ ὥστε τηλικαῦτα κακουργῆσαι. 583) Παρετηρήθη καὶ ὑπὸ τῶν παλαιῶν ὅτι ἡ φράσις αὕτη ἀποτελεῖ στίχον ἑξάμετρον. 584) Πόλις ὀχυρὰ τῆς Φωκίδος. 585) Τοῦ Αἰσχίνου. 586) = Τίς. 587) Ἐπιτυδείως. 588) Γνῶσιν, κατανόησιν.

Οὐκ ἦν τοῦ πρὸς ὑμᾶς πολέμου πέρας οὐδ' ἀπαλλαγὴ Φιλίππῳ, εἰ μὴ Θηβαίους καὶ Θετταλοὺς ἐχθροὺς ποιήσειε τῇ πόλει· ἀλλὰ, καὶ περ ἀθλίως καὶ κακῶς τῶν στρατηγῶν τῶν ὑμετέρων πολεμούντων αὐτῷ, ὅμως ὑπ' αὐτοῦ τοῦ πολέμου καὶ τῶν λῃστῶν μυρία ἔπασχε κακά. οὔτε γὰρ ἐξήγητο τῶν ἐκ τῆς χώρας γιγνομένων οὐδέν, οὔτ' εἰσήγετο, ὧν ἐδεῖτ' αὐτῷ[389]. ἦν δὲ οὔτ' ἐν τῇ θαλάττῃ τότε κρείττων ὑμῶν, οὔτ' εἰς τὴν Ἀττικὴν ἐλθεῖν δυνατὸς, μήτε Θετταλῶν ἀκολουθούντων, μήτε Θηβαίων διϊέντων[390]. συνέβαινε δὲ αὐτῷ, τῷ πολέμῳ κρατοῦντι[391] τοὺς ὁποιουσδήποθ' ὑμεῖς ἐξεπέμπετε στρατηγούς, (ἐῶ γὰρ τοῦτό γε), αὐτῇ τῇ φύσει τοῦ τόπου καὶ τῶν ὑπαρχόντων ἑκατέροις[392] κακοπαθεῖν. εἰ μὲν οὖν τῆς ἰδίας[393] ἕνεκεν ἔχθρας ἢ τοὺς Θετταλοὺς ἢ τοὺς Θηβαίους συμπείθοι βαδίζειν ἐφ' ὑμᾶς, οὐδέν' ἂν ἠγεῖτο προσέξειν αὐτῷ τὸν νοῦν· ἂν δὲ, τὰς ἐκείνων κοινὰς προφάσεις λαβὼν, ἡγεμὼν αἱρεθῇ, ῥᾴον ἤλπιζε τὰ μὲν παρακρούσεσθαι, τὰ δὲ πείσειν. τί οὖν; ἐπιχειρεῖ (θεάσασθε, ὡς εὖ[395]) πόλεμον ποιῆσαι τοῖς Ἀμφικτύοσι, καὶ περὶ τὴν Πυλαίαν[394] ταραχήν· εἰς γὰρ ταῦτ' εὐθὺς αὐτοὺς ὑπελάμβανεν[396] αὐτοῦ δεήσεσθαι. Εἰ μὲν τοίνυν τοῦτον[396] ἢ τῶν παρ' ἑαυτοῦ πεμπομένων Ἱερομνημόνων, ἢ τῶν ἐκείνου συμμάχων εἰσηγοῖτό τις, ὑπόψεσθαι τὸ πρᾶγμα ἐνόμιζε καὶ τοὺς Θηβαίους καὶ τοὺς Θετταλοὺς, καὶ πάντας φυλάξεσθαι· ἂν δ' Ἀθηναῖος ᾖ, καὶ παρ' ὑμῶν τῶν ὑπεναντίων[397], ὁ τοῦτο ποιῶν, εὐπόρως λήσειν· ὅπερ συνέβη. Πῶς οὖν ταῦτ' ἐποίησε; μισθοῦται τουτονί. Οὐδενὸς δὲ προειδότος, οἶμαι, τὸ πρᾶγμα, οὐδὲ φυλάττοντος, ὥσπερ εἰῶθε τὰ τοιαῦτα παρ' ὑμῖν γίγνεσθαι, προβληθεὶς Πυλαγόρας οὗτος, καὶ τριῶν ἢ τεττάρων χειροτονησάντων αὐτὸν, ἀνερρίφη[398]. Ὡς δὲ, τὸ τῆς πόλεως ἀξίωμα λαβὼν, ἀφίκετο εἰς τοὺς Ἀμφικτύονας, πάντα τἄλλ' ἀρεὶς καὶ παριδὼν, ἐπέραινεν ἐφ' οἷς[399] ἐμισθώθη· καὶ λόγους εὐπροσώπους καὶ μύθους, ὅθεν ἡ Κιρραία χώρα[400] καθιερώθη, συνθεὶς[401] καὶ διεξελθὼν, ἀνθρώπους ἀπείρους λόγων καὶ τὸ μέλλον οὐ προορωμένους, τοὺς Ἱερομνήμονας, πείθει ψηφίσασθαι περιελθεῖν[402] τὴν χώραν, ἣν οἱ μὲν Ἀμφισσεῖς, σφῶν αὐτῶν οὖσαν, γεωργεῖν ἔφασαν, οὗτος δὲ τῆς ἱερᾶς χώρας ἠτιᾶτο εἶναι, οὐδεμίαν δίκην[403] τῶν Λοκρῶν ἐπαγόντων ἡμῖν, οὐδ' ἃ νῦν προφασίζεται οὗτος, λέγων οὐκ ἀληθῆ. γνώσεσθε δ' ἐκεῖθεν· οὐκ ἐνῆν ἄνευ τοῦ προσκαλέσασθαι[404] ὅπου τοῖς Λοκροῖς δίκην κατὰ τῆς πόλεως συντελέσασθαι. τίς οὖν ἐκλήτευσεν ὑμᾶς; ἐπὶ ποίας ἀρχῆς; εἰπὲ τὸν εἰδότα, δεῖξον· ἀλλ' οὐκ ἂν ἔχοις, ἀλλὰ κενῇ προφάσει ταύτῃ κατεχρῶ καὶ ψευδεῖ.

Περιόντων τοίνυν τὴν χώραν τῶν Ἀμφικτυόνων κατὰ τὴν ὑφήγησιν τὴν τούτου, προσπεσόντες οἱ Λοκροὶ, μικροῦ μὲν ἅπαντας κατηκόντισαν, τινὰς

---

389) Ἡ δοτικὴ εἰς τὸ Ἐξήγετο καὶ Εἰσήγετο. 390) Διελθεῖν αὐτὸν διὰ τῆς Βοιωτίας ἀφιέντων. 391) Ἐν ᾧ, ἢ Μ' ὅλον ὅτι. 392) Τοῖς τόποις, ἢ Ἡμῖν τε κἀκείνῳ. 393) Τῆς ἑαυτοῦ φορᾶς ἡμᾶς. 394) Τὴν ἐν Θερμοπύλαις σύνοδον τῶν Ἀμφικτ. 395) Τοὺς Ἀμφικτ. 396) Τὸν πόλεμον. 397) Αὐτῷ. 398) Ἴδε Αἰσχ. κατὰ Κτησιφ. § λϛ'. 399) Ἐκεῖνα, ἐφ' οἷς. 400) Ἡ περὶ τὴν Κίρραν πεδιάς. 401) Πλάσας. Ἴδε Αἰσχ. κατὰ Κτησιφ. §. λ', κ. ε. 402) Πρὸς ὀρθοεπείαν. 403) Περὶ τούτου. Ἴδε Αἰσχ. κατὰ Κτησιφ. λϛ'. 404) Ἐν ἄλλοις ῥητέρων ἴσως Προκαλέσασθαι.

δὲ καὶ συνῆρπασαν τῶν Ἱερομνημόνων. Ὡς δ' ἅπαξ ἐκ τούτων ἐγκλήματα καὶ πόλεμος πρὸς τοὺς Ἀμφισσεῖς ἐταράχθη, τὸ μὲν πρῶτον ὁ Κόττυφος[405] αὐτῶν[405a] τῶν Ἀμφικτυόνων ἦγαγε στρατιάν· ὡς δ' οἱ μὲν οὐκ ἦλθον, οἱ δ' ἐλθόντες οὐδὲν ἐποίουν, εἰς τὴν ἐπιοῦσαν πυλαίαν ἐπὶ τὸν Φίλιππον εὐθὺς ἡγεμόνα ἦγον[406] οἱ κατεσκευασμένοι[407] καὶ πάλαι πονηροὶ τῶν Θετταλῶν καὶ τῶν ἐν ταῖς ἄλλαις πόλεσι· καὶ προφάσεις εὐλόγους εἰλήφεσαν. ἦ γὰρ αὐτοὺς[408] εἰσφέρειν καὶ ξένους[409] τρέφειν ἔφασαν δεῖν, καὶ ζημιοῦν τοὺς μὴ ταῦτα[410] ποιοῦντας, ἢ ἐκεῖνον αἱρεῖσθαι. Τί δεῖ τὰ πολλὰ λέγειν; ἡρέθη γὰρ ἐκ τούτων[411] ἡγεμών, καὶ μετὰ ταῦτ' εὐθὺς ὁ Φίλιππος, δύναμιν συλλέξας καὶ παρελθὼν ὡς ἐπὶ τὴν Κιρραίαν, ἐρρῶσθαι φράσας πολλὰ[412] καὶ Κιρραίοις καὶ Λοκροῖς, τὴν Ἑλάτειαν καταλαμβάνει. Εἰ μὲν οὖν μὴ μετέγνωσαν εὐθύς, ὡς τοῦτ' εἶδον, οἱ Θηβαῖοι καὶ μεθ' ἡμῶν ἐγένοντο, ὥσπερ χειμάρρους ἂν ἅπαν τοῦτο τὸ πρᾶγμα[413] εἰς τὴν πόλιν εἰσέπεσε· νῦν δὲ τότε γ' ἐξαίφνης[414] ἐπέσχον αὐτὸν ἐκεῖνοι, μάλιστα μέν, ὦ ἄνδρες Ἀθηναῖοι, θεῶν τινὸς εὐνοίᾳ πρὸς ὑμᾶς, εἶτα μέντοι καὶ, ὅσον καθ' ἕνα ἄνδρα[415], καὶ δι' ἐμέ. Δὸς δὲ μοι τὰ δόγματα ταῦτα καὶ τοὺς χρόνους, ἐν οἷς ἕκαστα πέπρακται, ἵν' εἰδῆτε, ἡλίκα πράγματα ἡ μιαρὰ κεφαλὴ ταράξασα αὐτὴ δίκην οὐκ ἔδωκε. Λέγε μοι τὰ δόγματα.

ΔΟΓΜΑ ΑΜΦΙΚΤΥΟΝΩΝ.

«Ἐπὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας[416], ἔδοξε τοῖς πυλαγόραις »καὶ τοῖς συνέδροις[350] τῶν Ἀμφικτυόνων καὶ τῷ κοινῷ τῶν Ἀμφικτυόνων· »Ἐπειδὴ Ἀμφισσεῖς ἐπιβαίνουσιν ἐπὶ τὴν ἱερὰν χώραν, καὶ σπείρουσι, »καὶ βοσκήμασι κατανέμουσιν, ἐπελθεῖν[417] τοὺς πυλαγόρας καὶ τοὺς συνέ»δρους, καὶ στήλαις διαλαβεῖν τοὺς ὅρους, καὶ ἀπειπεῖν τοῖς Ἀμφισ»σεῦσι τοῦ λοιποῦ μὴ ἐπιβαίνειν».

ΕΤΕΡΟΝ ΔΟΓΜΑ.

«Ἐπὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς πυλαγόραις καὶ τοῖς »συνέδροις τῶν Ἀμφικτυόνων· Ἐπειδὴ οἱ ἐξ Ἀμφίσσης τὴν ἱερὰν χώραν »κατανειμάμενοι γεωργοῦσι, καὶ βοσκήματα νέμουσι, καὶ, κωλυόμενοι τοῦτο »ποιεῖν, ἐν τοῖς ὅπλοις παραγενόμενοι, τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον »κεκωλύκασι μετὰ βίας, τινὰς δὲ καὶ τετραυματίκασι, καὶ τὸν στρατηγὸν τὸν »ἡρημένον τῶν Ἀμφικτυόνων Κόττυφον, τὸν Ἀρκάδα, πρεσβεῦσαι[418] πρὸς »Φίλιππον τὸν Μακεδόνα, καὶ ἀξιοῦν ἵνα βοηθήσῃ τῷ τε Ἀπόλλωνι καὶ τοῖς

---

405) Φαρσάλιος ἢ Ἀρκὰς, Ἱερομνήμων τῶν Θεσσαλῶν, καὶ πάντα πράττων ἐν τοῖς Ἀμφικτύοσιν ὑπὲρ τοῦ Φιλίππου. 405a) Ὄχι τοῦ Φιλίππου δηλ. ἀλλὰ τῶν Ἀμφικτυονικῶν πόλεων· τὸ δὲ Ἦγαγεν ἀντὶ τοῦ Προσεκάλεσε. 406) Εἰς αὐτὸν ὡς πρὸς ἡγεμόνα ἄνῃγον (ἀνέθεσαν) τὰ πράγματα. 407) Προδιατεθειμένοι διὰ ῥαδιουργίας. 408) Αὐτοὺς ἕκαστους τοὺς Ἀμφικτύονας. 409) Ξενικὸν στράτευμα, μισθοφόρους. 410) Τὰ προειρημένα, τὸ εἰσφέρειν δηλ. καὶ τρέφειν. 411) Μετὰ ταῦτα, ἢ ἐξ αἰτίας τούτων (τῶν πραγμ.). 412) = Χαιρειν ἐάσας μακρὸν, κατ' ἀντίφρασιν ἀντὶ Φθείρεσθαι, Ἐρρειν. 413) Τὸ σκευώρημα, τὸ κακὸν τοῦ πολέμου ὅπερ οὗτοι ἔπραξαν (ἐῤῥαδιούργησαν). 414) Συνελθόντες αἴφνης εἰς ἑαυτούς. 415) (Καθ') Ὅσον ἐξήρτηται ἀπὸ ἕνα μόνον ἄνθ. 416) (ἔγν.) Οὔσης. 417) Ἐλθεῖν ἐπὶ τὴν χώραν. 418) Ἔδοξε πρεσβ.

» Ἀμφικτύοσιν, ὅπως[419] μὴ περιΐδῃ ὑπὸ τῶν ἀσεβῶν Ἀμφισσέων τὸν Θεὸν » πλημμελούμενον· καὶ διότι[419a] αὐτὸν στρατηγὸν αὐτοκράτορα αἱροῦνται οἱ » Ἕλληνες, οἱ μετέχοντες τοῦ συνεδρίου τῶν Ἀμφικτυόνων ».

Λέγε δὴ καὶ τοὺς χρόνους, ἐν οἷς ταῦτ' ἐγίγνετο· εἰσὶ γὰρ, καθ' οὓς ἐπυλαγόρησεν οὗτος. λέγε.

ΧΡΟΝΟΙ.

« Ἄρχων[375] Μνησιθείδης, μηνὸς Ἀνθεστηριῶνος ἕκτῃ ἐπὶ δεκάτῃ ».

Δὸς δή μοι τὴν ἐπιστολήν, ἣν, ὡς οὐχ ὑπήκουον οἱ Θηβαῖοι, πέμπει πρὸς τοὺς ἐν Πελοποννήσῳ συμμάχους ὁ Φίλιππος, ἵν' εἰδῆτε καὶ ἐκ ταύτης σαφῶς, ὅτι τὴν μὲν ἀληθῆ πρόφασιν τῶν πραγμάτων, τὸ ταῦτ' ἐπὶ τὴν Ἑλλάδα καὶ τοὺς Θηβαίους καὶ ὑμᾶς πράττειν, ἀπεκρύπτετο· κοινὰ δὲ καὶ τοῖς Ἀμφικτύοσι δόξαντα ποιεῖν προσεποιεῖτο. ὁ δὲ τὰς ἀφορμὰς ταύτας καὶ τὰς προφάσεις παραδοὺς αὐτῷ οὗτος ἦν. λέγε.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

« Βασιλεὺς Μακεδόνων Φίλιππος Πελοποννησίων τῶν ἐν τῇ συμμαχίᾳ » τοῖς δημιουργοῖς[420] καὶ τοῖς συνέδροις καὶ τοῖς ἄλλοις[421] συμμάχοις πᾶ- » σι χαίρειν. Ἐπειδὴ Λοκροί, οἱ καλούμενοι Ὀζόλαι[422], κατοικοῦντες ἐν » Ἀμφίσσῃ, πλημμελοῦσιν εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν Δελφοῖς, » καὶ τὴν ἱερὰν χώραν, ἐρχόμενοι μεθ' ὅπλων, λεηλατοῦσι, βούλομαι τῷ » Θεῷ μεθ' ὑμῶν βοηθεῖν, καὶ ἀμύνασθαι τοὺς παραβαίνοντάς τι τῶν ἐν » ἀνθρώποις εὐσεβῶν[423]. Ὥστε συναντᾶτε μετὰ τῶν ὅπλων εἰς τὴν Φωκί- » δα, ἔχοντες ἐπισιτισμὸν ἡμερῶν τεσσαράκοντα, τοῦ ἐνεστῶτος μηνὸς[424] » Λώου, ὡς ἡμεῖς[425] ἄγομεν. ὡς δὲ Ἀθηναῖοι, Βοηδρομιῶνος, ὡς δὲ Κο- » ρίνθιοι, Πανέμου· τοῖς δὲ[426] μὴ συναντήσασι πανδημεὶ χρησόμεθα, τοῖς » δὲ συμβούλοις ἡμῖν μὴ κειμένοις, ἐπιζημίοις[427]. Εὐτυχεῖτε. »

Ὁρᾶθ', ὅτι φεύγει μὲν τὰς ἰδίας προφάσεις, εἰς δὲ τὰς Ἀμφικτυονικὰς καταφεύγει; Τίς οὖν ὁ ταῦτα συμπαρασκευάσας αὐτῷ; τίς ὁ τὰς προφάσεις ταύτας ἐνδούς; τίς ὁ τῶν κακῶν τῶν γεγενημένων μάλιστα αἴτιος; οὐχ οὗτος; Μὴ τοίνυν λέγετε, ὦ ἄνδρες Ἀθηναῖοι, περιϊόντες, ὡς ὑφ' ἑνὸς τοιαῦτα πέπονθεν ἡ Ἑλλὰς ἀνθρώπου[427]· οὐχ ὑφ' ἑνὸς, ἀλλ' ὑπὸ πολλῶν καὶ πονηρῶν τῶν παρ' ἑκάστοις, ὧν γῆ καὶ θεοί, ὧν εἷς οὗτός ἐστιν, ὃν, εἰ μηδὲν εὐλαβηθέντα τἀληθὲς εἰπεῖν δέοι, οὐκ ἂν ὀκνήσαιμι ἔγωγε κοινὸν ἀλιτήριον[428] τῶν μετὰ ταῦτα ἀπολωλότων ἁπάντων εἰπεῖν ἀνθρώπων, τόπων, πόλεων. ὁ γὰρ τὸ σπέρμα παρασχὼν οὗτος τῶν φύντων αἴτιος· ὃν ὅπως ποτὲ οὐκ

---

419) Γράφειν τισὶν ἔδοξε Καὶ, ἀντὶ τοῦ Ὅπως. 419a) Καὶ εἰπεῖν (τοὺς πρέσβεις αὐτῷ) διότι, ἀντὶ τοῦ Ὅτι. 420) Τοῖς προεστῶσι, τοῖς ἄρχουσι. 421) Ἐκτὸς τῶν Πελοποννησίων. 422) Διότι ἦσαν καὶ ἄλλοι οἱ Ἐπιζεφύριοι, καὶ ἄλλοι οἱ Ἐπικνημίδιοι. 423) Τῶν ὅσα οἱ ἄνθρωποι σέβουσιν. 424) Ἐντὸς τοῦ ἐνεστ. μηνός. 425) Οἱ Μακεδόνες, οἱ ὁποῖοι ἄλλως ἐκάλουν τοὺς Ἀττικοὺς μῆνας. 426) Τὸ χωρίον εἶνε εἰς ὅλα τὰ χειρόγραφα ἐσφαλμένον. Ὁ Οὐόλφ. τὸ διώρθωσε δῆθεν: Τοῖς δὲ ἡμῖν συναντ. καιρὸ. χρησ. συμβούλοις· τοῖς δὲ μὴ προσθεμένοις, ἐπιζημίοις. Νομίζω ὅτι ἡ ἰδέα τοῦ λάχιστον τοῦ ἐπιστέλλοντος ἦτον ἡ ἑξῆς: κατὰ δὲ τῶν μὴ πανδημεὶ ἀπαντησόντων, χρησόμεθα, ἐκ συμφώνου μετὰ τῶν ἡμετέρων συμβούλων, τοῖς κειμένοις κατὰ τῶν τοιούτων ἐπιζημίοις (=Ἐπιτιμίοις). 427) Τοῦ Φιλίππου δηλαδή. 428) Κακὸν δαίμονα. Ἴδε τὸ Λεξ.

εὐθὺς ἰδόντες ἀπεστράφητε, θαυμάζω· πλὴν πολύ τι σκότος, ὡς ἔοικεν, ἐστὶ παρ' ὑμῖν πρὸ τῆς ἀληθείας.

Συμβέβηκε τοίνυν μοι τῶν κατὰ τῆς πατρίδος τούτῳ πεπραγμένων ἀψαμένῳ, εἰς ἃ[429] τούτοις ἐναντιούμενος αὐτὸς πεπολίτευμαι ἀφῖχθαι· ἃ πολλῶν μὲν ἕνεκ' ἄν εἰκότως ἀκούσατέ[430] μου, μάλιστα δ', ὅτι αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ μὲν τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν πόνων ὑπέμεινα, ὑμεῖς δὲ μηδὲ τοὺς λόγους αὐτῶν ἀνέξεσθε. Ὁρῶν γὰρ ἐγὼ Θηβαίους, σχεδὸν δὲ καὶ ὑμᾶς, ὑπὸ τῶν τὰ Φιλίππου πραττόντων καὶ διεφθαρμένων παρ' ἑκατέροις, ὃ μὲν ἦν ἀμφοτέροις φοβερὸν καὶ φυλακῆς πολλῆς δεόμενον, τὸ τὸν Φίλιππον ἐᾶν αὐξάνεσθαι παροῦσι καὶ οὐδὲ καθ' ἓν[431] φυλαττομένους, εἰς ἔχθραν δὲ καὶ τὸ προσκρούειν ἀλλήλοις ἑτοίμως ἔχοντας, ὅπως τοῦτο μὴ γενήσεται παρατηρῶν διετέλουν, οὐκ ἀπὸ τῆς ἐμαυτοῦ γνώμης μόνον ταῦτα συμφέρειν ὑπολαμβάνων, ἀλλ' εἰδὼς Ἀριστοφῶντα[432] καὶ πάλιν Εὔβουλον[433] πάντα τὸν χρόνον[434] βουλομένους πρᾶξαι ταύτην τὴν φιλίαν, καὶ, περὶ τῶν ἄλλων πολλάκις ἀντιλέγοντας[435] ἑαυτοῖς, εἰς τοῦθ' ὁμογνωμονοῦντας ἀεί· οὓς σὺ, ζῶντας μὲν, ὦ κίναδος[436], κολακεύων παρηκολούθεις, τεθνεώτων δ' οὐκ αἰσχύνῃ κατηγορῶν· ἃ γὰρ περὶ Θηβαίων ἐπιτιμᾷς ἐμοὶ, ἐκείνων πολὺ μᾶλλον, ἢ ἐμοῦ, κατηγορεῖς, τῶν πρότερον ἢ ἐγὼ ταύτην τὴν συμμαχίαν δοκιμασάντων. Ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι τὸν ἐν Ἀμφίσσῃ πόλεμον τούτου μὲν[437] ποιήσαντος, συμπεραναμένων δὲ τῶν ἄλλων[437], τῶν συνεργῶν αὐτῷ, τὴν πρὸς Θηβαίους ἔχθραν, συνέβη τὸν Φίλιππον ἐλθεῖν ἐφ' ἡμᾶς, ὑπερ[438] ἕνεκα τὰς πόλεις οὗτοι συνέκρουον. καὶ, εἰ μὴ προεξανέστημεν μικρὸν, οὐδ' ἀναλαβεῖν αὐτοὺς ἂν ἠδυνήθημεν. οὕτω μέχρι πόρρω προήγαγον οὗτοι τὸ πρᾶγμα! Ἐν οἷς δ' ἦτε ἤδη τὰ πρὸς ἀλλήλους[439], τουτωνὶ τῶν ψηφισμάτων ἀκούσαντες καὶ τῶν ἀποκρίσεων, εἴσεσθε. καί μοι λέγε ταῦτα λαβών.

ΨΗΦΙΣΜΑ.

α Ἐπὶ ἄρχοντος Ἡροπύθου, μηνὸς Ἐλαφηβολιῶνος ἕκτῃ φθίνοντος[440], β φυλῆς πρυτανευούσης Ἐρεχθηΐδος, βουλῆς καὶ στρατηγῶν γνώμῃ[441]. Ἐπειδὴ γ Φίλιππος, ἃς[442] μὲν κατεῖλήφε πόλεις τῶν ἀστυγειτόνων, τινὰς δὲ πορθεῖ, δ κεφαλαίῳ[443] δὲ, ἐπὶ τὴν Ἀττικὴν παρασκευάζεται παραγίγνεσθαι, παε ρ' οὐδὲν ἡγούμενος τὰς ἡμετέρας συνθήκας, καὶ τοὺς ὅρκους λύειν ἐπι-

---

429) Ἀφῖχθαι εἰς ἐκεῖνα ἃ. 430) Ἴσως ὀρθότ. Ἀκούσαιτε. 431) Οὐδοπωστιοῦν, οὐδόλως. 432) Κολυττεὺς ἢ Ἀζηνιεὺς τὸν δῆμον, δημαγωγὸς, πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείνας αἰτίαν «, κατὰ τὸν Αἰσχ. (κατὰ Κτησιφ. § λζ'.), υἱὸς τοῦ Μνησιθέου, τὸν ὁποῖον παρακατιὼν (σελ. 135.) ὁ ῥήτωρ συναριθμεῖ τοῖς πρὸ αὐτοῦ ἐνδόξοις καὶ μεγάλοις ῥήτορσιν. 433) Ἀναφλύστιος ἢ Κυθήριος τὸν δῆμον, περὶ τοῦ ὁποίου λέγει ὁ Πλούτ. ὅτι » πίστιν ἔχων ἐν τοῖς μάλιστα καὶ δύναμιν, οὐδὲν τῶν Ἑλληνικῶν ἔπραξεν, οὐδ' ἐπὶ στρατηγίαν ἦλθεν· ἀλλ' ἐπὶ τὰ χρήματα τάξας ἑαυτὸν, ἡῦξησε τὰς κοινὰς προσόδους, καὶ μάλιστα τὴν πόλιν ὠφέλησεν «. Ἴδε καὶ Αἰσχ. κατὰ Κτησιφ. §. ή. 434) (Ἐπὶ ἢ Κατὰ) πάντα τὸν χρ. 435) Ἐνῷ, ἢ Μ' ὅλον ὅτι. 436) Ἴδε τὸ Λεξ. 437) Τούτου μὲν ποιήσαντος τὸν πόλ., τῶν δὲ ἄλλων συμπεραναμένων τὴν ἔχθ. 438) Τοῦ ἐλθεῖν τὸν Φ. ἐφ' ἡμᾶς. 439) (Κατὰ) τὰ πρὸς ἀλλ. 440) Τῇ 23. 441) Ἐλλείπει τὸ ὄνομα τοῦ προτείναντος. Ὁ δεῖνα εἶπεν. Ἢ τὸ Γνώμη πρέπει νὰ γραφῇ χωρὶς ὑπογεγραμμένην, ὡς ὀνομαστικὴ, ἐννοουμένου τὸ Εἰσήχθη ἢ Ἐγένετο. 442) Ἐνίας μὲν. 443) (Ἐν) κεφαλαίῳ δὲ (εἰπεῖν), ἐν συντόμῳ.

» βάλλεται καὶ τὴν εἰρήνην, παραβαίνων τὰς κοινὰς πίστεις, δεδόχθαι τῇ » βουλῇ καὶ τῷ δήμῳ πέμπειν πρὸς αὐτὸν [κήρυκα καὶ] πρέσβεις, οἵτινες » αὐτῷ διαλέξονται, καὶ παρακαλέσουσιν αὐτὸν μάλιστα μὲν τὴν πρὸς » ἡμᾶς ὁμόνοιαν διατηρεῖν καὶ τὰς συνθήκας, εἰ δὲ μὴ[442] πρὸς τὸ βουλεύ- » σασθαι δοῦναι χρόνον τῇ πόλει, καὶ τὰς ἀνοχὰς[443] ποιήσασθαι μέχρι τοῦ » Θαργηλιῶνος μηνός. Ἠρέθησαν ἐκ τῆς βουλῆς Σῖμος Ἀναγυράσιος, Εὐθύ- » δημος Φλυάσιος[444], Βουλαγόρας Ἀλωπεκῆθεν. »

ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ.

« Ἐπὶ ἄρχοντος Ἡροπύθου, μηνὸς Μουνυχιῶνος ἕνῃ καὶ νέᾳ, πολε- » μάρχου γνώμῃ[445]. Ἐπειδὴ Φίλιππος εἰς ἀλλοτριότητα Θηβαίους πρὸς » ἡμᾶς ἐπιβάλλεται καταστῆσαι, παρεσκεύασται δὲ καὶ παντὶ τῷ στρα- » τεύματι πρὸς τοὺς ἔγγιστα τῆς Ἀττικῆς παραγίγνεσθαι τόπους, παρα- » βαίνων τὰς πρὸς ἡμᾶς ὑπαρχούσας αὐτῷ συνθήκας, δεδόχθαι τῇ βουλῇ » καὶ τῷ δήμῳ πέμψαι πρὸς αὐτὸν κήρυκα καὶ πρέσβεις, οἵτινες ἀξιώ- » σουσι καὶ παρακαλέσουσιν αὐτὸν ποιήσασθαι τὰς ἀνοχάς, ὅπως ἐνδε- » χομένως[446] ὁ δῆμος βουλεύσηται· καὶ γὰρ νῦν οὐ κέκρικε βοηθεῖν ἐν οὐ- » δενὶ τῶν μετρίων[447]. Ἠρέθησαν ἐκ τῆς βουλῆς Νέαρχος Σωσινόμου, Πολυ- » κράτης Ἐπίφρονος, καὶ κήρυξ Εὔνομος Ἀναφλύστιος ἐκ τοῦ δήμου[448]. Δέγε δὴ καὶ τὰς ἀποκρίσεις.

ΑΠΟΚΡΙΣΙΣ ΑΘΗΝΑΙΟΙΣ.

« Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαί- » ρειν. Ἦν μὲν ἀπ' ἀρχῆς εἴχετε πρὸς ἡμᾶς αἵρεσιν[449] οὐκ ἀγνοῶ, καὶ τίνα » σπουδὴν ποιεῖσθε, προσκαλέσασθαι βουλόμενοι Θετταλοὺς καὶ Θηβαίους, » ἔτι δὲ καὶ Βοιωτούς· βέλτιον δ' αὐτῶν φρονούντων, καὶ μὴ βουλομένων » ἐφ' ὑμῖν ποιήσασθαι τὴν ἑαυτῶν αἵρεσιν, ἀλλὰ κατὰ τὸ συμφέρον ἑστα- » μένων, νῦν ἐξ ὑποστροφῆς[450] ἀποστείλαντες ὑμεῖς πρός με πρέσβεις καὶ » κήρυκα, συνθηκῶν μνημονεύετε, καὶ τὰς ἀνοχὰς αἰτεῖσθε κατ' οὐδὲν ὑφ' ὑ- » μῶν πεπλημμελημένοι. Ἐγὼ μέν τοι ἀκούσας τῶν πρέσβευτῶν συγκατα- » τίθεμαι τοῖς παρακαλουμένοις, καὶ ἕτοιμός εἰμι ποιεῖσθαι τὰς ἀνοχάς, ἄν » περ τοὺς οὐκ ὀρθῶς συμβουλεύοντας ὑμῖν παραπέμψαντες, τῆς προσηκού- » σης ἀτιμίας ἀξιώσητε. Ἔρρωσθε ».

ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΟΙΣ.

« Βασιλεὺς Μακεδόνων Φίλιππος Θηβαίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαί- » ρειν. Ἐκομισάμην τὴν παρ' ὑμῶν ἐπιστολήν, δι' ἧς μοι τὴν ὁμόνοιαν καὶ » τὴν εἰρήνην ἀνανεοῦσθε. Πυνθάνομαι μέντοι, διότι[451] πᾶσαν ὑμῖν Ἀθη- » ναῖοι προσφέρονται φιλοτιμίαν, βουλόμενοι ὑμᾶς συγκαταίνους γενέσθαι

---

442) Εἰ δὲ μὴ (βούλησθε ταῦτα ποιεῖν). 443) Ἀνακωχήν. 444) Διορθοῦσί τινες Φιλάσιος· διότι Φιλαὶ δῆμος ἦσαν εἰς τὴν Ἀττικήν. 445) Ἐκ τῶν ἐνόντων, ὅπως ἂν δυνηθῇ.

446) Δισύντακτον τὸ χωρίον· Καὶ γὰρ νῦν (ὁ δῆμος) οὐ κέκρικε τὸ βοηθεῖν ἐν οὐδενὶ τῶν μετρίων. Τὸ φρονεῖ ἄτοπον, δὲν τὸ ἐγκρίνει διόλου, (διὰ τὰς ὑπαρχούσας συνθήκας).

447) Οἱ μὲν δύο ἦσαν ἐκ τῆς βουλῆς· ὁ δὲ κήρυξ ἐκ τοῦ δήμου. 449) Προαίρεσιν.

450) Μεταβουλευσάμενοι, ἐξ ἐναντίας.

» τοῖς ὑπ' αὐτῶν παρακαλουμένοις. Πρότερον μὲν οὖν ὑμῶν κατεγίγνωσκον » ἐπὶ τῷ μέλλειν πείθεσθαι ταῖς ἐκείνων ἐλπίσι, καὶ ἐπακολουθεῖν αὐτῶν » τῇ προαιρέσει· νῦν δ' ἐπιγνοὺς ὑμᾶς τὴν πρὸς ἡμᾶς ἐζητηκότας ἔχειν » εἰρήνην μᾶλλον, ἢ ταῖς ἑτέρων ἐπακολουθεῖν γνώμαις, ἥσθην καὶ μᾶλλον » ὑμᾶς ἐπαινῶ κατὰ πολλὰ[452], μάλιστα δ' ἐπὶ τῷ βουλεύσασθαι περὶ τού- » των ἀσφαλέστερον, καὶ τὰ πρὸς ἡμᾶς ἔχειν ἐν εὐνοίᾳ· ὅπερ οὐ μικρὰν » ὑμῖν οἴσειν ἐλπίζω ῥοπὴν[453], ἐὰν περ ἐπὶ ταύτης μένητε τῆς προθέσεως. » Ἐρρώσθε. »

Οὕτω διαθεὶς ὁ Φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας διὰ τούτων[454], καὶ τούτοις ἐπαρθείς τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσιν, ἦκεν ἔχων τὴν δύ ναμιν, καὶ τὴν Ἐλάτειαν κατέλαβεν, ὡς οὐδ' ἂν εἴ τι γένοιτο ἔτι συμ πνευσόντων ἂν ἡμῶν καὶ τῶν Θηβαίων. Ἀλλὰ μὴν τόν τότε συμβάντα ἐν τῇ πόλει θόρυβον ἴστε μὲν ἅπαντες, μικρὰ δ' ἀκούσατε ὅμως, αὐτὰ τἀναγ καιότατα[455]. Ἑσπέρα μὲν γὰρ ἦν, ἦκε δ' ἄγγελλων τις ὡς τοὺς πρυτάνεις, ὡς Ἐλάτεια κατείληπται. καὶ μετὰ ταῦτα οἱ μὲν, εὐθὺς ἐξαναστάντες μεταξὺ δειπνοῦντες, τούς τ' ἐκ τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον, καὶ τὰ γέρρα[456] ἐνεπίμπρασαν, οἱ δὲ τοὺς στρατηγοὺς μετεπέμποντο, καὶ τὸν σαλπιγκτὴν ἐκάλουν, καὶ θορύβου πλήρης ἦν ἡ πόλις. τῇ δ' ὑστε ραίᾳ, ἅμα τῇ ἡμέρᾳ, οἱ μὲν πρυτάνεις τὴν βουλὴν ἐκάλουν εἰς τὸ βουλευ τήριον, ὑμεῖς δ'[457] εἰς τὴν ἐκκλησίαν ἐπορεύεσθε, καὶ πρὶν ἐκείνην[458] χρη ματίσαι καὶ προβουλεῦσαι, πᾶς ὁ δῆμος ἄνω καθῆτο[459]. καὶ μετὰ ταῦτα ὡς εἰσῆλθεν ἡ βουλὴ, καὶ ἀπήγγειλαν οἱ πρυτάνεις τὰ προσηγγελμένα ἑαυ τοῖς, καὶ τὸν ἥκοντα παρήγαγον, κἀκεῖνος εἶπεν[460], ἠρώτα μὲν ὁ κήρυξ « Τίς ἀγορεύειν βούλεται; » παρῆει δ' οὐδείς. πολλάκις δὲ τοῦ κήρυκος ἐρωτῶν τος, οὐδὲν μᾶλλον ἀνίστ' οὐδείς, ἁπάντων μὲν τῶν στρατηγῶν παρόντων, ἁπάντων δὲ τῶν ῥητόρων, καλούσης δὲ τῆς κοινῆς τῆς πατρίδος φωνῆς[461] τὸν ἐροῦνθ' ὑπὲρ σωτηρίας. ἦν γὰρ ὁ κήρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν τῆς πατρίδος δίκαιόν ἐστιν ἡγεῖσθαι. Καί τοι εἰ μὲν τοὺς σω θῆναι τὴν πόλιν βουλομένους παρελθεῖν ἔδει, πάντες ἂν ὑμεῖς καὶ οἱ ἄλ λοι Ἀθηναῖοι ἀναστάντες ἐπὶ τὸ βῆμα ἐβαδίζετε· πάντες γὰρ εὖ οἶδ' ὅτι σωθῆναι αὐτὴν ἠβούλεσθε· εἰ δὲ τοὺς πλουσιωτάτους, οἱ τριακόσιοι[462]· εἰ δὲ τοὺς ἀμφότερα ταῦτα, καὶ εὔνους τῇ πόλει καὶ πλουσίους, οἱ [μετὰ ταῦτα[463]] τὰς μεγάλας ἐπιδόσεις ἐπιδόντες. καὶ γὰρ εὐνοίᾳ καὶ πλούτῳ τοῦτ' ἐποίη σαν. ἀλλ', ὡς ἔοικεν, ἐκεῖνος ὁ καιρὸς καὶ ἡ ἡμέρα ἐκείνη, οὐ μόνον εὔνουν

---

452) Διὰ πολλὰ μὲν καὶ ἄλλα. 453) Ὠφέλειαν. 454) Τῶν προδοτῶν ἢ τῶν ῥαδιουργιῶν. 455) Ὡς παράδειγμα διηγηματικοῦ ὕρους ἀναφέρεται τὸ χωρίον τοῦτο ὑπὸ τοῦ Λογγίνου καὶ ἄλλων. 456) Τὰ παραπήγματα, ταῖς μπαράκαις· ἵνα μὴ ἐμποδίζωσιν εἰς τὰς πρὸς φυ λακὴν τῆς πόλεως στρατιωτικὰς κινήσεις. τὰ ἔκαυσαν δὲ, ὡς μὴ ἔχοντες καιρὸν νὰ τὰ με τακομίσουν. 457) Ὁ δῆμος δηλαδή. 458) Τὴν βουλὴν, καθὼς ἦτον ἡ τάξις. 459) Ἐν ἄλ λοις: Καθῆστο. ὅε τὴν σημ. 75. Τὸ δὲ Ἄνω καθῆστο, οἱ μὲν ἐξέλαβον: Κατέλαβε τὰ ἀνώτερα καθίσματα· οἱ δὲ, Μετέωρος ἦν, περιμένων τὸ ἀποβησόμενον. 460) Ὅσα εἶχεν εἰ πεῖ ἤδη χ εἰς τοὺς Πρυτάνεις. 461) Ἐν ἄλλοις: Καλούσης δὲ τῆς πατρίδος τῇ κοινῇ φωνῇ 462) Αὐτοὶ ἐλέγοντο καὶ Πεντακοσιομέδιμνοι, ὡς » ἐν ξηροῖς ὁμοῦ καὶ ὑγροῖς μέτρα πεντα κόσια ποιοῦντες «, κατὰ τὴν ἀπὸ τιμήματος διαίρεσιν τοῦ Σόλωνος. 463) Περιαλείπεται ὡς ἐλλεῖπον ἐν πολλοῖς τῶν ἀντιγράφων.

καὶ πλούσιον ἄνδρα ἐκάλει, ἀλλὰ καὶ παρηκολουθηκότα τοῖς πράγμασιν ἐξ ἀρχῆς, καὶ συλλελογισμένον ὀρθῶς τίνος ἕνεκα ταῦτ' ἔπραττεν ὁ Φίλιππος καὶ τί βουλόμενος. ὁ γὰρ μὴ ταῦτ' εἰδὼς, μηδ' ἐξητακὼς πόρρωθεν[464] ἐπιμελῶς, οὔτ' εἰ εὔνους ἦν, οὔτ' εἰ πλούσιος, οὐδὲν μᾶλλον ἤμελλεν ὅ,τι χρὴ ποιεῖν εἴσεσθαι, οὐδ' ὑμῖν ἕξειν συμβουλεύειν.

Ἐφάνην τοίνυν αὐτὸς[465] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγὼ[466], καὶ παρελθὼν εἶπον εἰς ὑμᾶς, ἃ μου ἴσως ἕνεκ' ἀκούσατε προσχόντες τὸν νοῦν. ἑνὸς[467] μὲν, ἵν' εἰδῆτε, ὅτι μόνος τῶν λεγόντων καὶ πολιτευομένων ἐγὼ τὴν τῆς εὐνοίας τάξιν ἐν τοῖς δεινοῖς οὐκ ἔλιπον, ἀλλὰ καὶ λέγων καὶ γράφων ἐξηταζόμην τὰ δέοντ' ὑπὲρ ὑμῶν ἐν αὐτοῖς τοῖς φοβεροῖς· ἑτέρου[467] δὲ, ὅτι μικρὸν ἀναλώσαντες χρόνον, πολλῷ[467] πρὸς τὰ λοιπὰ τῆς πάσης πολιτείας ἔσεσθ' ἐμπειρότεροι. Εἶπον τοίνυν ὅτι Τοὺς μὲν, ὡς ὑπαρχόντων Θηβαίων φίλων Φιλίππῳ, λίαν θορυβουμένους ἀγνοεῖν τὰ παρόντα πράγματ' ἡγοῦμαι. εὖ γὰρ οἶδ', ὅτι, εἰ τοῦθ' οὕτως ἐτύγχανεν ἔχον, οὐκ ἂν αὐτὸν ἠκούομεν ἐν Ἐλατείᾳ νῦν ὄντα, ἀλλ' ἐπὶ τοῖς ἡμετέροις ὁρίοις· ὅτι μέντοι[468], ἵν' ἕτοιμα ποιήσηται τὰ ἐν Θήβαις, ἥκει, σαφῶς ἐπίσταμαι. ὡς δ' ἔχει ταῦτα, ἔφην, ἀκούσατέ μου. Ἐκεῖνος ὅσους ἢ πεῖσαι χρήμασι Θηβαίων ἢ ἐξαπατῆσαι ἐνῆν, ἅπαντας ἠλπρέπισται, τοὺς δ' ἀπ' ἀρχῆς ἀνθεστηκότας αὐτῷ, καὶ νῦν ἐναντιουμένους, οὐδαμῶς πεῖσαι δύναται. τί οὖν βούλεται, καὶ τίνος ἕνεκα τὴν Ἐλάτειαν κατείληφε; πλησίον δύναμιν δείξας καὶ παραστήσας τὰ ὅπλα, τοὺς μὲν ἑαυτοῦ φίλους ἐπᾶραι καὶ θρασεῖς ποιῆσαι, τοὺς δ' ἐναντιουμένους καταπλῆξαι, ἵν' ἢ συγχωρήσωσι φοβηθέντες, ἃ νῦν οὐκ ἐθέλουσιν, ἢ βιασθῶσιν. Εἰ μὲν οὖν προαιρησόμεθ' ἡμεῖς, ἔφην, ἐν τῷ παρόντι, εἴ τι δύσκολον[469] πέπρακται Θηβαίοις πρὸς ἡμᾶς, τούτου μεμνῆσθαι καὶ ἀπιστεῖν αὐτοῖς, ὡς ἐν τῇ τῶν ἐχθρῶν οὔσι μοίρᾳ, πρῶτον μὲν, ἃ ἂν εὔξαιτο Φίλιππος, ποιήσομεν· εἶτα φοβοῦμαι μὴ, προσδεξαμένων τῶν νῦν ἀνθεστηκότων αὐτῷ, καὶ μιᾷ γνώμῃ πάντων φιλιππισάντων, εἰς τὴν Ἀττικὴν ἔλθωσιν ἀμφότεροι. Ἂν μέντοι πεισθῆτ' ἐμοὶ, καὶ πρὸς τῷ σκοπεῖν[469], ἀλλὰ μὴ φιλονεικεῖν[470], περὶ ὧν ἂν λέγω, γένησθε[470], οἶμαι καὶ τὰ δέοντα λέγειν δόξειν, καὶ τὸν ἐφεστηκότα κίνδυνον τῇ πόλει διαλύσειν. Τί οὖν φημι δεῖν; Πρῶτον μὲν τὸν παρόντα ἐπανεῖναι[471] φόβον, εἶτα μεταθέσθαι[472] καὶ φοβεῖσθαι πάντας ὑπὲρ Θηβαίων· πολὺ γὰρ τῶν δεινῶν εἰσιν ἡμῶν ἐγγυτέρω, καὶ προτέροις αὐτοῖς ὁ κίνδυνός ἐστιν ἡμῶν· ἔπειτα ἐξελθόντας Ἐλευσινάδε τοὺς ἐν ἡλικίᾳ[473] καὶ τοὺς ἱππέας, δεῖξαι πᾶσιν ὑμᾶς αὐτοὺς ἐν τοῖς ὅπλοις ὄντας, ἵνα τοῖς ἐν Θήβαις φρονοῦσι τὰ ὑμέτερα ἐξ ἴσου[474] γένηται τὸ παῤῥησιάζεσθαι περὶ τῶν δικαίων, εἰδόσιν ὅτι, ὥσπερ τοῖς πωλοῦσι Φιλίππῳ τὴν πατρίδα πάρεσθ' ἡ βοηθήσουσα δύναμις ἐν Ἐλατείᾳ, οὕτω τοῖς ὑπὲρ τῆς ἐλευθερίας ἀγωνίζεσθαι βουλομένοις ὑπάρχεθ' ὑμεῖς ἕτοιμοι καὶ

---

464) Πρὸ πολλοῦ. 465) Ἐγὼ ἐφάνην ὢν οὗτος (ὁ τοιοῦτος ἀνήρ). 466) (Ἕνεκα) ἑνὸς μέν, (ἕνεκα) ἑτέρου δέ. 467) (Ἐν) πολλῷ (τῷ μέτρῳ), πολύ. 468) Ἐπακολουθητικὸς τοῦ Μέν. Ἡγοῦμαι μὲν· ἐπίσταμαι μέντοι. 469) Ἐναντίον. 470) Δοθῆτε εἰς σκέψεις, καὶ ὄχι φιλονεικίας. 471) Ἐπανίημι. 472) Μεταβαλεῖν τὴν αἰτίαν τοῦ φόβου. 473) Ἐν στρατευσίμῳ ὄντας. 474) Τοῖς Φιλιππίζουσιν.

βοηθήσετε, ἐάν τις ἐπ' αὐτοὺς ἴῃ. Μετὰ ταῦτα χειροτονῆσαι κελεύω δέκα πρέσβεις, καὶ ποιῆσαι τούτους κυρίους μετὰ τῶν στρατηγῶν καὶ τοῦ πότε δεῖ ἐκεῖσε[476] βαδίζειν καὶ τῆς ἐξόδου. ἐπειδὰν δ' ἔλθωσιν οἱ πρέσβεις εἰς Θήβας, πῶς χρήσασθαι τῷ πράγματι τούτῳ παραινῶ; πάνυ μοι προσέχετε τὸν νοῦν· μὴ δεῖσθαι Θηβαίων μηδέν. αἰσχρὸς γὰρ ὁ καιρός[476]· ἀλλ' ἐπαγγέλλεσθαι βοηθήσειν, ἐὰν κελεύωσιν, ὡς ἐκείνων μὲν ὄντων ἐν τοῖς ἐσχάτοις [κινδύνοις], ἡμῶν δὲ ἄμεινον ἢ ἐκεῖνοι τὸ μέλλον προορωμένων· ἴν', ἐὰν μὲν δέξωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθα ὦμεν διῳκημένοι, καὶ μετὰ προσχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν· ἐὰν δ' ἄρα μὴ συμβῇ καταντυχεῖν, ἐκεῖνοι μὲν ἑαυτοῖς ἐγκαλῶσιν, ἂν τι νῦν ἐξαμάρτωσιν, ἡμῖν δὲ μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ἢ πεπραγμένον.

Ταῦτα καὶ τὰ παραπλήσια τούτοις εἰπὼν, κατέβην. συνεπαινεσάντων δὲ πάντων, καὶ οὐδενὸς εἰπόντος ἐναντίον οὐδέν[477], οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δὲ, οὐδ' ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δὲ, οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους· ἀλλ' ἀπὸ τῆς ἀρχῆς διὰ πάντων ἦλθον τῆς τελευτῆς διεξῆλθον, καὶ ἔδωκ' ἐμαυτὸν ὑμῖν ἁπλῶς[478] εἰς τοὺς περιεστηκότας τῇ πόλει κινδύνους. καί μοι φέρε τὸ ψήφισμα τὸ τότε γενόμενον. Καίτοι, τίνα βούλει σε, Αἰσχίνη, καὶ τίνα ἐμαυτὸν ἐκείνην τὴν ἡμέραν εἶναι θῶ; βούλει ἐμαυτὸν μὲν, ὃν ἂν σὺ λοιδορούμενος καὶ διασύρων καλέσαις, Βάταλον[479]; σὲ δὲ μηδ' ἥρωα[480] τὸν τυχόντα, ἀλλὰ τούτων τινὰ τῶν ἀπὸ τῆς σκηνῆς, Κρεσφόντην, ἢ Κρέοντα[480*], ἢ ὃν ἐν Κολυττῷ ποτε Οἰνόμαον κακὸς κακῶς ὑποκρινόμενος, ἐπέτριψας[481]; Τότε τοίνυν κατ' ἐκεῖνον τὸν καιρὸν, ὁ Παιανιεὺς ἐγὼ Βάταλος, Οἰνομάου τοῦ Κοθωκίδου σοῦ, πλείονος ἄξιος ὢν ἐφάνην τῇ πατρίδι. σὺ μέν γε[482] οὐδὲν οὐδαμοῦ χρήσιμος ἦσθα· ἐγὼ δὲ πάντα, ὅσα προσῆκε τὸν ἀγαθὸν πολίτην, ἔπραττον. Λέγε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

« Ἐπὶ ἄρχοντος Ναυσικλέους, φυλῆς πρυτανευούσης Αἰαντίδος, Σκιροφοριῶνος ἕκτῃ ἐπὶ δέκα, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν· Ἐπειδὴ » Φίλιππος, ὁ Μακεδόνων Βασιλεὺς, ἔν τε τῷ παρεληλυθότι χρόνῳ παρα» βαίνων φαίνεται τὰς γεγενημένας αὐτῷ συνθήκας πρὸς τὸν Ἀθηναίων » δῆμον περὶ τῆς εἰρήνης, ὑπεριδὼν τοὺς ὅρκους καὶ τὰ παρὰ πᾶσι τοῖς » Ἕλλησι νομιζόμενα εἶναι δίκαια, καὶ πόλεις παραιρεῖται οὐδὲν αὐτῷ

---

476) Εἰς Θήβας τοὺς πρέσβεις. 476) Αἰσχρὸν γὰρ, ἐν τοιούτῳ καιρῷ. 477) Τοῦτο εἶναι τὸ περίφημον Κλιμακωτὸν σχῆμα. 478) Ἀπαρατηρήτως, χωρὶς ἐξαίρεσιν. 479) Μαλθακὸν, θηλυδρίαν, ἄνανδρον, ἀπό τινος Βατάλου, « αὐλητοῦ, τῶν κατεαγότων », κατὰ τὸν Πλούτ. 480) Ἥρωα οὐ τὸν τυχόντα. 480*) « Ἴσε γὰρ ὅπῃ τοῦθ', ὅτι ἐν ἅπασι τοῖς δράμασι τοῖς τραγικοῖς ἐξαίρετόν ἐστιν, ὥσπερ γέρας τι, τοῖς τριταγωνισταῖς, τὸ τοὺς τυράννους ἢ τοὺς τὰ σκῆπτρα ἔχοντας εἰσιέναι, » Δημοσθ. ἐν τῷ περὶ Παραπρεσβ. 481) Τὸν ἀφάνισας ὑπὸ ὁμαθίας. Ὁ δὲ Σχολ. ἑρμηνεύει ἱστορικώτερον τὸ χωρίον, λέγων ὅτι « Δημοχάρης ὁ ἀδελφιδοῦς Δημοσθένους, εἰ ἄρα πιστευτέον αὐτῷ λέγοντι περὶ Αἰσχίνου, φησὶν Ἰσχάνδρου τοῦ τραγῳδοποιοῦ τριταγωνιστὴν γενέσθαι τὸν Αἰσχίνην, καὶ ὑποκρινόμενον Οἰνόμαον διώκοντα Πέλοπα, αἰσχρῶς πεσεῖν, καὶ ἀναστῆναι ὑπὸ Σαννίωνος τοῦ χοροδιδασκάλου. Ἔνθεν δ' οὖν ὁ Δημοσθένης Οἰνόμαον αὐτὸν ὀνομάζει, πρὸς εἰδότας τὸ πρᾶγμα ἐπισκώπτων ». 482) Αἰτιολογικός.

» προσηκούσας, τινὰς δὲ καὶ Ἀθηναίων οὔσας[485] δορυαλώτους πεποίηκεν,
» οὐδὲν προαδικηθεὶς ὑπὸ τοῦ δήμου τοῦ Ἀθηναίων· ἔν τε τῷ παρόντι ἐπὶ
» πολὺ προάγει[486] τῇ τε βίᾳ καὶ τῇ ὠμότητι· καὶ γὰρ Ἑλληνίδας πόλεις,
» ἃς[487] μὲν ἐμπρούρους ποιεῖ καὶ τὰς πολιτείας καταλύει, τινὰς δὲ καὶ ἐξ-
» ανδραποδιζόμενος κατασκάπτει, εἰς ἐνίας δὲ καὶ ἀντὶ Ἑλλήνων βαρ-
» βάρους κατοικίζει, ἐπὶ τὰ ἱερὰ καὶ τοὺς τάφους ἐπάγων[488], οὐδὲν ἀλλό-
» τριον ποιῶν οὔτε τῆς ἑαυτοῦ πατρίδος, οὔτε τοῦ τρόπου[489], καὶ τῇ νῦν
» αὐτῷ παρούσῃ τύχῃ κατακόρως χρώμενος[490], ἐπιλελησμένος ἑαυτοῦ, ὅτι
» ἐκ μικροῦ καὶ τοῦ τυχόντος γέγονεν ἀνελπίστως μέγας. καὶ ἕως μὲν
» πόλεις ἑώρα παραιρούμενον αὐτὸν βαρβάρους καὶ οὐκ ἰδίας[491], ὑπελάμ-
» βανεν ἔλαττον[492] εἶναι ὁ δῆμος ὁ τῶν Ἀθηναίων τὸ εἰς αὐτὸν πλημμε-
» λεῖσθαι· νῦν δὲ ὁρῶν Ἑλληνίδας πόλεις, τὰς μὲν ὑβριζομένας, τὰς δὲ ἀνα-
» στάτους γιγνομένας, δεινὸν ἡγεῖται εἶναι καὶ ἀνάξιον τῆς τῶν προγόνων
» δόξης, τὸ περιορᾶν τοὺς Ἕλληνας καταδουλουμένους. Διὸ δέδοκται τῇ
» βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων, εὐξαμένους καὶ θύσαντας τοῖς θεοῖς
» καὶ ἥρωσι τοῖς κατέχουσι τὴν πόλιν καὶ τὴν χώραν τὴν Ἀθηναίων,
» καὶ ἐνθυμηθεῖσι τῆς τῶν προγόνων ἀρετῆς, διότι[493] περὶ πλείονος ἐποι-
» οῦντο τὴν τῶν Ἑλλήνων ἐλευθερίαν διατηρεῖν ἢ τὴν ἰδίαν πατρίδα, δια-
» κοσίας ναῦς καθέλκειν εἰς τὴν θάλατταν, καὶ τὸν ναύαρχον ἀναπλεῖν
» ἐντὸς Πυλῶν[494], καὶ τὸν στρατηγὸν καὶ τὸν ἵππαρχον καὶ τὰς πεζὰς καὶ
» τὰς ἱππικὰς δυνάμεις Ἐλευσῖνάδε ἐξάγειν· πέμψαι δὲ καὶ πρέσβεις πρὸς
» τοὺς ἄλλους Ἕλληνας, πρῶτον δὲ πάντων πρὸς Θηβαίους, διὰ τὸ ἐγγυ-
» τάτω εἶναι τὸν Φίλιππον τῆς ἐκείνων χώρας· παρακαλεῖν δὲ αὐτούς, μη-
» δὲν καταπλαγέντας τὸν Φίλιππον, ἀντέχεσθαι τῆς ἑαυτῶν καὶ τῆς τῶν
» ἄλλων Ἑλλήνων ἐλευθερίας, καὶ ὅτι[495] ὁ Ἀθηναίων δῆμος, οὐδὲν μνησι-
» κακῶν, εἴ τι πρότερον γέγονεν ἀλλότριον ταῖς πόλεσι πρὸς ἀλλήλας,
» βοηθήσει, καὶ δυνάμεσι, καὶ χρήμασι, καὶ βέλεσι, καὶ ὅπλοις, εἰδὼς,
» ὅτι[496] καὶ αὐτοῖς μὲν πρὸς ἀλλήλους διαμφισβητεῖν περὶ τῆς ἡγεμονίας, οὐ-
» σιν Ἕλλησι, καλόν· ὑπὸ δὲ ἀλλοφύλου ἀνθρώπου ἄρχεσθαι καὶ τῆς ἡγε-
» μονίας ἀποστερεῖσθαι, ἀνάξιον εἶναι καὶ τῆς τῶν Ἑλλήνων δόξης καὶ
» τῆς τῶν προγόνων ἀρετῆς· ἔτι δὲ οὐδὲ ἀλλότριον ἡγεῖται εἶναι ὁ Ἀθη-
» ναίων δῆμος τὸν Θηβαίων δῆμον, οὔτε τῇ συγγενείᾳ[497], οὔτε τῷ ὁμοφύ-
» λῳ· ἀναμεμνήσκεται δὲ καὶ τὰς τῶν προγόνων τῶν ἑαυτοῦ εἰς τοὺς Θη-
» βαίων προγόνους εὐεργεσίας. καὶ γὰρ τοὺς Ἡρακλέους[498] παῖδας ἀποσε-
» ρομένους ὑπὸ Πελοποννησίων τῆς πατρῴας ἀρχῆς, κατήγαγον, τοῖς ὅπλοις

---

485) Ἔν τε τῷ παρεληλυθότι, ἔν τε τῷ παρόντι χρόνῳ. 486) Προχωρεῖ, καταντᾷ εἰς τὸ Μὴ περαιτέρω. 487) Φέρων αὐτοὺς κατὰ τῶν Ἑλληνικῶν ἱερῶν καὶ τῶν τάφων.
488) Τοῦ (ἑαυτοῦ) τρόπου. 489) Καταχρώμενος. 490) Ὁ Ῥείσκ. ἔγραψε. Καὶ οὐκ ἰδίας· ὁ δὲ Ταυλλορος ἐξηγεῖ τὸ ἰδίας, αὐτονόμους. Πιθανώτερον νομίζω ὅτι ἐννοεῖ ἰδίας αὐτῶν τῶν Ἀθηναίων, τὰς ἐν Θράκῃ φέρ' εἰπεῖν, Ἐργίσκην, Σέρριον κτλ. 491) Ἐλάττονος μέμ-
ψεως ἄξιον τοῦ ἐξῆς ῥηθησομένου. 492) Ἐντὸς τῶν Θερμοπυλῶν, εἰς τὸν πορθμὸν τῆς Εὐ-
βοίας. 493) Καὶ λέγειν ὅτι. 494) Περιεκλείσθησαν ὡς συγχεοντα τὴν σύνταξιν.
495) Ἐν ἄλλοις· Εὐγενείᾳ, ὃ ἀπρεπώτερον· Τὸ γὰρ Συγγενείᾳ ταὐτοσημαον τῷ Ὁμο-
φύλῳ. 496) Γνωστὸν ὅτι ὁ Ἡρακλῆς ἦτον Θηβαῖος.

» κρατήσαντες τοὺς ἀντιβαίνειν πειρωμένους τοῖς Ἡρακλέους ἐγγόνοις καὶ
» τὸν Οἰδίπουν καὶ τοὺς μετ' ἐκείνου ἐκπεσόντας[495] ὑπεδεξάμεθα, καὶ ἕτερα
» πολλὰ ἡμῖν ὑπάρχει φιλάνθρωπα καὶ ἔνδοξα πρὸς Θηβαίους. Διόπερ οὐδὲ
» νῦν ἀποστήσεται ὁ Ἀθηναίων δῆμος τῶν Θηβαίοις τε καὶ ἄλλοις Ἕλλησι
» συμφερόντων. Συνθέσθαι δὲ πρὸς αὐτοὺς καὶ συμμαχίαν, καὶ ἐπιγαμίαν[495*]
» ποιήσασθαι, καὶ ὅρκους δοῦναι καὶ λαβεῖν. Πρέσβεις Δημοσθένης Δημο-
» σθένους Παιανιεύς, Ὑπερίδης Κλεάνδρου Σφήττιος, Μνησιθείδης Ἀντιφά-
» νους Φρεάρριος, Δημοκράτης Σωφίλου Φλυεύς, Κάλλαισχρος Διοτίμου
» Κοθωκίδης ».

Αὕτη τῶν περὶ Θήβας ἐγίνετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώ-
τη, τὰ πρὸ τούτων, εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπεγ-
μένων ὑπὸ τούτων[496]. τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίν-
δυνον παρελθεῖν ἐποίησεν, ὥσπερ νέφος[497]. Ἦν μὲν τοίνυν τοῦ δικαίου πο-
λίτου τότε δεῖξαι πᾶσιν, εἴ τι τούτων εἶχεν ἄμεινον, μὴ νῦν ἐπιτιμᾶν. Ὁ
γὰρ σύμβουλος καὶ ὁ συκοφάντης, ἐν οὐδενὶ τῶν ἄλλων οὐδὲν[497*] ἐοικότες, ἐν
τούτῳ πλεῖστον ἀλλήλων διαφέρουσιν. ὁ μὲν γὰρ[498], πρὸ τῶν πραγμάτων
γνώμην ἀποφαίνεται, καὶ δίδωσιν αὑτὸν ὑπεύθυνον τοῖς πεισθεῖσι, τῇ τύχῃ,
τοῖς καιροῖς, τῷ βουλομένῳ· ὁ δὲ[499], σιγήσας ἡνίκ' ἔδει λέγειν, ἂν τι δύσ-
κολον[500] συμβῇ, τοῦτο βασκαίνει[501]. Ἦν μὲν οὖν, ὅπερ εἶπον, ἐκεῖνος ὁ καιρὸς
τοῦ γε φροντίζοντος ἀνδρὸς τῆς πόλεως καὶ τῶν δικαίων λόγων· ἐγὼ
δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὥστε, ἂν νῦν ἔχῃ τις δεῖξαί τι βέλτιον,
ἢ ὅλως, εἴ τι ἄλλο ἐνῆν πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν ὁμολογῶ. εἰ γὰρ
ἔσθ' ὅ,τι τις νῦν εὑρακεν, ὃ συνήνεγκεν ἂν τότε πραχθέν, τοῦτ' ἐγὼ φημι
δεῖν ἐμὲ μὴ λαθεῖν. εἰ δὲ μήτ' ἔστι, μήτε ἦν, μήτ' ἂν εἰπεῖν ἔχοι μηδείς
μηδέπω καὶ τήμερον, τί τὸν σύμβουλον ἐχρῆν ποιεῖν; οὐ τῶν φαινομένων
καὶ ἐνόντων τὰ κράτιστα ἑλέσθαι; τοῦτο τοίνυν ἐποίησα ἐγὼ, τοῦ κήρυκος
ἐρωτῶντος, Αἰσχίνῃ, Τίς ἀγορεύειν βούλεται; οὐ, Τίς αἰτιᾶσθαι περὶ τῶν
παρεληλυθότων; οὐδὲ, Τίς ἐγγυᾶσθαι τὰ μέλλοντ' ἔσεσθαι; Σοῦ δ' ἀφώνου
κατ' ἐκείνους τοὺς χρόνους ἐν ταῖς ἐκκλησίαις καθημένου, ἐγὼ παρελθὼν,
ἔλεγον. ἐπειδὴ δ' οὐ τότε[502], ἀλλὰ νῦν δεῖξον, εἰπέ, τίς ἦ λόγος[503], ὄντιν' ἐ-
χρῆν εὑρεῖν, ἢ καιρὸς συμφέρων ὑπ' ἐμοῦ παρελείφθη τῇ πόλει; πίς δὲ συμ-
μαχία; τίς πρᾶξις, ἐφ' ἣν μᾶλλον ἔδει με ἀγαγεῖν τουτουσί;

Ἀλλὰ μήν, τὸ μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖται, καὶ οὐδεὶς
περὶ τούτου προτίθησιν οὐδαμοῦ βουλήν· τὸ δὲ μέλλον ἦ τὸ παρὸν τὴν τοῦ
συμβούλου τάξιν ἀπαιτεῖ. Τότε τοίνυν τὰ μὲν[504] ἤμελλεν, ὡς ἐδόκει, τῶν
δεινῶν[504], τὰ δ'[504] ἤδη παρῆν, ἐν οἷς τὴν προαίρεσίν μου σκόπει τῆς πολι-
τείας, μὴ τὰ συμβαίνοντα συκοφάντει· τὸ μὲν γὰρ πέρας, ὡς ἂν ὁ δαίμων
βουληθῇ, πάντων[505] γίγνεται· ἡ δὲ προαίρεσις αὐτὴ τὴν τοῦ συμβούλου

---

495) Τῶν Θηβῶν. 495*) Προνόμιον τοῦ λαμβάνειν καὶ δίδειν θυγατέρας καὶ ἀδελφὰς εἰς γάμον. 496) Τῶν προδοτῶν, καὶ δεικνύει τὸν Αἰσχίνην. 497) Θαυμάζει τὸ χωρίον τοῦτο ὁ Λογγῖνος διὰ τὸν ῥυθμὸν καὶ τὴν ἁρμονίαν καὶ τὸ κάλλος καὶ τῆς φράσεως καὶ τῆς ἰδέας. 497*) (Κατ') οὐδέν. 498) Σύμβουλος. 499) Συκοφάντης. 500) Δυσχερές, ἐναντίον. 501) Μέμφεται, διαβάλλει. 502) (Ἐνν.) Ἤδειξας. 503) Συμφέρων τῇ πόλει. 504) (Ἐκ) τῶν δεινῶν, τὰ μὲν, τὰ δέ. 505) Τὸ πέρας (ἡ ἔκβασις) πάντων [τῶν πραγμ.].

διάνοιαν[506] δηλοῖ. Μὴ δὴ τοῦτο ὡς ἀδίκημα ἐμὸν θῇς, εἰ κρατῆσαι συνέβη Φιλίππῳ τὴν μάχην[507]· ἐν γὰρ τῷ Θεῷ τὸ τούτου τέλος ἦν, οὐκ ἐν ἐμοί· ἀλλ' ὡς οὐχ ἅπαντα ὅσα ἐνῆν κατ' ἀνθρώπινον λογισμὸν εἰλόμην, καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς ἔπραξα καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ ὡς οὐ καλὰ καὶ τῆς πόλεως ἄξια πράγματα ἐνεστησάμην καὶ ἀναγκαῖα, ταῦτά μοι δεῖξον, καὶ τότ' ἤδη κατηγόρει μου. Εἰ δ' ὁ συμβὰς σκηπτὸς, ἢ χειμὼν[508] μὴ μόνον ἡμῶν, ἀλλὰ καὶ πάντων τῶν ἄλλων Ἑλλήνων μείζων γέγονε, τί χρὴ ποιεῖν; Ὥσπερ ἂν εἴ τις ναύκληρον πάντ' ἐπὶ σωτηρίᾳ πράξαντα, καὶ πᾶσι κατασκευάσαντα τὸ πλοῖον, ἀφ' ὧν ὑπελάμβανε σωθήσεσθαι, εἶτα χειμῶνι χρησάμενον[509], καὶ πονησάντων αὐτῷ τῶν σκευῶν, ἢ καὶ συντριβέντων ὅλως, τῆς ναυαγίας αἰτιῶτο. ἀλλ' οὔτ'[510] ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἂν ὥσπερ οὐδ' ἐστρατήγουν ἐγὼ, οὔτε[510] τῆς τύχης κύριος ἦν, ἀλλ' ἐκείνη τῶν πάντων· ἀλλ' ἐκεῖνο λογίζου, καὶ ὅρα, εἰ μετὰ Θηβαίων ἡμῖν ἀγωνιζομένοις, οὕτως εἱμάρτο πρᾶξαι, τί χρὴ προσδοκᾶν, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους, ἀλλὰ Φιλίππῳ προσέθεντο, ὑπὲρ οὗ τότ' ἐκεῖνος πάσας ἀφῆκε φωνάς[511]; καὶ εἰ νῦν, τριῶν ἡμερῶν ὁδὸν ἀπὸ τῆς Ἀττικῆς τῆς μάχης γεγενημένης, τοσοῦτος κίνδυνος καὶ φόβος περιέστη τὴν πόλιν, τί ἄν, εἴ που πλησίον τῆς χώρας ταὐτὸ τοῦτο πάθος συνέβη, προσδοκῆσαι χρῆν; ἆρ' οἴεσθ', ἔτι νῦν[512] ἂν στῆναι, συνελθεῖν, ἀναπνεῦσαι; πολλὰ μία ἡμέρα καὶ δύο καὶ τρεῖς ἔδοσαν τῶν εἰς σωτηρίαν τῇ πόλει· τότε δὲ[513]... ἀλλ' οὐκ ἄξιον εἰπεῖν, ἅ γε μηδ' ἐς πεῖραν ἔδωκε[514] θεῶν τινος εὔνοια, καὶ τὸ προβαλέσθαι τὴν πόλιν ταύτην τὴν συμμαχίαν, ἧς σὺ κατηγορεῖς.

Ἔστι δὲ ταυτὶ πάντα μοι, τὰ πολλὰ, πρὸς ὑμᾶς, ἄνδρες δικασταὶ, καὶ τοὺς περιεστηκότας ἔξωθεν καὶ ἀκροωμένους· ἐπεὶ πρός γε τοῦτον αὐτόν, τὸν κατάπτυστον, βραχὺς καὶ σαφὴς ἐξηρκεί μοι λόγος. Εἰ μὲν γὰρ[515] ἦν σοι πρόδηλα τὰ μέλλοντα, Αἰσχίνη, μόνῳ τῶν ἄλλων, ὅτ' ἐβουλεύεθ' ἡ πόλις περὶ τούτων, τότ' ἔδει σε προλέγειν· εἰ δὲ μὴ προῄδεις, τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ τοῖς ἄλλοις. Ὥστε τί μᾶλλον ἐμοῦ σὺ ταῦτα[516] κατηγορεῖς, ἢ ἐγὼ σοῦ; Τοσοῦτον γὰρ ἀμείνων ἐγὼ σοῦ πολίτης γέγονα εἰς αὐτὰ ταῦθ', ἃ λέγω, καὶ οὕπω περὶ τῶν ἄλλων διαλέγομαι, ὅσον ἐγὼ μὲν ἔδωκα ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον οὐδ' ὑπολογισάμενος, σὺ δὲ οὔτε ἕτερα εἶπες βελτίω τούτων (οὐ γὰρ ἂν τούτοις[517] ἐχρῶντο), οὔτ' εἰς ταῦτα χρήσιμον οὐδὲν σαυτὸν παρέσχες· ὅπερ δ' ἂν ὁ φαυλότατος καὶ δυσμενέστατος ἄνθρωπος ποιήσειε τῇ πόλει[518], τοῦτο

---

506) Τὴν διάθεσιν, τὸν σκοπόν. 507) (Κατὰ) τὴν μάχην. 508) Περιέκλεισε τὴν λέξιν ὁ Ῥείσκιος, οὐκ οἶδ' ἀνθ' ὅτου. Αἱ δὲ μεταφοραὶ αὗται ὑπαινίττονται τὸν Φίλιππον ἀ τὴν ἐν Χαιρωνείᾳ μάχην. 509) Περιπεσόντα εἰς. 510) Οὔτ' ἐκυβέρνων, οὔτε κύριος τῆς τύχης ἦμην· ὥσπερ κἀγὼ (φαίην ἄν), οὔτ' ἐστρατήγουν, οὔτε τῆς τύχης κύριος ἦμην.
511) Τὰ πάντα εἶπεν. 512) Καὶ τώρα ἀκόμη. 513) Ὅτ' ἂν ἐγίνετο τυχὸν τὸ πάθος τοῦτο πλησίον τῆς χώρας. Τὸ δὲ σχῆμα Ἀποσιώπησις, διὰ τὰ δεινὰ τὰ ὁποῖα ἔπρεπεν ἄλλως νὰ ἐκθέσῃ. 514) Ὁ Δούκας ἐπροτίμησε τὴν κατὰ διόρθωσιν ἀνάγνωσιν· Ὧν γε μηδὲ πεῖραν ἔδωκεν. εὐοδοῖτο δ' ἂν καὶ διὰ τοῦ προθετοπτώτου: Μηδὲ μέχρι πείρας. 515) Διλημματικὸν τὸ ἐπιχείρημα, ὅπερ ἀναφέρει καὶ ὁ Ἑρμογένης. Εἰ μὲν προῄδεις, τί οὐ προέλεγες; Εἰ δὲ οὐ προῄδεις, τί κατηγορεῖς; 516) Διὰ ταῦτα. 517) Τοῖς ὑπ' ἐμοῦ ῥηθεῖσιν.
518) Ὁ δυσμενέστατος τῇ πόλει.

πεποιηκὼς ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι[519]. καὶ ἅμα Ἀρίστρατος ἐν Νάξῳ, καὶ Ἀριστόλεως ἐν Θάσῳ, οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως, τοὺς Ἀθηναίων κρίνουσι φίλους, καὶ Ἀθηνῆσιν Αἰσχίνης Δημοσθένους κατηγορεῖ. Καί τοι ὅτῳ[520] τὰ τῶν Ἑλλήνων ἀτυχήματα ἐνευδοκιμεῖν ἀπέκειτο, ἀπολωλέναι μᾶλλον οὗτός ἐστι δίκαιος, ἢ κατηγορεῖν ἑτέρου· καὶ ὅτῳ[520] συνενηνόχασιν οἱ αὐτοὶ καιροὶ καὶ[521] τοῖς τῆς πόλεως ἐχθροῖς, οὐκ ἔνι τοῦτον εὔνουν εἶναι τῇ πατρίδι. Δηλοῖ[522] δὲ καὶ ἐξ ὧν ζῇς, καὶ ποιεῖς, καὶ πολιτεύῃ, καὶ πάλιν οὐ πολιτεύῃ. Πράττεταί τι τῶν ὑμῖν δοκούντων συμφέρειν; ἄφωνος Αἰσχίνης· ἀντέκρουσέ τι καὶ γέγονεν, οἷον οὐκ ἔδει; πάρεστιν Αἰσχίνης· ὥσπερ τὰ ῥήγματα καὶ τὰ σπάσματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται[523].

Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν[524] ἔγκειται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν καὶ μου, πρὸς Διὸς καὶ θεῶν, μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ' εὐνοίας, ὃ λέγω, θεωρησάτω. Εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι, καὶ προῄδεσαν πάντες, καὶ σὺ προὔλεγες, Αἰσχίνη, καὶ διεμαρτύρου βοῶν καὶ κεκραγώς, ὃς[525] οὐδ' ἐφθέγξω, οὐδ' οὕτως ἀποστατέον[526] τῇ πόλει τούτων ἦν, εἴπερ ἡ δόξης, ἢ προγόνων, ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον[527]. νῦν μὲν γὰρ ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκεῖ· τότε δ' ἀξιοῦσα προεστάναι τῶν ἄλλων, εἶτ' ἀποστᾶσα τούτου[528]. Φιλίππῳ προδεδωκέναι πάντας ἂν ἔσχεν αἰτίαν. εἰ γὰρ ταῦτα προεῖτο ἀκονιτί, περὶ ὧν οὐδένα κίνδυνον ὄντιν[529] οὐχ ὑπέμειναν οἱ πρόγονοι, τίς ἂν οὐχὶ κατέπτυσεν ἂν σοῦ; μὴ γὰρ δὴ τῆς πόλεώς γε, μηδ' ἐμοῦ, τίσι δ' ὀφθαλμοῖς, πρὸς Διός, ἐωρῶμεν ἂν τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους[530], εἰ τὰ μὲν πράγματ', εἰς ὅπερ νυνί, περιέζη· ἡγεμὼν δὲ καὶ κύριος ἡρέθη Φίλιππος ἁπάντων· τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτ' ἀγῶνα ἕτεροι χωρὶς ἡμῶν ἦσαν πεποιημένοι; καὶ ταῦτα, μηδεπώποτε τῆς πόλεως ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον, ἢ τὸν ὑπὲρ τῶν καλῶν κίνδυνον ἡρημένης. τίς γὰρ οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ Θηβαίοις, καὶ παρὰ τῶν ἔτι τούτων πρότερον ἰσχυρῶν γεγενημένων, Λακεδαιμονίοις, καὶ παρ' αὐτοῦ τοῦ Περσῶν βασιλέως, μετὰ πολλῆς χάριτος τοῦτ' ἂν ἀσμένως ἐδόθη τῇ πόλει, ὅ,τι βούλεται λαβοῦσῃ, καὶ τὰ ἑαυτῆς ἐχούσῃ, τὸ κελευόμενον ποιεῖν, καὶ ἐᾶν ἕτερον τῶν Ἑλλήνων προεστάναι; ἀλλ' οὐκ ἦν ταῦθ', ὡς ἔοικε, τοῖς Ἀθηναίοις τοῖς τότε πάτρια, οὐδ' ἀνεκτά, οὐδ' ἤνυτο πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοῖς ἰσχύουσι μὲν, μὴ δίκαια δὲ πράττουσι, προσθεμένην, ἀσφαλῶς βουλεύειν, ἀλλ' ἀγωνιζομένη περὶ

---

519) Ἐφάνης, ἀπεδείχθης. 520) Οὕτος ὅτῳ ἀπέκειτο, καὶ τοῦτον ὅτῳ συνενηνόχ.
521) Καὶ αὐτῷ καὶ τοῖς ἐχθροῖς. 522) Τοῦτο ὅτι οὐκ εἰ εὔνους. 523) Τὸ αὐτὸ παράδειγμα ἀνέφερε καὶ ἐν Ὀλυνθ. Β', ἡ, κἀν τῷ Πρὸς τὴν ἐπιστ. τὴν τοῦ Φ. » Ἐπειδάν τι ἀρθρωστημα συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα, κἂν στρέμμα ᾖ «. Εἶη δ' ἂν ῥῆγμα μὲν τὸ παρ' ἡμῖν τσάκκισμα (κοκκάλου), σπάσμα δὲ τὸ βγάλσιμον, στρέμμα δὲ τὸ στραγγούλισμα.
524) Τῇ ἐν Χαιρωνείᾳ συμφορᾷ. 525) (Σὺ λέγω), ὅς. 526) Ἔδει τὴν πόλιν ἀποστῆναι (se désister) τούτων. 527) Ἐσυλλογίζετο, ἐφρόντιζε περί. 528) Τοῦ προεστάναι. 529) Οὐδείς ἐστι κίνδυνος, ὃν πινα. 530) Τοὺς ἀνθρώπους τοὺς ἀφικν.

πρωτείων, καὶ ὑπὲρ τιμῆς καὶ δόξης, καὶ κινδυνεύουσα πάντα τὸν αἰῶνα διατετέλεκε. καὶ ταῦθ' οὕτω σεμνὰ καὶ προσήκοντα τοῖς ὑμετέροις ἤθεσιν ὑμεῖς ὑπολαμβάνετ' εἶναι, ὥστε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστ' ἐπαινεῖτε, εἰκότως. Τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς[551], οἳ καὶ τὴν χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν, εἰς τὰς τριήρεις ἐμβάντες, ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι τὸν μὲν ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δ' ὑπακούειν τοῖς ἐπιταττομένοις ἀποφηνάμενον Κυρσίλον[552] καταλιθώσαντες, οὐ μόνον αὐτόν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκα αὐτοῦ. οὐ γὰρ ἐζήτουν οἱ τότ' Ἀθηναῖοι οὔτε ῥήτορα, οὔτε στρατηγόν, ὃι' ὅτου δουλεύσουσιν εὐτυχῶς· ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μετ' ἐλευθερίας αὐτοῖς ἐξέσται τοῦτο ποιεῖν. ἡγεῖτο γὰρ αὐτῶν ἕκαστος, οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι· διαφέρει δὲ τί; ὅτι ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων, τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον περιμένει· ὁ δὲ καὶ τῇ πατρίδι[553] ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν, ἀποθνήσκειν ἐθελήσει, καὶ φοβερωτέρας ἡγήσεται τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη, τοῦ θανάτου.

Εἰ μὲν τοίνυν τοῦτ' ἐπεχείρουν λέγειν, ὡς ἄρα ἐγὼ προήγαγον ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, οὐκ ἔσθ' ὅστις οὐκ ἂν εἰκότως ἐπιτιμήσειέ μοι· νῦν δ' ἐγὼ μὲν ὑμετέρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι, ὅτι καὶ πρὸ ἐμοῦ τοῦτ' εἶχε τὸ φρόνημα ἡ πόλις· τῆς μέντοι διακονίας, τῆς ἐφ' ἑκάστοις τῶν πεπραγμένων, καὶ ἐμαυτῷ μετεῖναί φημι. οὗτος δὲ, τῶν ὅλων[554] κατηγορῶν καὶ κελεύων ὑμᾶς ἐμοὶ πικρῶς[555] ἔχειν, ὡς φόβων καὶ κινδύνων αἰτίῳ τῇ πόλει γεγενημένῳ, τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἐμὲ ἀποστερῆσαι γλίχεται, τὰ δ' εἰς ἅπαντα τὸν λοιπὸν χρόνον ἐγκώμια ὑμῶν ἀφαιρεῖται. εἰ γὰρ οὐχ[556] ὡς οὐ τὰ βέλτιστα ἐμοῦ πολιτευσαμένου, τοῦδε καταψηφιεῖσθε, ἡμαρτηκέναι δόξετε, οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν. Ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετε[557], ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι· οὐ μὰ τοὺς[558] Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας, καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ, καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς, ἔθαψεν,

---

551) (Ἕνεκα) τῆς ἀρ. 552) Ἐν ἄλλοις: Μυρσίλον. Κατὰ δὲ τὸν Ἡρόδ. (θ', 5, 6), ὠνομάζετο Λυκίδης. 553) (ἐνν. ἀπὸ κοινοῦ) Ἡγούμενος γεγενῆσθαι καὶ τῇ πατρίδι.
554) (Ἐνν.) Πραγμάτων. 555) Δυσμενῶς. 556) Ἐν ἄλλοις ἐλλείπει τὸ Οὐ, καὶ τότε τὸ Τουδὶ ἀναφέρεται εἰς τὸν Κτησιφ. 557) Κατ' οὐδένα τρόπον. 558) Ἐποχὴν ἀφῆκεν ὁ λαμπρὸς οὗτος ὅρκος τοῦ Δημοσθένους εἰς τὴν Ἑλληνικὴν φιλολογίαν, τὸν ὁποῖον ἐθαύμασαν μὲν καὶ ὁ Λογγῖνος καὶ ὁ Ἑρμογένης καὶ ὁ Πλούταρχος καὶ ὁ Διονύσιος καὶ ὁ Ἀριστείδης καὶ ἄλλοι, ἐμιμήθησαν δὲ πολλοὶ ἀρχαῖοι καὶ νεώτεροι. Λέγει δὲ ὁ Λογγ. ὅτι «Τὸ σπέρμα τοῦ ὅρκου παρὰ τῷ Εὐπόλιδί φασιν εὑρῆσθαι:

« Οὐ γάρ, μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν μάχην,
« χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ ».

Ἴδε καὶ τὴν σημ. 431 τοῦ κατὰ Κτησιφ.

Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν, οὐδὲ τοὺς κρατήσαντας μόνους δικαίως. ὃ μὲν γὰρ ἦν ἀνδρῶν ἀγαθῶν ἔργον, ἅπασι πέπρακται τῇ τύχῃ ὅ, ἦν ὁ δαίμων ἀπένειμεν ἑκάστοις, ταύτῃ κέχρηνται. Εἶτ', ὦ κατάρατε καὶ γραμματοκύφων[539], σὺ μὲν τῆς παρὰ τουτωνὶ τιμῆς καὶ φιλανθρωπίας ἐμὲ ἀποστερῆσαι βουλόμενος, τρόπαια καὶ μάχας καὶ παλαιὰ ἔργα ἔλεγες, ὧν τίνος[540] προσεῖτο ὁ παρὼν ἀγὼν οὑτοσί; ἐμὲ δέ, ὦ τριταγωνιστά, περὶ τῶν πρωτείων σύμβουλον τῇ πόλει παριόντα[541], τὸ τίνος φρόνημα λαβόντ' ἀναβαίνειν ἐπὶ τὸ βῆμ' ἔδει; τὸ τούτων ἀνάξια ἐροῦντος; δικαίως μέντ' ἂν ἀπέθανον. Ἔπειτα οὐκ ὑμᾶς, ἄνδρες Ἀθηναῖοι, ἀπὸ τῆς αὐτῆς διανοίας[542] δεῖ τάς τε ἰδίας δίκας, καὶ τὰς δημοσίας κρίνειν· ἀλλὰ τὰ μὲν τοῦ καθ' ἡμέραν βίου συμβόλαια, ἐπὶ τῶν ἰδίων[543] νόμων καὶ ἔργων σκοποῦντας, τὰς δὲ κοινὰς προαιρέσεις[544], εἰς τὰ τῶν προγόνων ἀξιώματα ἀποβλέποντας, καὶ παραλαμβάνειν γε ἅμα τῇ βακτηρίᾳ[545] καὶ τῷ συμβόλῳ[546] τὸ φρόνημα τὸ τῆς πόλεως νομίζειν ἕκαστον ὑμῶν, ὅταν τὰ δημόσια εἰσίητε κρινοῦντες, εἴπερ ἄξια ἐκείνων[547] πράττειν οἴεσθαι χρῆναι.

Ἀλλὰ γὰρ ἐκπεσὼν[548] εἰς τὰ πεπραγμένα τοῖς προγόνοις ὑμῶν, ἔστιν ἃ τῶν ψηφισμάτων[549] παρέβην καὶ τῶν πραχθέντων· ἐπανελθεῖν οὖν, ὅθεν εἰς ταῦτα ἐξέβην, βούλομαι. Ὡς γὰρ ἀφικόμεθ'[550] εἰς τὰς Θήβας, κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ' ἐκείνου[551] θρασεῖς. Ὅτι δ' οὐ νῦν ταῦτα λέγω, τοῦ συμφέροντος ἕνεκα ἐμαυτῷ, λέγε μοι τὴν ἐπιστολήν, ἣν τότ' ἐπέμψαμεν εὐθὺς οἱ πρέσβεις. Καί τοι τοσαύτῃ γ' ὑπερβολῇ συκοφαντίας οὗτος κέχρηται, ὥστ', εἰ μέν τι τῶν δεόντων ἐπράχθη, τὸν καιρὸν, οὐκ ἐμὲ φησιν αἴτιον γεγενῆσθαι· τῶν δ' ὡς ἑτέρως[552] συμβάντων ἁπάντων ἐμὲ καὶ τὴν ἐμὴν τύχην αἰτίαν εἶναι. καὶ, ὡς ἔοικεν, ὁ σύμβουλος καὶ ῥήτωρ ἐγὼ, τῶν μὲν ἐκ λόγου καὶ τοῦ βουλεύσασθαι πραχθέντων, οὐδενὸς αὐτῷ συναίτιος εἶναι δοκῶ· τῶν δ' ἐν τοῖς ὅπλοις καὶ κατὰ τὴν στρατηγίαν ἀτυχηθέντων μόνος αἴτιος εἶναι. πῶς ἂν ὠμότερος συκοφάντης γένοιτ' ἂν ἢ καταρατότερος τούτου; Λέγε τὴν ἐπιστολήν.

ΕΠΙΣΤΟΛΗ.

Ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκείνους[553] προτέρους, διὰ τὸ τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν. καὶ παρελθόντες, ἐδημηγόρουν, πολλὰ μὲν Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ' ὑμῶν

---

539) « Ὅτι οἱ γραμματεῖς προσκεκυφότες γράφουσι », λέγει ὁ Ἐτυμολ. Ἀναλογεῖ δὲ καὶ μὲ τὸ προλαβόν· Ὄλεθρος γραμματεύς· διότι ὁ κύφων ἦτον ὄργανον τιμωρητικόν.

540) Ἡ ἐρώτησις ἀναλογεῖ μὲ ἄρνησιν: Οὐκ ἔστιν οὔτινος = Οὐδενός. 541) Παρασπαζόμενον (ὡς) σύμβουλον, ἵνα συμβουλεύσω. 542) Μὲ τὸ αὐτὸ πνεῦμα (φρόνημα). 543) Ἰδιωτικῶν. 544) Ἑρμηνεία τοῦ Δημοσίας δίκας. 545) Ἤτις κυρίως φερωνυμεῖται Δικανίκιον.

546) Εἶδος πεδούλας, φερούσης ἐν τῶν κδ'. γραμμάτων, τὸ καὶ ἐπὶ τῆς τοῦ δικαστηρίου θύρας ἐπιγεγραμμένον. Δυνάμει τοῦ συμβόλου τούτου, τὸ ὁποῖον ἐλάμβανον εἰσερχόμενοι οἱ δικασταὶ, καὶ ἕφερον ἐπὶ τῆς κεφαλῆς αὐτῶν συνεδριάζοντες, ἐπληρώνοντο ἔπειτα ἐξερχόμενοι τὸ τριώβολον. 547) Τῶν προγόνων. 548) Ἐν ἄλλοις: Ἐμπεσών. ἀλλὰ τὸ κατωτέρω Ἐξέβην πιθανολογεῖ μᾶλλον τὴν τοῦ κειμένου γραφήν. 549) Τῶν περὶ τῆς τῶν Θηβ. συμμαχίας. 550) Ἐγὼ καὶ οἱ τέσσαρες συμπρέσβεις μου. 551) Τοῦ Φιλίππου.

552) Τοὺς τοῦ Φ. καὶ τῶν λοιπῶν

κατηγοροῦντες, καὶ ἅπανθ', ὅσα πώποτ' ἐναντία ἐπράξατε Θηβαίοις, ἀναμιμνήσκοντες· τὰ δ' οὖν κεφάλαιον[553], ἠξίουν, ὧν μὲν εὖ πεπόνθεσαν ὑπὸ Φιλίππου, χάριν αὐτοὺς ἀποδοῦναι, ὧν δ' ὑφ' ἡμῶν ἠδίκηνται, δίκην λαβεῖν, ὁπωτέρως βούλονται, ἢ διϊέντας αὐτοὺς ἐφ' ὑμᾶς, ἢ συνεμβαλόντας εἰς τὴν Ἀττικήν· καὶ ἐδείκνυσαν, ὡς ᾠοντο, ἐκ μὲν ὧν αὐτοὶ συνεβούλευον, τὰ ἐκ τῆς Ἀττικῆς βοσκήματα καὶ ἀνδράποδα καὶ τἄλλ' ἀγαθὰ, εἰς τὴν Βοιωτίαν ἥξοντα· ἐκ δὲ ὧν ὑμᾶς ἐρεῖν ἔφασαν, τὰ ἐν τῇ Βοιωτίᾳ διαρπασθησόμενα ὑπὸ τοῦ πολέμου· καὶ ἄλλα πολλὰ πρὸς τούτοις, εἰς ταῦτα δὲ πάντα συντείνοντα, ἔλεγον. Ἃ δ' ἡμεῖς πρὸς ταῦτα ἀντείπομεν, τὰ μὲν καθ' ἕκαστα ἐγὼ μὲν ἀντὶ παντὸς ἂν τιμησαίμην εἰπεῖν τοῦ βίου[554]· ὑμᾶς δὲ δέδοικα, μὴ, παρεληλυθότων τῶν καιρῶν, ὥσπερ ἂν εἰ[555] κατακλυσμὸν γεγενῆσθαι τῶν πραγμάτων ἡγούμενοι, μάταιον ὄχλον τοὺς περὶ τούτων λόγους νομίσητε· Ἃ δ' οὖν ἐπείσαμεν ἡμεῖς, καὶ ἃ ἡμῖν ἀπεκρίναντο, ἀκούσατε. Λέγε τουτί λαβών.

ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΩΝ.

Μετὰ ταῦτα τοίνυν ἐκάλουν ὑμᾶς καὶ μετεπέμποντο· ἐξήειτε, ἐβοηθεῖτε· (ἵνα τὰ ἐν μέσῳ παραλείπω,) οὕτως οἰκείως ὑμᾶς εἶχον, ὥς γ' ἔξω τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων ὄντων[556], εἰς τὰς οἰκίας καὶ τὸ ἄστυ δέχεσθαι τὴν στρατιάν[557], ἐπὶ παῖδας καὶ γυναῖκας[558], καὶ τὰ τιμιώτατα. Καί τοι[559] τρία ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πᾶσιν ἀνθρώποις ἔδειξαν ἐγκώμια Θηβαῖοι καθ' ὑμῶν τὰ κάλλιστα· ἓν μὲν, ἀνδρίας· ἕτερον δὲ, δικαιοσύνης· τρίτον δὲ, σωφροσύνης. καὶ γὰρ, τὸν ἀγῶνα μεθ' ὑμῶν μᾶλλον ἢ πρὸς ὑμᾶς ἑλόμενοι ποιήσασθαι, καὶ ἀμείνους εἶναι καὶ δικαιότερ' ἀξιοῦν ὑμᾶς ἔκριναν Φιλίππου· καὶ τὰ παρ' αὐτοῖς, καὶ παρὰ πᾶσι δ' ἐν πλείστῃ φυλακῇ, παῖδας καὶ γυναῖκας, ἐφ' ὑμῖν[560] ποιήσαντες, σωφροσύνης πίστιν περὶ ὑμῶν ἔχοντες ἔδειξαν. Ἐν οἷς ἅπασιν, ἄνδρες Ἀθηναῖοι, κατά γ' ὑμᾶς[561], ὀρθῶς ἐφάνησαν ἐγνωκότες. οὔτε γὰρ εἰς τὴν πόλιν εἰσελθόντος τοῦ στρατοπέδου, οὐδεὶς οὐδὲν οὐδὲ ἀδίκως ὑμῖν ἐνεκάλεσεν· οὕτω σώφρονας παρέσχεσθε ὑμᾶς αὐτούς· δίς τε συμπαραταξάμενοι τὰς πρώτας μάχας, τήν τ' ἐπὶ τοῦ ποταμοῦ[562] καὶ τὴν χειμερινὴν[563], οὐκ ἀμέμπτους μόνον ὑμᾶς αὐτοὺς, ἀλλὰ καὶ θαυμαστοὺς ἐδείξατε, τῷ κόσμῳ[564], ταῖς παρασκευαῖς, τῇ προθυμίᾳ. ἐφ' οἷς παρὰ μὲν τῶν ἄλλων ὑμῖν ἐγίγνοντο ἔπαινοι, παρὰ δ' ὑμῶν[565] θυσίαι καὶ πομπαὶ τοῖς Θεοῖς. Καὶ ἔγωγε ἡδέως ἂν ἑρείμην Αἰσχίνην, ὅτε ταῦτ' ἐπράττετε, καὶ ζήλου καὶ χαρᾶς καὶ ἐπαίνων ἦν ἡ πόλις μεστὴ, πότερον συνέθυε[566]

---

[553]) (ἐνν.) Τοῦ λόγου αὐτῶν ἦν τοῦτο. [554]) Ἀντὶ παντὸς τοῦ βίου τιμησαίμην εἰπεῖν· Τὴν ζωήν μου ἔδωδα ἀντίτιμον, ἵνα τὰ εἴπω. [555]) Ὀρθότερον· Ὥσπερανεί. [556]) Τῶν Θηβαίων ὁπλ. καὶ ἱππ. ὄντων ἔξω (εἰς τὴν ἐκστρατείαν). [557]) Τὴν ὑμετέραν. [558]) Ἐν ᾧ ἦσαν ἐν αὐταῖς οἱ καὶ αἱ παῖδες καὶ γυναῖκές των. [559]) Καὶ ἑπομένως. [560]) Ἀφέντες εἰς τὴν ἐξουσίαν Σας. [561]) Περὶ (τοῦ χαρακτῆρος) ὑμῶν. [562]) Ὁ Κορσίνιος διορθοῦν ἐπεβάλετο: Εὐχειμερινὴν, ὡς γενομένην πιθανῶς πλησίον τῆς Ἀσπληδόνος τῆς ἐν Σπληδόνος. πόλεως τῆς Βοιωτίας, ἡ ὁποία, κατὰ τὸν Στράβ., μετωνομάσθη ἔπειτα καὶ αὕτη ἡ περὶ αὐτὴν χώρα Εὐδείελος, διὰ τὸ Εὐχείμερον. [563]) Τῶν ὅπλων. [564]) Ὀρθότερον: Ἡμῶν. [565]) Δίλημμα ἄφυκτον. Εἰ μὲν γὰρ συνέθυε τότε, πῶς νῦν κατηγορεῖ· εἰδὲ ἐλυπεῖτο, ἀπολωλέναι δίκαιος.

καὶ συνευφραίνετο τοῖς πολλοῖς, ἢ λυπούμενος καὶ στένων καὶ δυσμεναίνων ἐπὶ τοῖς κοινοῖς ἀγαθοῖς οἶκοι καθῆτο[565]. εἰ μὲν γὰρ παρῆν καὶ μετὰ τῶν ἄλλων ἐξητάζετο, πῶς οὐ δεινὰ ποιεῖ, μᾶλλον δ' οὐδ' ὅσια[566], εἰ, ὢν ὡς ἀρίστων ὄντων αὐτὸς[567] τοὺς θεοὺς ἐποιήσατο μάρτυρας, ταῦθ' ὡς οὐκ ἄξια νῦν ὑμᾶς ἀξιοῖ ψηφίσασθαι, τοὺς ὁμωμοκότας[568] τοὺς θεούς; εἰ δὲ μὴ παρῆν, πῶς οὐκ ἀπολωλέναι πολλάκις ἐστὶ δίκαιος, εἰ ἐφ' οἷς ἔχαιρον οἱ ἄλλοι, ταῦτα ἐλυπεῖτο ὁρῶν; Λέγε δὴ καὶ ταῦτα τὰ ψηφίσματά μοι.

ΨΗΦΙΣΜΑ ΘΥΣΙΩΝ.

Οὐκοῦν ἡμεῖς μὲν ἐν θυσίαις ἦμεν τότε, Θηβαῖοι δ' ἐν τῷ δι' ἡμᾶς σεσῶσθαι νομίζειν[569]· καὶ περιειστήκει τοῖς βοηθείας δεήσεσθαι δοκοῦσιν[570], ἀφ' ὧν ἔπραττον οὗτοι, αὐτοὺς βοηθεῖν[571] ἑτέροις, ἐξ ὧν[572] ἐπείσθητ' ἐμοί. Ἀλλὰ μήν, οἷας τότ' ἠφίει φωνὰς ὁ Φίλιππος, καὶ ἐν οἵαις ἦν ταραχαῖς ἐπὶ τούτοις, ἐκ τῶν ἐπιστολῶν τῶν ἐκείνου μαθήσεσθε, ὧν[573] εἰς Πελοπόννησον ἔπεμψε. καί μοι λέγε ταύτας, λαβών· ἵν' εἰδῆτε, ἡ ἐμὴ συνέχεια[574], καὶ πλάνοι[575], καὶ ταλαιπωρίαι, καὶ τὰ πολλὰ ψηφίσματα, ἃ νῦν οὗτος διέσυρε, τί ἀπειργάσατο[576]. Καίτοι πολλοὶ παρ' ὑμῖν, ἄνδρες Ἀθηναῖοι, γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι· ἀλλ' ὅμως οὐδεὶς τούτων πώποτε διὰ παντὸς ἔδωκεν ἑαυτὸν εἰς οὐδὲν[577] τῇ πόλει· ἀλλ' ὁ μὲν γράφων οὐκ ἂν ἐπρέσβευσεν, ὁ δὲ πρεσβεύων οὐκ ἂν ἔγραψεν[578]. ὑπελείπετο γὰρ αὐτῶν ἕκαστος ἑαυτῷ ἅμα μὲν ῥᾳδώνην, ἅμα δ', εἴ τι γένοιτ', ἀναφοράν[579]. Τί οὖν; εἰπόι τις ἄν· σὺ τοσοῦτον ὑπερῆρας ῥώμῃ καὶ τόλμῃ τοὺς ἄλλους, ὥστε πάντα ποιεῖν αὐτός; οὐ λέγω ταῦτα· ἀλλ' οὕτως ἐπεπείσμην μέγαν εἶναι τὸν κατειληφότα κίνδυνον τὴν πόλιν, ὥστ' οὐκ ἐδόκει μοι χώραν[580] οὐδὲ πρόνοιαν οὐδεμίαν τῆς ἰδίας ἀσφαλείας διδόναι, ἀλλ' ἀγαπητὸν εἶναι, εἰ μηδὲν παραλείπων τις, ἃ δεῖ πράξειεν· ἐπεπείσμην δ' ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν ἀναισθητῶν, ὅμως δ' ἐπεπείσμην, μήτε γράφοντ' ἂν ἐμοῦ γράψαι βέλτιον μηδένα, μήτε πράττοντά τι πρᾶξαι, μήτε πρεσβεύοντα πρεσβεῦσαι προθυμότερον, μήτε δικαιότερον. διὰ ταῦτα ἐν ἅπασιν ἐμαυτὸν ἔταττον. Λέγε δὴ τὰς ἐπιστολὰς τὰς τοῦ Φιλίππου.

ΕΠΙΣΤΟΛΑΙ.

Εἰς ταῦτα κατέστησε Φίλιππον ἡ ἐμὴ πολιτεία, Αἰσχίνη· ταύτην τὴν φωνὴν ἐκεῖνος ἀφῆκε δι' ἐμέ, πολλοὺς καὶ θρασεῖς τὰ πρὸ τούτων τῇ πόλει[581] ἐπαιρόμενος λόγους· ἀνθ' ὧν δικαίως ἐστεφανούμην ὑπὸ τουτωνί[582],

---

565) Ἀσεβῆ, ἀνόσια. 567) Διορθ. Αὐτούς. 568) Ὑμᾶς τοὺς ὁμωμοκότας. 569) Ἦσαν ἐν τῷ νομίζειν, = Ἐνόμιζον. 570) Ἡμῖν τοῖς δοκοῦσιν. 571) Τὸ βοηθεῖν περιειστήκει. 572) Ἐξ ἐκείνων (καθ') ἃ. 575) Ἀντὶ, Ἄς, κατ' ἐφελκ. 574) Ἐπιμονή. 575) Αἱ περιπλανήσεις, περιερχομένου τὰς πόλεις ὥστε πεῖσαι συμμαχεῖν. 576) Ἐνικὸν τὸ ῥῆμα, συντασσόμενον ἀττικῶς τῷ πληθυντικῷ Ψηφίσματα κτλ. 577) Οὐδεὶς τούτων εἰς οὐδὲν ἔργον ἔδωκεν ἑαυτὸν τῇ πόλει διὰ παντός: ἀπ' ἀρχῆς ἄχρι τέλους ἀφιέρωσεν ἑαυτὸν εἰς τὸ αὐτὸ πρᾶγμα. 578) Παράβαλε τοῖς ἀνωτέρω, σημ. 477. 579) Ἀπόδοσιν τῆς αἰτίας εἰς ἄλλον. Ἴδε τὴν ἐτυμολογίαν τῆς λέξεως εἰς τὸ κατωτέρω: » Τῷ μὲν ἐστ' ἀνενεγκεῖν ἐπ' ἐκείνους κτλ. 580) Γράφειν τινὲς ἐπεβάλοντο Ὥραν.

581) (Ἐπὶ) τῇ πόλει, κατὰ τῆς π. 582) Ἴδε σελ. 105.

καὶ σὺ παρὼν οὐκ ἀντέλεγες· ὁ δὲ γραψάμενος Διώνδας τὸ πέμπτον μέρος τῶν ψήφων οὐκ ἔλαβε. Καί μοι λέγε ταῦτα τὰ ψηφίσματα, τὰ τότε μὲν ἀποφευγότα, ὑπὸ τούτου δ' οὐδὲ γραφέντα.

ΨΗΦΙΣΜΑΤΑ.

Ταυτὶ τὰ ψηφίσματα, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς αὐτὰς συλλαβὰς καὶ τὰ αὐτὰ ῥήματα ἔχει, ἅπερ πρότερον μὲν Ἀριστόνικος[585], νῦν δὲ Κτησιφῶν γέγραφεν οὑτοσί. καὶ ταῦτ' Αἰσχίνης οὔτ' ἐδίωξεν αὐτός, οὔτε τῷ γραψαμένῳ[586] συγκατηγόρησε. καίτοι τότε τὸν Δημομέλη, τὸν ταῦτα γράφοντα, καὶ τὸν Ὑπερίδην, εἴπερ ἀληθῆ μου νῦν κατηγορεῖ, μᾶλλον ἂν εἰκότως, ἢ τόνδ[587] ἐδίωκε. διὰ τί; ὅτι τῷ μὲν[588] ἔστ' ἀνενεγκεῖν ἐπ' ἐκείνους, καὶ τὰς τῶν δικαστηρίων γνώσεις[589], καὶ τὸ τοῦτον αὐτὸν[590] ἐκείνων μὴ κατηγορηκέναι, ταῦτα γραψάντων ἅπερ[591] οὗτος νυνί, καὶ τὸ, τοὺς νόμους μηκέτ' ἐᾶν περὶ τῶν οὕτω[592] πραχθέντων κατηγορεῖν, καὶ πολλὰ ἕτερα· τότε δ' αὐτὸ τὸ πρᾶγμ' ἀνεκρίνετο ἀφ' ἑαυτοῦ, πρίν τι τούτων[593] προλαβεῖν.

Ἀλλ' οὐκ ἦν[594], οἶμαι, τότε, ἃ νυνὶ ποιεῖ, ἐκ παλαιῶν χρόνων καὶ ψηφισμάτων πολλῶν ἐκλέξαντα, ἃ μήτε προῄδει μηδείς, μήτ' ἂν ᾠήθη τημέρον ῥηθῆναι, διαβάλλειν, καὶ μετενεγκόντα τοὺς χρόνους καὶ προφάσεις ἀντὶ τῶν ἀληθῶν ψευδεῖς μεταθέντα τοῖς πεπραγμένοις, δοκεῖν τι λέγειν· οὐκ ἦν τότε ταῦτα· ἀλλ' ἐπ' αὐτῆς τῆς ἀληθείας, ἐγγὺς τῶν ἔργων, ἔτι μεμνημένων ὑμῶν, καὶ μόνον οὐκ ἐν ταῖς χερσὶν ἕκαστα ἐχόντων, πάντες ἐγίγνοντ' ἂν οἱ λόγοι. διόπερ τοὺς παρ' αὐτὰ[595] τὰ πράγματ' ἐλέγχους φυγών, νῦν ὕστερον ἥκει, ῥητόρων ἀγῶνα νομίζων, ὡς γ' ἐμοὶ δοκεῖ, καὶ οὐχὶ τῶν πεπολιτευμένων ἐξέτασιν ποιήσειν ὑμᾶς ὑπολαμβάνων[596], καὶ λόγων κρίσιν, οὐ τοῦ τῇ πόλει συμφέροντος, ἔσεσθαι.

Εἶτα σοφίζεται, καί φησι προσήκειν, ἧς μὲν οἴκοθεν ἥκετ' ἔχοντες δόξης περὶ ἡμῶν[597] ἀμελῆσαι, ὥσπερ δ' ὅταν, οἰόμενοι περιεῖναι χρήματά τῳ[598], λογίζεσθε, κἂν καθαραὶ ὦσιν αἱ ψῆφοι, καὶ μηδὲν περιῇ[599], συγχωρεῖτε· οὕτω καὶ νῦν τοῖς ἐκ τοῦ λόγου φαινομένοις προσθέσθαι[600]. Θεάσασθε τοίνυν, ὡς σαθρὸν, ὡς ἔοικεν, ἐστὶ φύσει πᾶν, ὅ,τι ἂν μὴ δικαίως ᾖ πεπραγμένον. Ἐκ γὰρ αὐτοῦ τοῦ σοφοῦ[601] τούτου παραδείγματος ὡμολόγηκε νυνί γ' ὑμᾶς ὑπάρχειν ἐγνωσμένους, ἐμὲ μὲν λέγειν ὑπὲρ τῆς πατρίδος, αὐτὸν δ' ὑπὲρ Φιλίππου. οὐ γὰρ ἂν μεταπείθειν ὑμᾶς ἐζήτει, μὴ τοιαύτης οὔσης τῆς ὑπαρχούσης ὑπολήψεως περὶ ἑκατέρου. Καὶ μήν, ὅτι γε οὐ δίκαια λέγει, μεταθέσθαι ταύτην τὴν δόξαν ἀξιῶν ὑμᾶς, ἐγὼ διδάξω ῥᾳδίως, οὐ τιθεὶς ψήφους· οὐ γάρ ἐστιν ὁ τῶν πραγμάτων οὗτος λογισμός, ἀλλ' ἀναμιμνήσκων ἕκαστα ἐν βραχέσι, λογισταῖς ἅμα καὶ

---

585) Ἴδε σημ. 183. 584) Τῷ Διώνδᾳ 588) Τὸν Κτησιφ. 586) Τῷ Κτησιφ. 587) Ἀποφάσεις. 588) Τὸν Αἰσχ. 589) Ἐκείνοις ἅπερ. 590) Ὡς εἴρηται, δηλ. ἡ μὴ κατηγορηθέντων, ἢ δικαστικῶς ἀναγνωρισθέντων. 591) Τῶν εἰρημένων. 592) Τὸ διαβάλλειν ᾗ δοκεῖν οὐκ ἦν. 593) Ἐλλείπει ἐν τοῖς ἀρίστοις τῶν χειρογράφων. 594) Ἀμφοτέρων, ἐμοῦ καὶ τοῦ Αἰσχ. 595) Τινὶ τῶν διαχειριζόντων δημόσια χρήματα. 596) Ἂν μηδὲν περιῇ, ὡς ἐξήγησις τοῦ Καθαραί. 597) Φησὶ προσθέσθαι, τὸ Αἰσχ. κατὰ λέξιν. σελ. 43 598) Εἰρωνικῶς.

μάρτυσι τοῖς ἀκούουσιν ὑμῖν χρώμενος. Ἡ γὰρ ἐμὴ πολιτεία, ἧς οὗτος κατηγορεῖ, ἀντὶ μὲν τοῦ Θηβαίους μετὰ Φιλίππου συνεμβαλεῖν εἰς τὴν χώραν, ὃ πάντες ὤφοντο ἔσεσθαι, μεθ' ἡμῶν συμπαραταξαμένους ἐκεῖνον κωλύειν ἐποίησεν· ἀντὶ δὲ τοῦ ἐν τῇ Ἀττικῇ τὸν πόλεμον εἶναι, ἑπτακόσια στάδια ἀπὸ τῆς πόλεως, ἐπὶ τοῖς Βοιωτῶν ὁρίοις γενέσθαι[599]· ἀντὶ δὲ τοῦ τοὺς λῃστὰς ἡμᾶς φέρειν καὶ ἄγειν ἐκ τῆς Εὐβοίας, ἐν εἰρήνῃ τὴν Ἀττικὴν ἐκ θαλάττης εἶναι πάντα τὸν πόλεμον· ἀντὶ δὲ τοῦ τὸν Ἑλλήσποντον ἔχειν Φίλιππον, λαβόντα Βυζάντιον, συμπολεμεῖν τοὺς Βυζαντίους μεθ' ἡμῶν πρὸς ἐκεῖνον ἐποίησεν. Ἆρά σοι ψήφοις ὅμοιος ὁ τῶν ἔργων λογισμὸς φαίνεται; ἢ δεῖν ἀντανελεῖν[600] ταῦτα; ἀλλ' οὐχ, ὅπως τὸν ἅπαντα χρόνον μνημονευθήσεται, σκέψασθαι; Καὶ οὐκέτι προστίθημι, ὅτι τῆς μὲν ὠμότητος, ἣν, ἐν οἷς καθάπαξ τινῶν κύριός κατέστη Φίλιππος ἔστιν ἰδεῖν, ἑτέρους πειραθῆναι συνέβη· τῆς δὲ φιλανθρωπίας, ἣν, τὰ λοιπὰ τῶν πραγμάτων ἐκεῖνος περιβαλλόμενος[601], πρὸς ὑμᾶς ἐπλάττετο, ὑμεῖς, καλῶς ποιοῦντες, τοὺς καρποὺς κεκόμισθε.

Ἀλλ' ἐῶ[602] ταῦτα. Καὶ μὴν οὐδὲ τοῦτ' εἰπεῖν ὀκνήσω, ὅτι ὁ τὸν ῥήτορα βουλόμενος δικαίως ἐξετάζειν, καὶ μὴ συκοφαντεῖν, οὐκ ἂν, οἷα σὺ νῦν ἔλεγες, τοιαῦτα κατηγόρει, παραδείγματα[603] πλάττων, καὶ ῥήματα[604], καὶ σχήματα[605] μιμούμενος· πάνυ γὰρ παρὰ τοῦτο (οὐχ ὁρᾷς[606];) γέγονε[607] τὰ τῶν Ἑλλήνων πράγματα, εἰ τουτὶ τὸ ῥῆμα, ἀλλὰ μὴ τουτὶ διελέχθην ἐγώ, ἢ δευρὶ τὴν χεῖρα, ἀλλὰ μὴ δευρὶ παρήνεγκα· ἀλλ' ἐπ' αὐτῶν τῶν ἔργων ἂν ἐσκόπει[608], τίνας εἶχεν ἀφορμὰς ἡ πόλις, καὶ τίνας δυνάμεις, ὅτ' εἰς τὰ πράγματ' εἰσῄειν[609], καὶ τίνας συνήγαγον αὐτῇ μετὰ ταῦτ' ἐπιστὰς ἐγώ, καὶ πῶς εἶχε τὰ τῶν ἐναντίων· εἶτ', εἰ μὲν ἐλάττους ἐποίησα τὰς δυνάμεις, παρ' ἐμοὶ τἀδίκημ' ἂν ἐδείκνυεν ὤν· εἰ δὲ πολλῷ μείζους, οὐκ ἂν ἐσυκοφάντει. ἐπειδὴ δὲ σὺ τοῦτο πέφευγας, ἐγὼ ποιήσω· καὶ σκοπεῖτε, εἰ δικαίως χρήσομαι τῷ λόγῳ.

Δύναμιν μὲν τοίνυν εἶχεν ἡ πόλις τοὺς νησιώτας, οὐχ ἅπαντας, ἀλλὰ τοὺς ἀσθενεστάτους. οὔτε γὰρ Χίος, οὔτε Ῥόδος, οὔτε Κέρκυρα μεθ' ἡμῶν ἦν· χρημάτων δὲ σύνταξιν εἰς πέντε καὶ τετταράκοντα τάλαντα· καὶ ταῦτ' ἦν προεξειλεγμένα· ὁπλίτην δ', ἢ ἱππέα, πλὴν τῶν οἰκείων, οὐδένα· ὃ δὲ πάντων καὶ φοβερώτατον, καὶ μάλισθ' ὑπὲρ τῶν ἐχθρῶν, οὗτοι[610] παρεσκευάκεισαν τοὺς περιχώρους πάντας ἐχθρὰς ἡ φιλία ἐγγυτέρω[611], Μεγαρεῖς, Θηβαίους, Εὐβοέας. Καὶ τὰ μὲν τῆς πόλεως οὕτως ὑπῆρχεν ἔχοντα, καὶ οὐδεὶς ἂν ἔχοι παρὰ ταῦτ' εἰπεῖν ἄλλο οὐδέν· τὰ δὲ τοῦ Φι-

---

599) (ἐνν. ἀπὸ κοινοῦ) Ἐποίησεν. 600) Ἐξαλεῖψαι, ἀφανίσαι. 601) Δι' ἀπάτης οἰκειοποιούμενος (ὡς διὰ δικτύου). 602) Οὐ προστίθημι ταῦτα, ἀλλ' ἐῶ. 603) Οἷον ὁ Αἰσχ. ἔπλασε τὸ περὶ τῶν ψήφων. 604) Λέξεις, τὰς ὁποίας, ὡς εἰρημένας ὑπὸ τοῦ Δημοσθ. χλευάζει ὁ Αἰσχ. ἐν τῷ κατὰ Κτησιφ. §. μδ'. 605) Τὰς χειρονομίας μου. 606) Ἐν ἤθει καὶ κατ' εἰρωνείαν· Δὲν βλέπεις; 607) Πάνυ γέγονεν, αὔξησιν ἔλαβον, λέγει ὁ Σχολ. Ἀλλὰ πιθανώτερον νομίζω ὅτι τὸ παρὰ τοῦτο γέγονε σημαίνει ἐδῶ ἁπλῶς: Ἐν τούτῳ εἶναι, ἐκ τούτου ἐξήρτηνται. 608) Οὐκ ἂν κατηγόρει, ἀλλ' ἐσκόπει. 609) Ἐμβαίνω εἰς τὰ πράγματα, λέγομεν καὶ ἡμεῖς σήμερον. 610) Οἱ περὶ τὸν Αἰσχ. 611) Μᾶλλον ἐχθρικῶς παρὰ φιλικῶς διακειμένους πρὸς ἡμᾶς.

λίπω, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγὼν σκέψασθε πῶς. Πρῶτον μὲν ἦρχε τῶν ἀκολουθούντων αὐτὸς, ὢν αὐτοκράτωρ, ὃ τῶν εἰς τὸν πόλεμον μέγιστόν ἐστιν ἁπάντων· εἶθ' οὗτοι[612] τὰ ὅπλα εἶχον ἐν ταῖς χερσὶν ἀεί· ἔπειτα χρημάτων εὐπόρει, καὶ ἔπραττεν, ἃ δόξειεν αὐτῷ, οὐ προλέγων ἐν τοῖς ψηφίσμασιν[613], οὐδ' ἐν τῷ φανερῷ βουλευόμενος, οὐδ' ὑπὸ τῶν συκοφαντούντων κρινόμενος, οὐδὲ γραφὰς φεύγων παρανόμων, οὐδ' ὑπεύθυνος ὢν οὐδενί, ἀλλ' ἁπλῶς αὐτὸς δεσπότης, ἡγεμὼν, κύριος πάντων. Ἐγὼ δ' ὁ πρὸς τοῦτον ἀντιτεταγμένος (καὶ γὰρ τοῦτ' ἐξετάσαι δίκαιον') τίνος κύριος ἦν; οὐδενός. αὐτὸ γὰρ τὸ δημηγορεῖν πρῶτον, οὗ μόνου μετεῖχον ἐγὼ, ἐξ ἴσου προὐτίθετε ὑμεῖς τοῖς παρ' ἐκείνου μισθαρνοῦσι καὶ ἐμοί· καὶ ὅσα οὗτοι περιγέναιντο ἐμοῦ (πολλὰ δ' ἐγίγνετο τοιαῦτα, δι' ἃ ἕκαστον τύχοι πρόφασιν), ταῦθ' ὑπὲρ τῶν ἐχθρῶν ἀπήγετε βεβουλευμένοι. ἀλλ' ὅμως ἐκ τοιούτων ἐγὼ ἐλαττωμάτων[614], συμμάχους μὲν ὑμῖν ἐποίησα Εὐβοέας, Ἀχαιοὺς, Κορινθίους, Θηβαίους, Μεγαρέας, Λευκαδίους, Κερκυραίους· ἀφ' ὧν μύριοι μὲν καὶ πεντακισχίλιοι ξένοι, δισχίλιοι δ' ἱππεῖς, ἄνευ τῶν πολιτικῶν δυνάμεων συνήχθησαν· χρημάτων δὲ, ὅσον ἠδυνήθην ἐγὼ, πλείστην συντέλειαν ἐποίησα.

Εἰ δὲ λέγεις ἢ τὰ πρὸς τοὺς Θηβαίους δίκαια[615], Αἰσχίνη, ἢ τὰ πρὸς Βυζαντίους, ἢ τὰ πρὸς Εὐβοέας, ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγῃ, πρῶτον μὲν ἀγνοεῖς, ὅτι καὶ πρότερον τῶν ὑπὲρ τῶν Ἑλλήνων ἐκείνων ἀγωνισαμένων τριήρεων, τριακοσίων οὐσῶν τῶν πασῶν, τὰς διακοσίας ἡ πόλις παρεσχετο· καὶ οὐκ ἐλαττοῦσθαι νομίζουσα, οὐδὲ κρίνουσα τοὺς ταῦτα συμβουλεύσαντας, οὐδὲ ἀγανακτοῦσα ἐπὶ τούτοις ἐωρᾶτο· αἰσχρὸν γάρ· ἀλλὰ τοῖς θεοῖς ἔχουσα χάριν, εἰ, κοινοῦ κινδύνου τοῖς Ἕλλησι περιστάντος, αὐτὴ διπλάσια τῶν ἄλλων εἰς τὴν ἁπάντων σωτηρίαν παρέσχετο. Εἶτα κενάς γε χαρίζῃ χάριτας τουτοισί, συκοφαντῶν ἐμέ. τί γὰρ[616] νῦν λέγεις, οἷα ἐχρῆν πράττειν, ἀλλ' οὐ τότ', ὢν ἐν τῇ πόλει, καὶ παρὼν, ταῦτ' ἔγραφες, εἴπερ ἐνεδέχετο, παρὰ τοὺς παρόντας καιροὺς[617], ἐν οἷς οὐχ, ὅσα ἠβουλόμεθα, ἀλλ' ὅσα δοίη τὰ πράγματ', ἔδει δέχεσθαι; ὁ γὰρ ἀντωνούμενος, καὶ ταχὺ τοὺς παρ' ἡμῶν ἀπελαυνομένους προσδεξόμενος, καὶ χρήματα προσθήσων, ὑπῆρχεν ἕτοιμος[618].

Ἀλλ' εἰ νῦν ἐπὶ τοῖς πεπραγμένοις κατηγορίας ἔχω, τί ἂν οἴεσθε, εἰ τότ', ἐμοῦ περὶ τούτων ἀκριβολογουμένου, ἀπῆλθον αἱ πόλεις καὶ προσέθεντο Φιλίππῳ, καὶ ἅμα Εὐβοίας καὶ Θηβῶν καὶ Βυζαντίου κύριος κατέστη, τί ποιεῖν ἂν, ἢ τί οἴεσθε λέγειν τοὺς ἀσεβεῖς ἀνθρώπους τουτουσί; οὐχ, ὡς ἐξεβόθησαν[619]; οὐχ, ὡς ἀπηλάθησαν, βουλόμενοι μεθ' ἡμῶν εἶναι; εἶτα τοῦ μὲν Ἑλλησπόντου διὰ Βυζάντιον[620] ἐγκρατὴς καθέστηκε[621], καὶ τῆς σιτοπομπείας τῆς τῶν Ἑλλήνων κύριος γέγονε, πόλεμος δ' ὅμορος καὶ

612) Οἱ ἀκολουθοῦντες αὐτῷ. 613) Καθὼς ἡμεῖς δηλαδή. 614) 'Ορμώμενος, τοσοῦτον αὐτοῦ ἐλαττούμενος. 615) Ἴδε Αἰσχ. κατὰ Κτησιφ. σελ. 60 περὶ τὰ μέσα. 616) Αἰτιολογεῖ τὸ Κενάς. 617) Ὡς πρὸς τοὺς παρόντας τότε καιροὺς, τὰς τότε περιστάσεις. 618) Ὁ Φίλιππος. 619) Ἐκβοτοι ἐγέναντο ὑπ' ἐμοῦ, ἐπροδόθησαν. 620) Κατὰ διόρθ. ἀντὶ Διὰ Βυζαντίων, τὴν ὁποίαν ἀνάγνωσιν ἐπροτίμησεν ὁ Δούκας.
621) (Οὐκ ἂν ἔλεγον ὡς) καθέστηκεν (ὁ Φιλ.).

ἁρῦς εἰς τὴν Ἀττικὴν διὰ Θηβαίων κεκόμισται, ἅπλους δ' ἡ θάλαττα
πὸ τῶν ἐκ τῆς Εὐβοίας ὁρμωμένων ληστῶν γέγονεν· οὐκ ἂν ταῦτ' ἔλεγον,
αὶ πολλά γε πρὸς τούτοις ἕτερα; Πονηρὸν[622], ὦ ἄνδρες Ἀθηναῖοι, πονη-
ὸν ὁ συκοφάντης ἀεί, καὶ πανταχόθεν βάσκανον καὶ φιλαίτιον! Τοῦτο δὲ
αὶ φύσει κίναδος πανθρώπιόν ἐστιν, οὐδὲν ἐξ ἀρχῆς ὑγιὲς πεποιηκός· οὐ-
' ἐλεύθερον, αὐτοτραγικοπίθηκος[623], ἀρουραῖος Οἰνόμαος[624], παράσημος[625]
ήτωρ. Τί γὰρ ἡ σὴ δεινότης εἰς ὄνησιν ἧκει τῇ πατρίδι; Νῦν ἡμῖν λέγεις
πὲρ τῶν παρελθυθότων; ὥσπερ ἂν εἴ τις ἰατρὸς[626], ἀσθενοῦσι μὲν τοῖς κά-
νουσιν εἰσιών, μὴ λέγοι, μηδὲ δεικνύοι, δι' ὧν ἀπονεύξονται τὴν νόσον·
πειδὴ δὲ τελευτήσειέ τις αὐτῶν, καὶ τὰ νομιζόμενα[627] αὐτῷ φέροιτο, ἀκο-
ουθῶν ἐπὶ τὸ μνῆμα, διεξίοι, Εἰ τὸ καὶ τὸ[628] ἐποίησεν ἄνθρωπος οὑτοσί,
ὐκ ἂν ἀπέθανεν. Ἐμβρόντητε[629], εἶτα νῦν λέγεις;

Οὐ τοίνυν οὐδὲ τὴν ἥτταν αὐτὴν, εἰ ταύτῃ γαυριᾷς, ἐφ' ᾗ στένειν σε,
ὦ κατάρατε, προσῆκεν, ἐν οὐδενὶ τῶν παρ' ἐμοῦ[630] γεγονυῖαν εὑρήσετε τῇ
πόλει· οὑτωσὶ δὲ λογίζεσθε. Οὐδαμοῦ πώποτε, ὅποι πρεσβευτὴς ἐξεπέμφθην
ὑφ' ὑμῶν ἐγὼ, ἡττηθεὶς ἀπῆλθον τῶν παρὰ Φιλίππου πρέσβεων, οὐκ ἐκ
Θετταλίας, οὐδ' ἐξ[631] Ἀμβρακίας, οὐκ ἐξ Ἰλλυριῶν, οὐ παρὰ τῶν Θρᾳκῶν
βασιλέων, οὐκ ἐκ Βυζαντίου, οὐκ ἄλλοθεν οὐδαμόθεν, οὐ τὰ τελευταῖα πρώην
ἐκ Θηβῶν· ἀλλ' ἐν οἷς[632] κρατηθεὶς οἱ πρέσβεις αὐτοῦ τῷ λόγῳ, ταῦτα τοῖς
ὅπλοις ἐπιὼν κατεστρέφετο. Ταῦτ' οὖν ἀπαιτεῖς παρ' ἐμοῦ; καὶ οὐκ αἰ-
σχύνῃ τὸν αὐτὸν[633] εἰς τε μαλακίαν σκώπτων[634], καὶ τῆς τοῦ Φιλίππου δυ-
νάμεως ἀξιῶν, ἕνα ὄντα, κρείττω γενέσθαι; καὶ ταῦτα τοῖς λόγοις; τίνος
γὰρ ἄλλου κύριος ἦν ἐγώ; οὐ γὰρ τῆς γε ἑκάστου ψυχῆς, οὐδὲ τῆς τύχης
τῶν παραταξαμένων, οὐδὲ τῆς στρατηγίας, ἧς ἐμὲ ἀπαιτεῖς εὐθύνας· οὕτω
σκαιὸς εἶ!

Ἀλλὰ μὴν, ὧν γ' ἂν ὁ ῥήτωρ ὑπεύθυνος εἴη, πᾶσαν ἐξέτασιν λάμβανε·
οὐ παραιτοῦμαι. Τίνα οὖν ἐστι ταῦτα; ἰδεῖν τὰ πράγματα ἀρχόμενα, καὶ
προαισθέσθαι, καὶ προειπεῖν τοῖς ἄλλοις· ταῦτα πέπρακταί μοι. καὶ ἔτι τὰς
ἑκασταχοῦ βραδυτῆτας, ὄκνους, ἀγνοίας, φιλονεικίας, ἃ πολιτικὰ[635] ταῖς
πόλεσι πρόσεστιν ἁπάσαις καὶ ἀναγκαῖα ἁμαρτήματα, ταῦθ' ὡς εἰς[636] ἐλά-
χιστα συστεῖλαι, καὶ τοὐναντίον εἰς ὁμόνοιαν καὶ φιλίαν, καὶ τοῦ τὰ δέοντα

---

622) (ἐνν.) Χρῆμα. 623) Κατὰ διόρθ. τοῦ Ῥείσκ. ἀντὶ Αὐτοτραγικὸς πίθηκος. Οὐδὲν γὰρ ἔχων οἰκοθεν γενναῖον, καὶ τραγῳδεῖν αὐτὸς μὴ δυνάμενος δι' ἀπαιδευσίαν, ὑπεκρίνετο ὡς πίθηκος τὰς τραγῳδίας τῶν ἄλλων. 624) Ὑπεκρίνετο γὰρ ἐν τοῖς ἀγροῖς τὸν Οἰνόμαον, δρᾶμα τοῦ Εὐριπίδου, τοῦ ὁποίου ἀποσπάσματά τινα μόνον σῳζονται. 625) « Τοῦ πονηροῦ κομματος », κατὰ τὸν Ἀριστοφ., ἀδοκιμος. 626) Ἴδε Αἰσχ. κατὰ Κτησιφ. σελ. 79.

627) « Τὰ κατὰ νόμους φερόμενα τοῖς νεκροῖς, Οὐλπ., καθὼς ἡμεῖς λέγομεν, τὰ κόλλυβα: Ὁ Αἰσχίνης λέγει· Τὰ ἔνατα », τὰ ἐννημέρια. 628) Εἰς τοὺς Αἰσωπείους μύθους φέρεται πληρέστερον· « Οὗτος ὁ ἄνθρωπος, εἰ οἶνῳ ἀπείχετο, καὶ κλυζηρὶν ἐχρῆτο, οὐκ ἂν ἐτεθνήκει ». ὁ δὲ ῥήτωρ μετεχειρίσθη ἀντὶ τούτων τὸ Τὸ καὶ τὸ, φράσιν ἥτις διεσώθη καὶ μέχρις ἡμῶν. 629) Κατὰ σχῆμα ἀποστροφῆς. (ἐνν. δὲ) Εἶπόι τις ἂν αὐτῷ.

630) (ἐνν.) Γενομένων. 631) Ἐν ἄλλοις, ὀρθότερον: Οὐκ ἐξ Ἀμβρ. 632) Ταῦτα τὰ μέρη ἐν οἷς. 633) Ἐμὲ δηλ. 634) Διότι δι' ὅλου του τοῦ λόγου ὁ Αἰσχ. χλευάζει τὸν Δημοσθένην, ὡς ἀνανδρον, λειποτάκτην, ἀστράτευτον, Βάταλον κτλ. 635) Κατὰ διόρθ. τοῦ Ῥείσκ. ἀντὶ Ὁμήλικα ἢ Πηλίκα. 636) Ἀντὶ: Εἰς ὡς ἐλ., εἰς ὅσον ἐνδέχεται ὀλιγώτερα.

ποιεῖν ὁρμὴν προτρέψαι· καὶ ταῦτά μοι πάντα πεποίηται, καὶ οὐδεὶς μή ποτε ἀνθρώπων εὕρῃ, τὸ κατ' ἐμὲ, οὐδὲν ἐλλειφθέν. Εἰ τοίνυν τις ὁντινοῦν ἔροιτο, τίσι τὰ πλεῖστα Φίλιππος, ὧν[637] κατέπραξε, διῳκήσατο, πάντες ἂν εἰποιεν, τῷ στρατοπέδῳ, καὶ τῷ διδόναι καὶ διαφθείρειν τοὺς ἐπὶ τῶν πραγμάτων. Οὐκοῦν, τῶν μὲν δυνάμεων οὔτε κύριος, οὐθ' ἡγεμὼν ἦν ἐγὼ· ὥστε οὐδ' ὁ λόγος τῶν κατὰ ταῦτα πραχθέντων πρὸς ἐμέ. Καὶ μήν, τῷ γε μὴ διαφθαρῆναι χρήμασι, κεκράτηκα Φιλίππου· ὥσπερ γὰρ ὁ ὠνούμενος νενίκηκε τὸν λαβόντα, ἐὰν πρίηται, οὕτως ὁ μὴ λαβὼν μηδὲ διαφθαρεὶς νενίκηκε τὸν ὠνούμενον. ὥστε ἀήττητος ἡ πόλις τὸ κατ' ἐμέ.

Ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαίως τοιαῦτα γράφειν τουτονὶ περὶ ἐμοῦ, πρὸς πολλοῖς ἑτέροις, ταῦτα καὶ[638] παραπλήσια τούτοις ἐστὶν· ἃ δὲ πάντες ὑμεῖς ἴστε, ταῦτ' ἤδη λέξω. Μετὰ γὰρ τὴν μάχην εὐθὺς ὁ δῆμος, εἰδὼς καὶ ἑωρακὼς πάντα, ὅσα ἔπραττον ἐγὼ, ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ φοβεροῖς ἐμβεβηκὼς[639], ἠνίκ' οὐδ' ἀγνωμονῆσαί τι θαυμαστὸν ἦν τοὺς πολλοὺς πρὸς ἐμέ· πρῶτον μὲν, περὶ σωτηρίας τῆς πόλεως, τὰς ἐμὰς γνώμας ἐχειροτόνει· καὶ πάνθ', ὅσα τῆς φυλακῆς ἕνεκα ἐπράττετο, ἡ διάταξις τῶν φυλάκων, αἱ τάφροι, τὰ εἰς τὰ τείχη χρήματα, διὰ τῶν ἐμῶν ψηφισμάτων ἐγίγνετο· ἔπειθ' αἱρούμενος σιτώνην[640], ἐκ πάντων γ' ἐμὲ ἐχειροτόνησεν ὁ δῆμος· καὶ μετὰ ταῦτα συστάντων, οἷς ἦν ἐπιμελὲς κακῶς ἐμὲ ποιεῖν, καὶ γραφὰς, εὐθύνας, εἰσαγγελίας, πάντα ταῦτα ἐπαγόντων μοι, οὐ δι' ἑαυτῶν τό γε πρῶτον, ἀλλὰ δι' ὧν μάλιστ' ὑπελάμβανον ἀγνοηθήσεσθαι (ἴστε γὰρ δήπου καὶ μέμνησθε, ὅτι τοὺς πρώτους χρόνους καθ' ἑκάστην σχεδὸν[641] ἡμέραν ἐκρινόμην ἐγὼ, καὶ οὔτ' ἀπόνοια Σωσικλέους, οὔτε συκοφαντία Φιλοκράτους, οὔτε Διώνδου καὶ Μελάντου[642] μανία, οὔτ' ἄλλο οὐδὲν, ἀπείρατον ἦν τούτοις κατ' ἐμοῦ) ἐν τοίνυν τούτοις πᾶσι, μάλιστα μὲν διὰ τοὺς θεοὺς, δεύτερον δὲ δι' ὑμᾶς καὶ τοὺς ἄλλους [ἅπαντας[643]] Ἀθηναίους, ἐσωζόμην δικαίως. τοῦτο[644] γὰρ καὶ ἀληθὲς ἐστι καὶ ὑπὲρ τῶν ὁμωμοκότων καὶ γνόντων τὰ εὔορκα δικαστῶν. Οὐκοῦν ἐν μὲν οἷς εἰσηγγελλόμην, ὅτ' ἀπεψηφίζεσθέ μου, καὶ τὸ πέμπτον μέρος τῶν ψήφων τοῖς διώκουσιν οὐ μετεδίδοτε, τότ' ἐψηφίζεσθε τὰ ἄριστά με πράττειν· ἐν οἷς δὲ τὰς γραφὰς ἀπέφυγον, ἔννομα καὶ γράφειν καὶ λέγειν ἀπεδεικνύμην· ἐν οἷς δὲ τὰς εὐθύνας ἐπεσημαίνεσθε[645], δικαίως καὶ ἀδωροδοκήτως πάντα πεπρᾶχθαί μοι προσωμολογεῖτε.

Τούτων οὖν οὕτως ἐχόντων, τί προσῆκεν, ἢ τί δίκαιον ἦν τοῖς ὑπ' ἐμοῦ πεπραγμένοις θέσθαι ὄνομα τὸν Κτησιφῶντα; οὐχ, ὃ[646] τὸν δῆμον ἑώρα τιθέμενον; οὐχ, ὃ[646] τοὺς ὁμωμοκότας δικαστάς; οὐχ, ὃ[646] τὴν ἀλήθειαν παρὰ πᾶσι βεβαιοῦσαν; Ναὶ, φησὶν ἀλλὰ τὸ τοῦ Κεφάλου[647] καλὸν, τὸ μηδεμίαν

---

637) Ἐξ ἐκείνων Ε. 638) Τὸν Κτησιφ. 639) Ὁ δῆμος. 640) Προμηθευτὴν τοῦ δημοσίου σίτου. 641) Τὸ Τι προσέθηκεν ὁ Ῥεΐσκιος, περιττῶς ὡς ἐσημειώσατο καὶ ὁ μακαρίτης Δούκας. 642) Ἄλλοι ἐπροτίμησαν τὴν ἀνάγνωσιν Μελάμπου καὶ ἄλλοι Μελανίου.
643) Περιεκλείσθη, ὡς ἐλλεῖπον ἐν τοῖς ἀντιγράφοις. 644) Τὸ σώζεσθαι τὺν ἀθῶον.
645) Ἐνεκρίνετε, ἐπεκυροῦτε. 646) Ἐπαναφορὰ τὸ σχῆμα. 647) Τοῦ πατρὸς τοῦ ῥήτορος Λυσίου, ὃν καὶ ἀνωτέρω (§ 64) ὁ ῥήτωρ συναριθμεῖ μετὰ τῶν πρὸ αὐτοῦ ἐνδόξων καὶ μεγάλων ῥητόρων.

γραφὴν φυγεῖν[648]. καὶ νὴ[649] Δί' εὐδαιμόν γε. Ἀλλὰ τί μᾶλλον, ὃ[650] πολλάκις μὲν φυγών, μηδεπώποτε δ' ἐξελεγχθεὶς ἀδικῶν, ἐν ἐγκλήματι γίγνοιτ' ἂν διὰ τοῦτο δικαίως; Καί τοι πρός γε τοῦτον, ἄνδρες Ἀθηναῖοι, καὶ τὸ τοῦ Κεφάλου καλὸν εἰπεῖν ἐστί μοι. οὐδεμίαν γὰρ πώποτ' ἐγράψατό μοι οὐδ' ἐδίωξε γραφήν· ὥστε ὑπό σοῦ γε ὡμολόγημαι μηδὲν εἶναι τοῦ Κεφάλου χείρων πολίτης.

Παλλαχόθεν μὲν τοίνυν ἄν τις ἴδοι τὴν ἀγνωμοσύνην αὐτοῦ καὶ τὴν βασκανίαν· οὐχ ἥκιστα δ' ἀφ' ὧν περὶ τῆς τύχης[651] διελέχθη. Ἐγὼ δ' ὅλως μέν, ὅστις, ἄνθρωπος ὤν, ἀνθρώπῳ τύχην προφέρει[652], παντελῶς ἀνόητον ἡγοῦμαι καὶ ἀπαίδευτον. ἦν[653] γὰρ ὁ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος, οὐκ οἶδεν, εἰ μενεῖ τοιαύτη μέχρι καὶ τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν, ἢ πῶς ὀνειδίζειν ἑτέρῳ; ἐπειδὴ δ' οὗτος πρὸς πολλοῖς ἄλλοις καὶ περὶ τούτων[654] ὑπερηφάνως κέχρηται τῷ λόγῳ, σκέψασθ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρήσατε, ὅσῳ καὶ ἀληθέστερον καὶ ἀνθρωπινώτερον[655] ἐγὼ περὶ τῆς τύχης τοὐτου διαλεχθήσομαι. Ἐγὼ τὴν μὲν τῆς πόλεως τύχην ἀγαθὴν ἡγοῦμαι, καὶ τοῦθ' ὁρῶ καὶ τὸν Δία τὸν Δωδωναῖον ἡμῖν καὶ τὸν Ἀπόλλω τὸν Πύθιον μαντευόμενον· τὴν μέντοι τῶν πάντων ἀνθρώπων, ἣ νῦν ἐπέχει, χαλεπὴν καὶ δεινήν. τίς γὰρ Ἑλλήνων, ἢ τίς βαρβάρων, οὐ πολλῶν κακῶν καὶ μεγάλων ἐν τῷ παρόντι πεπείραται καιρῷ; τὸ μὲν τοίνυν προελέσθαι τὰ κάλλιστα, καὶ τὸ, τῶν οἰηθέντων Ἑλλήνων, εἰ πρόοιντο[656] ἡμᾶς, ἐν εὐδαιμονίᾳ διάξειν, αὐτῶν ἐκείνων ἄμεινον πράττειν, τῆς ἀγαθῆς τύχης τῆς πόλεως εἶναι τίθημι· τὸ δὲ[657] προσκροῦσαι, καὶ μὴ πάνθ', ὡς ἠβουλόμεθ', ἡμῖν συμβῆναι, τῆς τῶν ἄλλων ἀνθρώπων τύχης τὸ ἐπιβάλλον ἐφ' ἡμᾶς μέρος[658] μετειληφέναι νομίζω τὴν πόλιν· τὴν δ' ἰδίαν τύχην τὴν ἐμὴν, καὶ τὴν ἑνὸς ὑμῶν ἑκάστου, ἐν τοῖς ἰδίοις ἐξετάζειν δίκαιον εἶναι νομίζω. Ἐγὼ μὲν οὖν οὕτως περὶ τῆς τύχης ἐξετάζειν ἀξιῶ, ὀρθῶς καὶ δικαίως, ὡς ἐμαυτῷ δοκῶ· νομίζω δὲ καὶ ὑμῖν συνδοκεῖν· ὁ δὲ τὴν ἰδίαν τύχην τὴν ἐμὴν τῆς κοινῆς τῆς πόλεως κυριωτέραν εἶναί φησι· τὴν μικρὰν καὶ φαύλην[659] τῆς ἀγαθῆς καὶ μεγάλης. Καὶ πῶς ἔνι τοῦτο γενέσθαι;

Καὶ μήν, εἴ γε τὴν ἐμὴν τύχην πάντως ἐξετάζειν, Αἰσχίνη, προαιρῇ, πρὸς τὴν σαυτοῦ σκόπει· κἂν εὕρῃς τὴν ἐμὴν βελτίω τῆς σῆς, παῦσαι λοιδορούμενος αὐτῇ. Σκόπει τοίνυν εὐθὺς ἐξ ἀρχῆς· καί μου, πρὸς Διὸς καὶ θεῶν, μηδεμίαν ψυχρότητα[660] καταγνῷς μηδείς. ἐγὼ γὰρ, οὔτ' εἴ τις πενίαν προπη-

---

648) Τὸ ἴδιον λέγει καὶ ὁ Λυσίας (ἐν τῷ κατὰ Ἐρατοσθ. § 2) περὶ τοῦ πατρός του, ὅτι » ἐπείσθη μὲν ὑπὸ Περικλέους εἰς ταύτην τὴν γῆν ἀφικέσθαι· ἔτη δὲ τριάκοντα ᾤκησε, ᾗ » οὐδενὶ πώποτε οὔτε ἡμεῖς οὔτε ἐκεῖνος δίκην οὔτε ἐδικασάμεθα οὔτε ἐφύγομεν ».

649) Ὄχι μόνον καλόν, ἀλλὰ καὶ εὔδαιμον. 650) Τοῦτο τινες ἐξέλαβον περὶ τοῦ Ἀριστοφῶντος (ἴδε Αἰσχ. κατὰ Κτησιφ. σελ. 59.), ἀλλὰ πιθανώτερον φαίνεται ὅτι ὁ ῥήτωρ ἐννοεῖ ἑαυτόν. 651) Τῆς κακῆς τοῦ Δημοσθ. τύχης, τὴν ὁποίαν ὁ Αἰσχ. ἀναφέρει ἐν τῷ κατὰ Κτησιφ. σ. 63. 652) Ὀνειδίζει τινί. 653) Ἦν οὐκ οἶδεν. 654) Τῶν εἰς τὴν τύχην ἀναφερομένων. 655) Καταλληλότερον τῇ περὶ τύχης κρίσει τῶν ἀνθρώπων. 656) Ὁ Ἅλν, προστεθεὶς ὑπὸ τοῦ Ῥεϊσκ., ὠφελίσθη ὑπὸ τοῦ Δουκα. 657) (Ἐν) τῷ προσκρ. 658) Περιεκλείσθη ὑπὸ τοῦ Ῥεϊσκ., ὡς ἐλλεῖπον ἐν τοῖς ἄριστοις τῶν χειρογράφων. 659) Εὐτελῆ.

660) Ἀηδίαν, διότι μέλλει περὶ μικρῶν καὶ τυχαίων νὰ περιαυτολογήσῃ.

λακίζει, νοῦν ἔχειν ἡγοῦμαι, οὔτ' εἴ τις ἐν ἀφθόνοις τραφείς, ἐπὶ τούτῳ σεμνύνεται· ἀλλ' ὑπὸ τῆς τουτουὶ τοῦ χαλεποῦ[661] βλασφημίας καὶ συκοφαντίας εἰς τοιούτους λόγους ἐμπίπτειν ἀναγκάζομαι, οἷς ἐκ τῶν ἐνόντων[662], ὡς ἂν δύνωμαι[663], μετριώτατα χρήσομαι.

Ἐμοὶ μὲν τοίνυν ὑπῆρξεν, Αἰσχίνη, παιδὶ μὲν ὄντι, φοιτᾷν εἰς τὰ προσήκοντα[664] διδασκαλεῖα, καὶ ἔχειν, ὅσα χρὴ τὸν μηδὲν αἰσχρὸν ποιήσοντα δι' ἔνδειαν· ἐξελθόντι δὲ ἐκ παίδων, τὰ ἀκόλουθα τούτοις[665] πράττειν, χορηγεῖν, τριταρχεῖν, εἰσφέρειν, μηδεμιᾶς φιλοτιμίας μήτε ἰδίας μήτε δημοσίας ἀπολείπεσθαι, ἀλλὰ καὶ τῇ πόλει καὶ τοῖς φίλοις χρήσιμον εἶναι· ἐπειδὴ δὲ πρὸς τὰ κοινὰ προσελθεῖν ἔδοξέ μοι, τοιαῦτα πολιτεύματα ἐλέσθαι, ὥστε καὶ ὑπὸ τῆς πατρίδος, καὶ ὑπὸ τῶν ἄλλων Ἑλλήνων πολλάκις[666] ἐστεφανῶσθαι, καὶ μηδὲ τοὺς ἐχθροὺς ὑμᾶς, ὡς οὐ καλά γ' ἦν, ἃ προειλόμην, ἐπιχειρεῖν λέγειν. Ἐγὼ μὲν δὴ τοιαύτῃ συμβεβίωκα τύχῃ[667], καὶ πολλ' ἂν ἔχων ἕτερ' εἰπεῖν περὶ αὐτῆς, παραλείπω, φυλαττόμενος τὸ λυπῆσαί τινα, ἐν οἷς σεμνύνομαι.

Σὺ δ' ὁ σεμνὸς[668] ἀνήρ, καὶ διαπτύων τοὺς ἄλλους, σκόπει πρὸς ταύτην, ὁποίᾳ τινὶ κέχρησαι τύχῃ· οἵ' ἦν, παῖς μὲν ὤν, μετὰ πολλῆς ἐνδείας ἐτράφης, ἅμα τῷ πατρὶ πρὸς τῷ διδασκαλείῳ προσεδρεύων[669], τὸ μέλαν τρίβων, καὶ τὰ βάθρα σπογγίζων, καὶ τὸ παιδαγωγεῖον κορῶν, οἰκέτου τάξιν, οὐκ ἐλευθέρου παιδὸς ἔχων· ἀνὴρ δὲ γενόμενος, τῇ μητρὶ τελούσῃ[670] τὰς βίβλους[671] ἀνεγίνωσκες, καὶ τἄλλα συνεσκευωρεῖ[672], τὴν μὲν νύκτα νεβρίζων[673], καὶ κρατηρίζων[674], καὶ καθαίρων τοὺς τελουμένους, καὶ ἀπομάττων τῷ πηλῷ[675] καὶ τοῖς πιτύροις, καὶ ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ, καὶ κελεύων λέγειν· « ἔφυγον κακόν, εὗρον ἄμεινον[676]», ἐπὶ τῷ μηδένα πώποτε τηλικοῦτον ὀλολύξαι σεμνυνόμενος (καὶ ἔγωγε νομίζω[677]· μὴ γὰρ οἴεσθ' αὐτὸν φθέγγεσθαι μὲν οὕτω μέγα[678], ὀλολύζειν δ' οὐχ ὑπερλαμπρον· ἐν δὲ[679] ταῖς ἡμέραις, τοὺς καλοὺς θιάσους[680] ἄγων διὰ τῶν ὁδῶν, τοὺς ἐστεφανωμένους

---

661) Τοῦ μογθηροῦ. 662) Ταὐτοσήμαντοι αἱ δύω φράσεις. 663) Τοῖς παισὶ, τὰ παιδαγωγεῖα. 664) Τοῖς προϋπηργμένοις. 665) Ἀλλ' ὁ Αἰσχ. δὲν ἐννοεῖ αὐτὴν τὴν τύχην, ἀλλὰ τὴν παρακολουθοῦσαν τῷ Δημοσθ. ὡς ὄθεν ἀλιτηρίῳ, κατὰ τὴν καὶ μέχρις ἡμῶν διασωθεῖσαν τῶν δεισιδαιμόνων ἰδέαν· ὁ ῥήτωρ ὅμως ἀποφεύγων τὴν περὶ τούτου ἀμφισβήτησιν, στρέφει τὸν λόγον εἰς τὴν γενικὴν τῆς ἀνθρωπίνης τύχης θεωρίαν. 666) Εἰρωνικῶς.

667) Ἴδε ἀνωτέρω §. 40. 668) Προετοιμαζούσῃ διὰ καθαρμῶν τοὺς μυουμένους εἰς τὰ Διονύσια ἢ ἄλλα μυστήρια· ἐλέγοντο δὲ αἱ τοιαῦται Περιμάκτοιαι. 669) Τὰς περιεχούσας τὰς αὐχὰς τῆς τελετῆς. 670) Συνηγολοῦ, Συνυπηρέτει. 671) « Οἱ μέν, ὡς τοῦ τελοῦντος νεβρίδα ἐνημμένου, ἢ καὶ τοὺς τελουμένους διαζωννύντος νεβρίσιν· (οἱ δὲ,) ἀπὸ τοῦ νεβροὺς διασπᾶν, κατά τινα ἄῤῥητον λόγον, « Ἁρποκρ. 672) Τοῦ κρατηρίζειν ἡ σημασία ἀποσαφηνίζεται· οἱ μὲν γὰρ, Κρατῆρα φέρειν ἐν ταῖς χερσίν· οἱ δὲ, Ἀπὸ κρατῆρος ἐγχέειν (κιρνᾷν οἶνον) τοῖς τελουμένοις· οἱ δὲ, Παραχέειν αὐτοῖς λουομένοις· ἀμφότερα πιθανὸν.

673) Μὴ γνωρίζοντες τότε ἀκόμη τὴν χρῆσιν τοῦ σαπωνίου, μετεχειρίζοντο τὸν πηλὸν (καὶ τώρα οὕτως ἰδιωνυμούμενον) εἰς τὰ λουτρά. 674) « Ὅτι τὴν ἀγρίαν καὶ παλαιὰν δίαιταν ἔφυγον, εὗρον δὲ τὴν ἥμερον τροφήν· τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν πέμμα, κακὸν ἔλεγον, « Ἀποστόλ. Θ', 37. 676) (ἐνν.) Μηδένα π. τ. ὁ. 676) Διότι ὁ Αἰσχίνης, ὡς ἐξ ἄλλων χωρίων ἐξάγεται, ἦτον μεγαλοφωνότατος. Ἴδε καὶ τὴν σημ. 792'.

677) Ἐπαναλαθητικὸς τοῦ Μέν· Τὴν μὲν νύκτα. 678) Τοὺς χορεύοντας τῶν Βακχῶν ἢ Μαινάδων, ἢ ἁπλῶς τῶν τελουμένων τῷ Διονύσῳ· τὸ δὲ Καλοὺς, εἰρωνικῶς. Διότι καὶ ἐν τῷ περὶ Παραπρεσβ. λέγει: « Οὐκ ἴσασιν οὗτοι. . παῖδά σε ὄντα, ἐν θιάσοις καὶ μεθύσαις ἀν-

τῷ μαράθρῳ καὶ τῇ λευκῇ[679], τοὺς ὄφεις τοὺς παρείας[680] θλίβων[681] καὶ ὑπὲρ τῆς κεφαλῆς αἰωρῶν, καὶ βοῶν, Εὐοῖ, Σαβοῖ[682], καὶ ἐπορχούμενος, Ὑῆς Ἄττης[683], Ἄττης Ὑῆς ἔξαρχος, καὶ προηγεμών, καὶ κιστοφόρος[684], καὶ λικνοφόρος, καὶ τὰ τοιαῦτα ὑπὸ τῶν γραῶν προσαγορευόμενος, μισθὸν λαμβάνων τούτων ἔνθρυπτα[685] καὶ στρεπτοὺς[686] καὶ νεγλατα[687]· ἐφ' οἷς τίς οὐκ ἂν ὡς ἀληθῶς αὐτὸν εὐδαιμονίσειε[688] καὶ τὴν αὐτοῦ τύχην[689]; ἐπειδὴ δ' εἰς τοὺς δημότας ἐνεγράφης, ὁπωσοῦποτε (ἐῶ γὰρ τοῦτό γε) ἐπειδὴ δ' οὖν ἐνεγράφης, εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων, ὑπογραμματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις[690]. Ὡς δ' ἀπλλάγης ποτὲ καὶ τούτου, πάνθ', ἃ τῶν ἄλλων κατηγορεῖς, αὐτὸς ποιήσας, οὐ κατήσχυνας, μὰ Δί', οὐδὲν τῶν προϋπηργμένων τῷ μετὰ ταῦτα βίῳ· ἀλλὰ μισθώσας σαυτὸν τοῖς βαρυστόνοις[691] ἐπικαλουμένοις ἐκείνοις ὑποκριταῖς, Σιμύλῳ καὶ Σωκράτει, ἐτριταγωνίστεις, σῦκα καὶ βότρυς καὶ ἐλάας συλλέγων[692], ὥσπερ ὀπωρώνης ἐκεῖνος[693], ἐκ τῶν ἀλλοτρίων χωρίων, πλείω λαμβάνων ἀπὸ τούτων[694] τραύματα, ἢ τῶν ἀγώνων, οὓς ὑμεῖς περὶ τῆς ψυχῆς[695] ἠγωνίζεσθε. Ἦν γὰρ ἄσπονδος καὶ ἀκήρυκτος ὑμῖν ὁ πρὸς τοὺς θεατὰς πόλεμος, ὑφ' ὧν τὰ πολλὰ τραύματ' εἰλημμένος, εἰκότως τοὺς ἀπείρους τῶν τοιούτων κινδύνων ὡς δειλοὺς σκώπτεις. Ἀλλὰ γὰρ παρεὶς ὧν τὴν πενίαν αἰτιάσαιτ' ἄν τις, πρὸς αὐτὰ τὰ τοῦ τρόπου σου βαδιοῦμαι κατηγορήματα. τοιαύτην γὰρ εἵλου πολιτείαν, ἐπειδή ποτε καὶ τοῦτ' ἐπῆλθέ σοι ποιῆσαι, δι' ἣν, εὐτυχούσης μὲν τῆς πατρίδος, λαγὼ βίον ἔζης, δειλιῶν καὶ τρέμων καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν, ἐφ' οἷς σαυτῷ συνῄδεις ἀδικοῦντι· ἐν οἷς[696] δ' ἠτύχησαν οἱ ἄλλοι, θρασὺς ὢν ὑφ' ἁπάντων ὤφλες. Καίτοι, ὅστις χιλίων πολιτῶν ἀποθανόντων εἰθάρρησε, τί οὗτος παθεῖν ὑπὸ τῶν ζώντων δίκαιός ἐστι; Πολλὰ τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ, παραλείφω. οὐ γάρ, ὅσ' ἂν δείξαιμι προσόντ' αἰσχρὰ τούτῳ καὶ ἀνειδη, πάντ' οἶμαι δεῖν εὐχερῶς λέγειν· ἀλλ' ὅσα μηδὲν αἰσχρόν ἐστιν εἰπεῖν ἐμοί.

Ἐξέτασον τοίνυν παρ' ἄλληλα τὰ σοὶ καὶ ἐμοὶ βεβιωμένα, πρᾴως καὶ μὴ

θρώποις καλινδούμενον;» [679]) » Οἱ τὰ βακχικὰ τελούμενοι τῇ λευκῇ στέφονται· αὐτοχθόνιον γὰρ εἶναί φασι τὸ φυτὸν καὶ πρὸς τῷ Λυκόντι πεφυκέναι, ὅθεν καὶ Λυκειῶδα καλεῖσθαι παρ' Ὁμήρῳ, « Ἁρποκρ. [680]) Εἶδος ὄφεων, οἱ ὁποῖοι κατεσθίουσι τοὺς ἐχεις. [681]) Ἵνα περιερεφόμενοι φόβον ἐμποιῶσι τοῖς θεισιδαίμοσι. [682]) Βακχικὰ ἐπιφωνήματα. [683]) Ἐπίθετα τοῦ Διονύσου Φρύγια. Ὁ δὲ Ἄττις, παρὰ Φρυξὶ μάλιστα τιμᾶται, ὡς πρόπολος τῆς Μητρὸς τῶν θεῶν· γνωρὸν δὲ ὅτι, μανεὶς εὐνοχίσθη μόνος. [684]) Ἐν ἄλλοις· Κιστοφόρος. « Νόμος δὲ ἦν Ἀθήνησιν, ἀμφιθαλῆ παῖδα ἐστεμμένον ἀκάνθαις μετὰ δρυΐνων καρπῶν λίκνον βαστάζοντα ἄρτων πλέων, λέγειν· Ἔφυγον κακόν, εὗρον ἄμεινον «. [685]) Εἶδος ζυμαρικοῦ, (κοιν.) χλιοπήσταις. [686]) Κυλούραις. [687]) (ἐνν.) Ἄλφιτα, « ἃ δὴ μέλιτι ἀναδεύοντες, ἀσταφίδας τε καὶ χλωρούς ἐρεβίνθους ἐπεμβαλόντες, τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμον· ἐκάλουν δὲ αὐτὰ οἱ μὲν Ἀμβροσίαν, οἱ δὲ Μακαρίαν «, Ἁρποκρ., ὅμοια μὲ τὰ ἐδικά μας κόλλυβα. [688]) Εἰρωνικῶς. [689]) Δολίως δηλαδή, διότι, ὡς υἱὸς δούλου, δὲν ἦτον γνήσιος (ἀπ' ἀστοῦ καὶ ἀστῆς, καθὼς ἔλεγεν ὁ νόμος) πολίτης. [690]) Εἰρωνικῶς.

[690]) Ὑποκοριστικῶς πρὸς ἐξευτελισμὸν ἀντὶ Ἀρχείοις, ἀρχειοφυλακίοις. [691]) Ἴδε τὸ Δεξ.

[692]) Ἀντὶ χρημάτων καρποὺς, διότι παρίστανεν εἰς τοὺς ἀγροὺς, καὶ οἱ χωρικοὶ συνήθως νομίσματα δὲν δίδουν. [693]) Τὸ ἐκεῖνος ἀντὶ τοῦ Τις. [694]) Ἐξ αἰτίας τούτων τῶν ἔργων, τοῦ τριταγωνιστεῖν καὶ συλλέγειν ὀπώρας. [695]) » Οἱ ἀθλοθέται γὰρ, λέγει ὁ Λουκ. (ἐν Ἁλιεῖ) μαστιγοῦν εἰώθασιν, ἢν τις ὑποκριτὴς Ἀθηνᾶν ἢ Ποσειδῶνα, ἢ τὸν Δία ὑποδεδυκὼς, μὴ καλῶς ὑποκρίνηται μηδὲ κατ' ἀξίαν τῶν θεῶν «. [696]) Πράγμασιν ἢ καιροῖς.

πικρῶς, Αἰσχίνη· εἶτ' ἐρώτησον τουτουσί, τὴν ποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν. Ἐδίδασκες[697] γράμματα, ἐγὼ δ' ἐφοίτων[697*]· ἐτέλεις, ἐγὼ δ' ἐτελούμην· ἐχόρευες, ἐγὼ δ' ἐχορήγουν· ἐγραμμάτευες, ἐγὼ δ' ἐκκλησίαζον· ἐτριταγωνίστεις, ἐγὼ δ' ἐθεώρουν· ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον· ὑπὲρ τῶν ἐχθρῶν πεπολίτευσαι πάντα, ἐγὼ δ' ὑπὲρ τῆς πατρίδος· ἐῶ τἄλλα. Ἀλλὰ νυνὶ τήμερον, ἐγὼ μὲν ὑπὲρ τοῦ στεφανωθῆναι δοκιμάζομαι, τὸ δὲ μηδοτιοῦν ἀδικεῖν ἀνωμολόγημαι[697]· σοὶ δὲ συκοφάντῃ μὲν εἶναι δοκεῖν ὑπάρχει[698], κινδυνεύεις δὲ, εἴτε δεῖ σ' ἔτι τοῦτο ποιεῖν, εἴτ' ἤδη πεπαῦσθαι, μὴ μεταλαβόντα τὸ πέμπτον μέρος τῶν ψήφων. Ἀγαθῇ δὲ (οὐχ ὁρᾷς[600];) τύχῃ συμβεβιωκὼς, τῆς ἐμῆς ὡς φαύλης κατηγορεῖς. Φέρε δὴ καὶ τὰς τῶν λειτουργιῶν μαρτυρίας, ὧν λελειτούργηκα, ὑμῖν ἀναγνῶ πάσας· παρανάγνωθι δὴ ἡμῖν καὶ σὺ τὰς ῥήσεις[699], ἃς ἐλυμήνω[700].

Ἥκω λιπὼν κευθμῶνα καὶ σκότου πύλας,

καὶ,

Κακαγγελεῖν μὲν ἔσθι μὴ θέλοντά με,

καὶ,

κακὸν κακῶς σε

μάλιστα μὲν οἱ θεοὶ, ἔπειτα δὲ οὗτοι πάντες ἀπολέσειαν, πονηρὸν ὄντα πολίτην καὶ προδότην καὶ τριταγωνιστήν[701].

Λέγε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

Ἐν μὲν τοίνυν τοῖς πρὸς τὴν πόλιν, τοιοῦτος· ἐν δὲ τοῖς ἰδίοις, εἰ μὴ πάντες ἴστε, ὅτι κοινὸς[702], καὶ φιλάνθρωπος, καὶ πᾶσι τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ, καὶ οὐδὲν ἂν εἴποιμι, οὐδὲ παρασχοίμην ἂν περὶ τούτων οὐδεμίαν μαρτυρίαν, οὔτ' εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην[703], οὔτ' εἴ τισι θυγατέρας συνεξέδωκα[704], οὔτε τῶν τοιούτων οὐδέν. Καὶ γὰρ οὕτω πως ὑπείληφα· ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι τὸν πάντα χρόνον, τὸν δὲ εὖ ποιήσαντα εὐθὺς ἐπιλελῆσθαι αὐτῶν, εἰ δεῖ τὸν μὲν[705] χρησοῦ, τὸν δὲ[706] μὴ μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου· τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν, μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν. Οὐ δὴ ποιήσω τοιοῦτον οὐδέν, οὐδὲ προαγθήσομαι[707], ἀλλ' ὅπως ποθ' ὑπείληφα[708] περὶ τούτων, ἀρκεῖ μοι.

Βούλομαι δὲ τῶν ἰδίων ἀπαλλαγεὶς, ἔτι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν περὶ τῶν κοινῶν. Εἰ μὲν γὰρ ἔχεις, Αἰσχίνη, τῶν ὑπὸ τουτονὶ τὸν ἥλιον εἰπεῖν ἀνθρώπων, ὅστις ἀθῷος[709] τῆς Φιλίππου πρότερον, καὶ νῦν τῆς Ἀλεξάνδρου

---

697) Ἀναφέρεται ὡς παράδειγμα θαυμασὸν ἀντιθέσεως τὸ χωρίον τοῦτο. 697*) Ἴδε ἀνωτέρω σελ. 140: περὶ τὸ τέλος. 698) Τὸ δοκεῖν εἶναι συκοφάντην ὑπάρχει σοι. 699) Τὰ χωρία τῶν τραγῳδιῶν, ἃς ὑπεκρίνω. 700) Κατὰ διόρθ. τοῦ Ῥείσκ. ἀντὶ Ἐλυμαίνου, διέστρεφες ὑπὸ ἀμαθίας, καθὼς εἰς τὸν ἑπόμενον στίχον τοῦ Εὐριπ. ἐκ τῆς Ἑκάβ. ἀντὶ Νεκρῶν λέγων Λιπών· καὶ εἰς τὸν μετὰ τοῦτον τοῦ Σοφοκλ. ἀντὶ Κἀκ' ἀγγελεῖν, Κακαγγελεῖν. Τὰ δὲ μετὰ ταῦτα παρῴδησεν ἐν εἴδει ἰαμβείων αὐτὸς οἰκοθεν ὁ Δημοσθ.

701) Ἀσείως καὶ ἐν εἴδει ὑπερβολῆς, ὡς ἂν εἰ ἦτον καὶ τὸ τριταγωνιστεῖν ἔγκλημα. 702) Δημοτικὸς, κοινωφελής. 703) Ἐξηγόρασα αἰχμαλώτους. 704) Συνεισέφερον πρὸς ὑπανδρείαν των. 705) Τὸν εὖ παθόντα. 706) Τὸν εὖ ποιήσαντα. 707) Θέλω παρασυρθῆ, καταντήσῃ ὡς ἐκεῖ. 708) Ὁποιανδήποτε ὑπόληψιν ἔχουν οἱ ἄνθρωποι περὶ ἐμοῦ. 709) Ἀμέτοχος, ἀπαθὴς ὑπό.

δυναστείας γέγονεν, ἢ τῶν Ἑλλήνων, ἢ τῶν βαρβάρων, ἔστω, συγχωρῶ σοι, τὴν ἐμὴν, εἴτε τύχην, εἴτε δυστυχίαν ὀνομάζειν βούλει, πάντων αἰτίαν γεγενῆσθαι· εἰ δὲ καὶ τῶν μηδεπώποτ' ἰδόντων ἐμὲ, μηδὲ φωνὴν ἀκηκοότων ἐμοῦ, πολλοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, μὴ μόνον κατ' ἄνδρα, ἀλλὰ καὶ πόλεις ὅλαι καὶ ἔθνη, πόσῳ δικαιότερον καὶ ἀληθέστερον, τὴν ἁπάντων, ὡς ἔοικεν, ἀνθρώπων τύχην κοινὴν, καὶ φοράν τινα πραγμάτων χαλεπὴν καὶ οὐχ οἵαν ἔδει, τούτων αἰτίαν ἡγεῖσθαι; Σὺ τοίνυν ταῦτ' ἀφεὶς, ἐμὲ, τὸν παρὰ τουτοισὶ πεπολιτευμένον, αἰτιᾷ, καὶ ταῦτ' εἰδὼς, ὅτι, καὶ εἰ μὴ τὸ ὅλον[710], μέρος γ' ἐπιβάλλει τῆς βλασφημίας ἅπασι, καὶ μάλιστα σοί. Εἰ μὲν γὰρ ἐγὼ κατ' ἐμαυτὸν αὐτοκράτωρ ὢν περὶ τῶν πραγμάτων ἐβουλευόμην, ἦν ἂν τοῖς ἄλλοις ῥήτορσιν ὑμῖν ἐμὲ αἰτιᾶσθαι· εἰ δὲ παρῆτε μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις ἀεὶ, ἐν κοινῷ δὲ τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν, πᾶσι δὲ ταῦτ' ἐδόκει τότ' ἄριστα εἶναι καὶ μάλιστα σοί, (οὐ γὰρ ἐπ' εὐνοίᾳ γ' ἐμοὶ παρεχώρεις ἐλπίδων, καὶ ζήλου, καὶ τιμῶν, ἃ πάντα προσῆν τοῖς τότε πραττομένοις ὑπ' ἐμοῦ, ἀλλὰ τῆς ἀληθείας[711] ἠττώμενος ὀλιγωνότι, καὶ τῷ[711] μηδὲν ἔχειν εἰπεῖν βέλτιον) πῶς οὐκ ἀδικεῖς καὶ δεινὰ ποιεῖς, τούτοις νῦν ἐγκαλῶν, ὧν τότ' οὐκ εἶχες λέγειν βέλτιω;

Παρὰ μὲν τοίνυν τοῖς ἄλλοις ἔγωγ' ὁρῶ πᾶσιν ἀνθρώποις διωρισμένα καὶ τεταγμένα οὕτω πως[712] τὰ τοιαῦτα· ἀδικεῖ τις ἑκών; ὀργὴ καὶ τιμωρία[713] κατὰ τούτου· ἐξήμαρτέ τις ἄκων; συγγνώμη ἀντὶ τῆς τιμωρίας τούτῳ· οὔτ' ἀδικῶν τις, οὔτ' ἐξαμαρτάνων, εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν ἑαυτὸν δοὺς, οὐ κατώρθωσε μεθ' ἁπάντων; οὐκ ὀνειδίζειν οὐδὲ λοιδορεῖσθαι τῷ τοιούτῳ δίκαιον, ἀλλὰ συναχθεσθαι. Φανήσεται τοίνυν ταῦτα πάντα οὕτως, οὐ μόναν ἐν τοῖς νόμοις, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νόμοις καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι διώρικεν[714]. Αἰσχίνης τοίνυν τοσοῦτον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι καὶ συκοφαντίᾳ, ὥστε καὶ ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, καὶ ταῦτ' ἐμοῦ κατηγορεῖ.

Καὶ πρὸς τοῖς ἄλλοις, ὥσπερ[715] αὐτὸς ἁπλῶς καὶ μετ' εὐνοίας πάντας εἰρηκὼς τοὺς λόγους, φυλάττειν ἐμὲ καὶ τηρεῖν ἐκέλευεν, ὅπως μὴ παρακρούσομαι μηδ' ἐξαπατήσω, δεινὸν καὶ γόητα καὶ σοφιστὴν καὶ τὰ τοιαῦτ' ὀνομάζων· ὡς[715], ἐὰν πρότερός τις εἰπῃ τὰ προσόντ' ἑαυτῷ περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως ἔχοντα, καὶ οὐκέτι τοὺς ἀκούοντας σκεψομένους, τίς ποτε αὐτός ἐστιν ὁ ταῦτα λέγων. Ἐγὼ δ' οἶδ', ὅτι γιγνώσκετε ταῦτον ἅπαντες, καὶ πολὺ τούτῳ μᾶλλον ἢ ἐμοὶ νομίζετε ταῦτα προσεῖναι. Κἀκεῖνο δ' εὖ οἶδ', ὅτι τὴν ἐμὴν δεινότητα... (ἔσω γάρ· καίτοι ἔγωγε ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκούοντας τὰ πλεῖστον μέρος κυρίους ὄντας· ὡς γὰρ ἂν ὑμεῖς ἀποδέξησθε καὶ πρὸς ἕκαστον ἔχητ' εὐνοίας, οὕτως ὁ λέγων ἔδοξε φρονεῖν.)

---

710) Ἐν ἄλλοις: Εἰ μὴ καὶ τὸ ὅλον. 711) Τῆς ἀληθείας.. καὶ τῷ: Ἡ μὲν γενικὴ συγκριτικῶς, ἡ δὲ δοτικὴ παθητικῶς εἰς τὸ Ἠττώμενος. 712) Τὸ Οὕτω προσετέθη ὑπὸ τοῦ Ῥείσκ. 713) (ἔνν.) Διώρισται καὶ τέτακται. 714) Ἐλλιπὲς καὶ κακῶς συντεταγμένον φαίνεται τὸ χωρίον, εἰ καὶ ἡ ἔννοια σαφής. Φανήσεται τοίνυν ταῦτα πάντα οὐ μόνον ἐν τοῖς (γραπτοῖς) νόμοις οὕτως ἔχοντα· ἀλλ' ὅτι καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νόμοις καὶ τοῖς ἀνθρωπίνοις ἤθεσιν (ἢ ἔθεσιν) οὕτως αὐτὰ διώρικεν (ἀντὶ τοῦ Διωρίκται τοῦ Ῥείσκ.)

715) Τὸ Ὡς πρὸς μετοχὴν ἐπὶ ψευδοῦς ὕλης.

εἰ δ' οὖν ἐστὶ καὶ παρ' ἐμοί τις ἐμπειρία[716] τοιαύτη, ταύτην[717] μὲν εὑρήσετε πάντες ἐν τοῖς κοινοῖς ἐξεταζομένην[718] ὑπὲρ ὑμῶν ἀεί, καὶ οὐδαμοῦ καθ' ὑμῶν, οὐδ' ἰδίᾳ· τὴν δὲ τούτου τοὐναντίον, οὐ μόνον τῷ λέγειν ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι τοῦτον, ἢ προσέκρουσέ που, κατὰ τούτων. οὐ γὰρ αὐτῇ δικαίως, οὐδ' ἐφ' ἃ συμφέρει τῇ πόλει, χρῆται. Οὔτε γὰρ τὴν ὀργήν, οὔτε τὴν ἔχθραν, οὔτ' ἄλλο οὐδὲν τῶν τοιούτων, τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ τοὺς ὑπὲρ τῶν κοινῶν εἰσελθηλυθότας δικαστὰς ἀξιοῦν αὐτῷ βεβαιοῦν[719], οὐδ' ὑπὲρ τούτων εἰς ὑμᾶς εἰσιέναι· ἀλλὰ μάλιστα μὲν μὴ ἔχειν ταῦτ' ἐν τῇ φύσει, εἰ δ' ἄρ' ἀνάγκη, πρᾴως καὶ μετρίως διακείμενα ἔχειν.

Ἐν τίσιν οὖν σφοδρὸν εἶναι τὸν πολιτευόμενον καὶ τὸν ῥήτορα δεῖ; ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει, καὶ ἐν οἷς πρὸς τοὺς ἐναντίους ἐστί τι[720] τῷ δήμῳ· ἐν τούτοις. ταῦτα γάρ ἐστι γενναίου καὶ ἀγαθοῦ πολίτου μηδενὸς δὲ ἀδικήματος πώποτε δημοσίου, προσθήσω δὲ μηδ' ἰδίου, δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ, μηθ' ὑπὲρ τῆς πόλεως, μηθ' ὑπὲρ αὐτοῦ, ψεφάνου καὶ ἐπαίνου κατηγορίαν νῦν ἥκειν συνεσκευασμένον, καὶ τοσουτουσὶ λόγους ἀνηλωκέναι, ἰδίας ἔχθρας ἕνεκα[721], φθόνου καὶ μικροψυχίας ἐστὶ σημεῖον, οὐδενὸς χρησιμοῦ. Τὸ δὲ δὴ καὶ τοὺς πρὸς ἐμὲ αὐτὸν[722] ἀγῶνας ἐάσαντα, νῦν ἐπὶ τὸν ὁ[723] ἥκειν, καὶ[724] πᾶσαν ἔχει κακίαν.

Καί μοι γε δοκεῖς ἐκ τούτων, Αἰσχίνη, τῶν λόγων, ἐπίδειξίν τινα φωνασκίας[725] βουλόμενος ποιήσασθαι, τοῦτον προελέσθαι τὸν ἀγῶνα, οὐκ ἀδικήματος οὐδενὸς λαβεῖν τιμωρίαν. Ἔστι δ' οὐχ ὁ λόγος τοῦ ῥήτορος, Αἰσχίνη, τίμιος, οὐδ' ὁ τόνος τῆς φωνῆς, ἀλλὰ τὸ ταὐτὰ προαιρεῖσθαι τοῖς πολλοῖς, καὶ τὸ τοὺς αὐτοὺς μισεῖν καὶ φιλεῖν, οὓς περ ἂν ἡ πατρίς. Ὁ γὰρ οὕτως ἔχων τὴν ψυχήν, οὗτος ἐπ' εὐνοίᾳ πάντ' ἐρεῖ ὁ δ', ἀφ' ὧν ἡ πόλις προπράττεταί τινα κίνδυνον ἑαυτῇ, τούτους θεραπεύων, οὐκ ἐπὶ τῆς αὐτῆς[726] ὁρμεῖ τοῖς πολλοῖς· οὐκοῦν οὐδὲ τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχει προσδοκίαν. Ἀλλ' ὁρᾷς; ἐγώ[727]· ταὐτὰ γὰρ συμφέροντ' εἰλόμην τουτοισί, καὶ οὐδὲν ἐξαίρετον οὐδ' ἴδιον πεποίημαι. Ἆρ' οὖν οὐδὲ σύ[728]; καὶ πῶς; ὃς εὐθέως μετὰ τὴν μάχην πρεσβευτὴς ἐπορεύου πρὸς Φίλιππον, ὃς ἦν τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμφορῶν αἴτιος τῇ πατρίδι· καὶ ταῦτ' ἀρνούμενος πάντα τὸν ἔμπροσθεν χρόνον ταύτην τὴν γραφὴν[729], ὡς πάντες ἴσασι.

Καί τοι τίς ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων, ἃ φρονεῖ; Τῷ δ' ὁ κήρυξ καταρᾶται[730] καθ' ἑκάστην ἐκκλησίαν δικαίως; οὐ τῷ τοιούτῳ; Τί δὲ

---

716) Δὲν λέγει Δεινότης, μετριοφρονῶν. 717) Κατ' ἐπανάληψιν, διὰ τὸ διεξοδικὸν τῆς παρενθέσεως. 718) Εὑρήσετε ταύτην ἐξεταζομένην. 719) Οὐ δεῖ τὸν ἀγαθὸν πολίτην ἀξιοῦν τοὺς δικαστὰς βεβαιοῦν αὐτῷ τὴν ὀργὴν καὶ τὴν ἔχθραν· ἀλλὰ μάλιστα μὲν δεῖ μὴ ἔχειν ταῦτα· εἰδ' ἄρ' ἀνάγκη ἐστὶν ἔχειν, δεῖ ἔχειν διακείμενα πράως. 720) (ἐνν.) Πρᾶγμα ἢ ἔγκλημα. 721) Ἐν ἄλλοις: Ἰδίας ἔχθρας καὶ φθόνου. 722) Κατὰ διόρθ. ἀντὶ: Ἐμαυτόν. 723) Τὸν Κτησιφ. 724) Ἐν ἄλλοις ἐλλείπει ὁ Καί. 725) Φωνῆς ἐξησκημένης, μεγάλης, ἴδε σημ. 676. 726) (ἐνν.) Ἀγκύρας, παροιμ. Οὐχ ὁμοφρονεῖ. 727) (ἐνν.) Ἐπὶ τῆς αὐτῆς ὁρμῶ τοῖς πολλοῖς, κ. τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχω προσδ. 728) Οὐδὲν ἐξ. οὐδ' ἴδιον πεποίησαι; 729) Τὴν περὶ τῆς πρεσβείας ταύτης. 730) Ἐν ἄλλοις ἐλλείπουσιν αἱ τρεῖς αὗται λέξεις· ἴδε καὶ σημ. 344.

μεῖζον ἔχοι τις ἂν εἰπεῖν ἀδίκημα κατ' ἀνδρὸς ῥήτορος, ἢ εἰ μὴ ταὐτὰ καὶ φρονεῖ καὶ λέγει; Σὺ τοίνυν οὗτος εὑρέθης. Εἶτα σὺ φθέγγῃ, καὶ βλέπειν εἰς τὰ τούτων πρόσωπα τολμᾷς; πότερ' οὐχ ἥγῃ γιγνώσκειν αὐτοὺς, ὅστις εἶ; ἢ τοσοῦτον ὕπνον καὶ λήθην ἅπαντας ἔχειν[731], ὥστ' οὐ μεμνῆσθαι τοὺς λόγους, οὓς ἐδημηγόρεις ἐν τῷ δήμῳ, καταρώμενος καὶ διομνύμενος, μηδὲν εἶναί σοι καὶ Φιλίππῳ πρᾶγμα, ἀλλ' ἐμὲ τὴν αἰτίαν σοι ταύτην ἐπάγειν, τῆς ἰδίας ἕνεκα ἔχθρας, οὐκ οὖσαν ἀληθῆ; Ὡς δ' ἀπηγγέλθη τάχισθ' ἡ μάχη, οὐδὲν τούτων[732] φροντίσας, εὐθὺς ὡμολόγεις καὶ προσεποιοῦ φιλίαν καὶ ξενίαν εἶναί σοι πρὸς αὐτόν, τῇ μισθαρνίᾳ ταῦτα μετατιθέμενος τὰ ὀνόματα[733]. Ἐκ ποίας γὰρ ἴσης ἢ δικαίας προφάσεως Αἰσχίνῃ, τῷ[734] Γλαυκοθέας τῆς τυμπανιστρίας, ξένος, ἢ φίλος, ἢ γνώριμος ἦν Φίλιππος; ἐγὼ μὲν[735] οὐχ ὁρῶ· ἀλλ' ἐμισθώθης ἐπὶ τῷ τὰ τουτωνὶ συμφέροντα διαφθείρειν. Ἀλλ' ὅμως οὕτω φανερῶς αὐτὸς εἰλημμένος προδότης, καὶ κατὰ σαυτοῦ μηνυτὴς ἐπὶ τοῖς συμβᾶσι[736] γεγονὼς, ἐμὲ λοιδορῇ, καὶ ὀνειδίζεις ταῦτα, ὧν πάντας μᾶλλον αἰτίους εὑρήσεις ἢ ἐμέ.

Πολλὰ καὶ καλὰ καὶ μεγάλα ἡ πόλις, Αἰσχίνη, καὶ προείλετο καὶ κατώρθωσε δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνησε. Σημεῖον δὲ· χειροτονῶν γάρ ὁ δῆμος τὸν ἐροῦντ'[737] ἐπὶ τοῖς τετελευτηκόσι παρ' αὐτὰ τὰ συμβάντα[738], οὐ σὲ ἐχειροτόνησε προβληθέντα, καίπερ εὐρωνον[739] ὄντα, οὐδὲ Δημάδην, ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ' Ἡγήμονα[740], οὐδ' ἄλλον ὑμῶν οὐδένα, ἀλλ' ἐμέ. Καὶ παρελθόντος σοῦ καὶ Πυθοκλέους ὠμῶς καὶ ἀναιδῶς, ὦ Ζεῦ καὶ θεοί, καὶ[741] κατηγορούντων ἐμοῦ ταῦτα, ἃ καὶ σὺ νυνί, καὶ λοιδορουμένων, ἔτ' ἄμεινον[742] ἐχειροτόνησεν ἐμέ· τὸ δ' αἴτιον οὐκ ἀγνοεῖς μέν, ὅμως δὲ φράσω σοι κἀγώ. Ἀμφότερ' ἦδεσαν οὗτοι· τήν τ' ἐμὴν εὔνοιαν καὶ προθυμίαν, μεθ' ἧς τὰ πράγματ' ἔπραττον, καὶ τὴν ὑμετέραν ἀδικίαν. Ἃ γὰρ, εὐλενούντων[743] τῶν πραγμάτων, ἠρνεῖσθε διομνύμενοι, ταῦτ', ἐν οἷς ἔπταισεν ἡ πόλις, ὡμολογήσατε· τοὺς οὖν ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν, ὧν ἐφρόνουν, λαβόντας ἄδειαν[744], ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τόθ' ἡγήσαντο[745] αὐτοῖς γεγενῆσθαι. Εἶτα καὶ προσήκειν ὑπελάμβανον, τὸν ἐροῦντα τότε ἐπὶ τοῖς τετελευτηκόσι, καὶ τὴν ἐκείνων ἀρετὴν κοσμήσοντα, μήθ' ὁμωρόριον, μήθ' ὁμόσπονδον[746] γεγενημένον εἶναι τοῖς πρὸς ἐκείνους παραταξαμένοις, μηδ' ἐκεῖ[747] μὲν κωμάζειν καὶ παιανίζειν[748] ἐπὶ ταῖς τῶν Ἑλλήνων συμφοραῖς μετὰ τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο δ' ἐλθόντα σι-

---

731) Ἠγῇ ἔχειν. 732) Ὧν ἔλεγες πρίν. 733) Μετονομάζων τὴν μισθαρνίαν φιλίαν ἴδε καὶ σημ. 113. 734) (ἐνν.) Γίῳ. 735) Ἐλαττωτικὸς· ἐγω τοὐλάχιστον· καὶ ἔχει ὑπονοουμένον τὸν Δέ· Εἰ δ' ἄλλος τις ὁρᾷ, οὐκ οἶδα. 736) Μετὰ τὰ συμβαντα, ἢ ἐξ αἰτίας αὐτῶν. 737) Ἐγκώμιον τῶν τετελευτ. 738) Τότε ἀκέμηνἐτε ἦσαν πρόσφατα, ἴδε καὶ σημ. 32. 739) Ἕνα τῶν μακεδονιζόντων, καὶ ἐπὶ δωροδοκίᾳ διαβεβλημένων», κατὰ τὸν Ἁρποκρ. 740) Περιέκλεισε τὸν Καὶ ὁ Ῥεσκ., ἀναφέρων τὸ Ἀναιδῶς εἰς τὸ Κατηγορούντων· ἀλλὰ τότε ἔπρεπε νὰ προσθέσῃ καὶ ἄλλον καὶ πρὸ τοῦ Ὠμῶς. 741) = Ἔτι μᾶλλον.

742) Εὖ ἐχόντων, εὐδοκιμούντων. 743) Ὑποπτος ἐδοξέ τισι τῶν σχολιαστικῶν ἡ φράσις· τοὐλάχιστον φαίνεται ἀσύνηθες τὸ Λαμβάνειν ἄδειαν ὧν φρονεῖ τις. 744) Ἡγήσαντο εἶναι μὲν πάλαι ἐχθροὺς, γεγενῆσθαι δὲ τοτε φανεροὺς αὐτοῖς. 745) Ὡς ἦν ὁ Δημάδης, πρεσβεύσας μετὰ τὴν μάχην πρὸς Φίλιππον, καὶ ἑπομένως καὶ στέγης καὶ σπονδῶν αὐτῷ κοινωνήσας. 746) Ἐν Μακεδονίᾳ. 747) Παιᾶνας ἐπινικίους ᾄδειν ἐπὶ τραπέζης.

μᾶσθαι, καὶ μηδὲ τῇ φωνῇ δακρύειν ὑποκρινόμενον τὴν ἐκείνων τύχην[748], ἀλλὰ τῇ ψυχῇ συναλγεῖν· τοῦτο δ' ἑώρων παρ' ἑαυτοῖς, καὶ παρ' ἐμοί, παρὰ δ' ὑμῖν οὔ· Διὰ ταῦτ' ἐμὲ ἐχειροτόνησαν, καὶ οὐχ ὑμᾶς. Καὶ οὐχ ὁ μὲν δῆμος οὕτως[749], οἱ δὲ τῶν τετελευτηκότων πατέρες καὶ ἀδελφοί, οἱ ὑπὸ τοῦ δήμου τόθ' αἱρεθέντες ἐπὶ τὰς ταφὰς[750], ἄλλως πως· ἀλλὰ δέον ποιεῖν αὐτοὺς τὸ περίδειπνον[751], ὡς παρ' οἰκειοτάτῳ τῶν τετελευτηκότων, ὥσπερ τἄλλ'[752] εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίησαν παρ' ἐμοί[753]· εἰκότως. Γένει μὲν γὰρ ἕκαστος ἑκάστῳ μᾶλλον οἰκεῖος ἦν ἐμοῦ· κοινῇ δὲ πᾶσιν οὐδεὶς ἐγγυτέρω[754]. ᾧ γὰρ ἐκείνους σωθῆναι καὶ κατορθῶσαι μάλιστα διέφερεν, οὗτος καὶ παθόντων, ἃ μή ποτ' ὤφελον, τῆς ὑπὲρ ἁπάντων λύπης πλεῖστον μετεῖχε.

Λέγε[755] δ' αὐτῷ τουτὶ τὸ ἐπίγραμμα, ὃ δημοσίᾳ προείλετο[756] ἡ πόλις αὐτοῖς ἐπιγράψαι, ἵν' εἰδῇς, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ σαυτὸν ἀγνώμονα καὶ συκοφάντην ὄντα καὶ μιαρόν. λέγε.

ΕΠΙΓΡΑΜΜΑ.

Οἵδε πάτρας ἕνεκα σφετέρας εἰς δῆριν ἔθεντο
ὅπλα[757], καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν.
Μαρνάμενοι δ' ἀρετῆς καὶ λήματος[758], οὐκ ἐσάωσαν
ψυχάς, ἀλλ' αἰδὴν κοινὸν ἔθεντο βράβην[759],
Οὕνεκεν Ἑλλήνων, ὡς μὴ ζυγὸν αὐχένι θέντες
δουλοσύνης, στυγερὰν ἀμφὶς ἔχωσιν[760] ὕβριν.
Γαῖα δὲ πατρὶς ἔχει κόλποις[761] τῶν πλεῖστα καμόντων
σώματ', ἐπεὶ θνητοῖς ἐκ Διὸς ἦδε κρίσις.
Μηδὲν ἁμαρτεῖν ἔστι θεῶν[762] καὶ πάντα κατορθοῦν
ἐν βιοτῇ· μοῖραν δ' οὔ τι φυγεῖν ἕτερον[763].

Ἀκούεις, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ[764], ὡς τὸ μηδὲν ἁμαρτεῖν ἐστι θεῶν καὶ πάντα κατορθοῦν; οὐ τῷ συμβούλῳ τὴν τοῦ κατορθοῦν τοὺς ἀγωνιζομένους ἀνέθηκε δύναμιν, ἀλλὰ τοῖς θεοῖς. Τί οὖν, ὦ κατάρατ', ἐμοὶ περὶ τούτων λοιδορῇ, καὶ λέγεις, ἃ σοὶ καὶ τοῖς σοῖς οἱ θεοὶ τρέψειαν εἰς κεφαλήν;

Πολλὰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου, ἓν μάλιστ' ἐθαύμασα πάντων, ὅτι τῶν συμβεβηκότων τότε[765] τῇ πόλει μνησθείς, οὐχ, ὡς ἂν[766] εὔνους καὶ δίκαιος πολίτης, ἔσχε τὴν γνώμην, οὐδ' ἐδάκρυσεν, οὐδ' ἔπαθε τοιοῦτον οὐδὲν τῇ ψυχῇ· ἀλλ' ἐπάρας τὴν φωνήν, καὶ γεγηθὼς καὶ λαρυγγίζων[767], ᾠετο μὲν ἐμοῦ κατηγορεῖν ὀηλονότι, δεῖγμα δ' ἐξέφερε καθ' ἑαυτοῦ, ὅτι ἐπὶ τοῖς γεγενημένοις

---

748) Δακρύειν (διὰ) τὴν ἐκείνων τύχην. 749) (ἐνν.) Ἐγίνωσκον περὶ ἐμοῦ.
750) Ἐπιστάται τῆς κηδείας. 751) Ἴδε τὸ Λεξ. 752) Περιδειπνα ἢ γοῦν τὰ νομιζόμενα. Ὁ δὲ Μαρκλ. ἔγραψε Ταῦτ'. 753) Ἐν τῇ οἰκίᾳ τῇ ἐμῇ. 754) (ἐνν.) Ἦν αὐτοῖς τῷ γένει. Πλησιέστερος συγγενής. 755) Λέγε, γραμματεῦ, αὐτῷ (ἵν' ἀκούσῃ αὐτός).
756) Διότι φαίνεται ὅτι διάφοροι συνέταττον ἐπιγράμματα, ὁ δὲ δῆμος ἢ οἱ ἄρχοντες προηροῦντο (ἐπροτίμων) ἓν ἐξ αὐτῶν ὅποιον τοῖς ἤρεσκε. 757) Πρὸς μάχην ὡπλίσθησαν.
758) Μετ' (ἢ Ἕνεκεν) ἀρετῆς καὶ λήματος. 759) Σπανιώτατον ἀντὶ βραβευτήν.
760) Ὑποπέσωσιν εἰς· ἐπεξήγησις τοῦ ἀνωτέρω· Ὕβριν ἀπεσκέδασαν.
761) (Ἐν) κόλποις. 762) Τὸ μηδὲν ἁμαρτεῖν καὶ πάντα κατορθοῦν ἐν βιοτῇ, ἐστὶ θεῶν δῶρον. 763) Κατὰ διόρθ. ἀντὶ Ἕτερον· ἀμφότερα δὲ βεβιασμένα καὶ ἴσως ἡμαρτημένα.
764) Περιέκλεισε τὰς τέσσαρας ταύτας λέξεις ὁ Ῥεϊσκ. ὡς περιττὴν ἐπανάληψιν.
765) Μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην. 766) Οὐκ ἔσχε τὴν γνώμην οὕτως, ὡς ἂν ἔσχεν εὔνους κτλ. 767) Ὅλῳ τῷ λαρυγγι φωνῶν, λαμπρᾷ καὶ γεγωνυίᾳ τῇ φωνῇ.

ἀνιαροῖς οὐδὲν ὁμοίως ἔσχε τοῖς ἄλλοις. Καίτοι τὸν τῶν νόμων καὶ τῆς πολιτείας φάσκοντα φροντίζειν, ὥσπερ οὗτος νυνί, καὶ εἰ μηδὲν ἄλλο, τοῦτό γ' ἔχειν δεῖ, τὸ ταὐτὰ λυπεῖσθαι καὶ ταὐτὰ χαίρειν τοῖς πολλοῖς, καὶ μὴ τῇ προαιρέσει τῶν κοινῶν ἐν τῷ τῶν ἐναντίων μέρει τετάχθαι· ὃ σὺ νυνὶ πεποιηκὼς εἶ φανερὸς, ἐμὲ πάντων αἴτιον, καὶ δι' ἐμὲ εἰς πράγματα φάσκων ἐμπεσεῖν τὴν πόλιν, οὐκ ἀπὸ τῆς ἐμῆς πολιτείας οὐδὲ προαιρέσεως ἀρξαμένων ἡμῶν τοῖς Ἕλλησι βοηθεῖν. Ἐπεὶ ἔμοι γ' εἰ τοῦτο ὀφθείη παρ' ὑμῶν, τοσαῦτα δι' ἐμὲ ὑμᾶς ἠναντιῶσθαι τῇ κατὰ τῶν Ἑλλήνων ἀρχῇ πραττομένῃ[767a], μείζων ἂν ὀφθείη δωρεὰ συμπασῶν, ὧν τοῖς ἄλλοις δεδώκατε. Ἀλλ' οὔτ' ἂν ἐγὼ ταῦτα φήσαιμι (ἀδικοίην γὰρ ἂν ὑμᾶς), οὔτ' ἂν ὑμεῖς εὖ οἶδ' ὅτι συγχωρήσαιτε· οὗτος δὲ, εἰ τὰ δίκαια ἐποίει, οὐκ ἂν ἕνεκα τῆς πρὸς ἐμὲ ἔχθρας τὰ μέγιστα τῶν ὑμετέρων καλῶν ἔβλαπτε καὶ διέβαλλεν.

Ἀλλὰ τί ταῦτ' ἐπιτιμῶ, πολλῷ σχετλιώτερα ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου; ὃς γὰρ ἐμοῦ φιλιππισμὸν, ὦ γῆ καὶ θεοί[768], κατηγορεῖ, τί οὗτος οὐκ ἂν εἴποι; Καίτοι, νὴ τὸν Ἡρακλέα[769], καὶ πάντας τοὺς θεοὺς, εἴ γ' ἐπ' ἀληθείας δέοι σκοπεῖσθαι, τὸ καταψεύδεσθαι καὶ δι' ἔχθραν τι λέγειν ἀνελόντας ἐκ μέσου, τίνες ὡς ἀληθῶς εἰσιν, οἷς ἂν εἰκότως καὶ δικαίως τὴν τῶν γεγενημένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν ἅπαντες, τοὺς ὁμοίους τούτῳ παρ' ἑκάστῃ τῶν πόλεων εὕροιτ' ἄν, οὐχὶ τοὺς ἐμοί· οἳ, ὅτ' ἦν ἀσθενῆ τὰ Φιλίππου πράγματα καὶ κομιδῇ μικρὰ, πολλάκις προλεγόντων ἡμῶν καὶ παρακαλούντων καὶ διδασκόντων τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας, τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας[770] ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν· Θετταλοὺς, Δάοχος[771], Κινέας, Θρασύλαος· Ἀρκάδας, Κερκιδᾶς, Ἱερώνυμος, Εὐκαλπίδας[772]· Ἀργείους, Μύρτις, Τελάδαμος, Μνασέας· Ἠλείους, Εὐξίθεος, Κλεότιμος, Ἀρίσταιχμος· Μεσσηνίους, οἱ Φιλιάδου τοῦ θεοῖς ἐχθροῦ παῖδες, Νέων καὶ Θρασύλοχος· Σικυωνίους, Ἀρίστρατος, Ἐπιχάρης· Κορινθίους, Δείναρχος, Δημάρατος· Μεγαρέας, Πτοιόδωρος, Ἔλιξος, Περίλαος· Θηβαίους, Τιμόλαος, Θεογείτων, Ἀνεμοίτας· Εὐβοέας, Ἵππαρχος, Κλείταρχος, Σωσίστρατος· ἐπιλείψει με λέγοντα ἡ ἡμέρα τὰ τῶν προδοτῶν ὀνόματα. Οὗτοι πάντες εἰσὶν, ἄνδρες Ἀθηναῖοι, τῶν αὐτῶν βουλευμάτων[773] ἐν ταῖς αὐτῶν πατρίσιν, ὥνπερ οὗτοι παρ' ὑμῖν, ἄνθρωποι μιαροὶ, καὶ κόλακες, καὶ ἀλάστορες, ἠκρωτηριασμένοι[774] τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες[775], πρότερον μὲν Φιλίππῳ, νῦν δὲ Ἀλεξάνδρῳ,

---

767a) Πραττομένῃ τῇ κατὰ τῶν Ἑλλ. ἀρχῇ, ἐν ᾧ ἐπράττετο, κατεσκευάζετο.

768) Ὡς σχετλιάζων διὰ τὴν δεινότητα τοῦ ἐγκλήματος. 769) Ὀμνύει τὸν Ἡρακλέα, διὰ τὸ φρικῶδες καὶ ἀποτρόπαιον τῆς κατηγορίας. 770) Τοὺς ἑαυτῷ ὑπαρχ., τοὺς ἰδίως ἕκαστος. 771) Τὰ πλειότερα τούτων τῶν ὀνομάτων γράφονται διαφόρως ἐν τοῖς διαφόροις χειρογράφοις. 772) Ὁ Παυσαν. ἐν Ἀρκαδ. γράφει Εὐκαμπίδας. 773) (Ἐνν.) Ὄντες, τὰ αὐτὰ βουλευόμενοι. 774) Ἀντὶ τοῦ Ἠκρωτηριακότες, λυμηνάμενοι α, λέγει ὁ Ἁρποκρ.

775) Ἀντὶ Προδεδωκότες, ὡς καὶ ἐν Ὀλυνθ. Γ'. θ'. Ἡ δὲ μεταφορὰ οἰκεία τοῖς ἐν πότοις ἐκ μέθης δαπανῶσι τὰ τῆς προδοσίας λήμματα, καθὼς φαίνεται ἀπὸ τὸ κατωτέρω: Τῇ γαστρὶ κτλ. Ἰδίως δὲ ὁ Φιλοκράτης, προδότης ἐπίσημος, ἦτον καὶ μέγας οἰνοπότης.

τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν· τὴν δ' ἐλευθερίαν, καὶ τὸ μηδένα ἔχειν δεσπότην αὐτῶν, (ἃ τοῖς προτέροις Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες), ἀνατετροφότες.

Ταύτης τοίνυν τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστάσεως καὶ κακίας, μᾶλλον δ', ὦ ἄνδρες Ἀθηναῖοι, προδοσίας, εἰ δεῖ μὴ λῆρεῖν[776], τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἥ τε πόλις παρὰ πᾶσιν ἀνθρώποις ἀναίτιος γέγονεν ἐκ τῶν ἐμῶν πολιτευμάτων, καὶ ἐγὼ παρ' ὑμῖν. Εἶτα μ' ἐρωτᾷς, ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι; Ἐγὼ δή σοι λέγω, ὅτι τῶν πολιτευομένων παρὰ τοῖς Ἕλλησι διαφθαρέντων ἁπάντων, ἀρξαμένων ἀπὸ σοῦ, πρότερον μὲν ὑπὸ Φιλίππου, νῦν δ' ὑπ' Ἀλεξάνδρου, ἐμὲ οὔτε καιρός, οὔτε φιλανθρωπία λόγων, οὔτ' ἐπαγγελιῶν μέγεθος, οὔτ' ἐλπὶς, οὔτε φόβος, οὔτε χάρις, οὔτ' ἄλλο οὐδὲν ἐπῆρεν, οὐδὲ προηγάγετο, ὧν[777] ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πατρίδι, οὐδὲν προδοῦναι, οὐδ', ὅσα συμβεβούλευκα πώποτε τοῦτοισι, ὁμοίως ὑμῖν, ὥσπερ ἂν εἰ ἐν τρυτάνῃ, ῥέπων ἐπὶ τὸ λῆμμα συμβεβούλευκα, ἀλλ' ἀπ' ὀρθῆς καὶ δικαίας καὶ ἀδιαφθόρου τῆς ψυχῆς τὰ πάντα μοι πέπρακται· καὶ μεγίστων δὴ πραγμάτων τῶν κατ' ἐμαυτὸν[778] ἀνθρώπων προστὰς, πάντα ταῦτα ὑγιῶς καὶ δικαίως καὶ ἁπλῶς πεπολίτευμαι. Διὰ ταῦτ' ἀξιῶ τιμᾶσθαι.

Τὸν δὲ τειχισμὸν τοῦτον[779], ὃν σύ μου διέσυρες, καὶ τὴν ταφρείαν, ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω· πῶς γὰρ οὔ; πόρρω μέντοι που τῶν ἐμαυτῷ πεπολιτευμένων τίθεμαι. Οὐ γὰρ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγὼ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλῃ δικαίως σκοπεῖν, εὑρήσεις ὅπλα, καὶ πόλεις, καὶ τόπους, καὶ λιμένας, καὶ ναῦς, καὶ [πολλοὺς[780]] ἵππους, καὶ τοὺς ὑπὲρ τούτων[781] ἀμυνομένους. Ταῦτα προὐβαλόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς, ὅσον ἦν ἀνθρωπίνῳ λογισμῷ δυνατόν, καὶ τούτοις ἐτείχισα τὴν χώραν, οὐχὶ τὸν κύκλον μόνον τοῦ Πειραιῶς, οὐδὲ τοῦ ἄστεος. Οὐδὲ γ' ἡττήθην ἐγὼ τοῖς λογισμοῖς Φιλίππου (πολλοῦ γε καὶ δεῖ), οὐδὲ ταῖς παρασκευαῖς, ἀλλ' οἱ τῶν συμμάχων στρατηγοὶ καὶ αἱ δυνάμεις τῇ τύχῃ[782]. Τίνες αἱ τούτων ἀποδείξεις; ἐναργεῖς καὶ φανεραί.

Σκοπεῖτε δὲ. Τί χρῆν τὸν εὔνουν πολίτην ποιεῖν; τί τὸν μετὰ πάσης προνοίας καὶ προθυμίας καὶ δικαιοσύνης ὑπὲρ τῆς πατρίδος πολιτευόμενον; οὐκ ἐκ μὲν θαλάττης τὴν Εὔβοιαν προβαλέσθαι πρὸ τῆς Ἀττικῆς; ἐκ δὲ τῆς μεσογείας τὴν Βοιωτίαν; ἐκ δὲ τῶν πρὸς Πελοπόννησον τόπων τοὺς ὁμόρους ταύτῃ[783]; οὐ τὴν σιτοπομπείαν, ὅπως[784] παρὰ πᾶσαν φιλίαν[785] ἄχρι τοῦ Πειραιῶς κομισθήσεται, προϊδέσθαι; καὶ τὰ μὲν σῶσαι τῶν ὑπαρχόντων, ἐκπέμποντα βοηθείας, καὶ λέγοντα καὶ γράφοντα τοιαῦτα, τὴν Προκόννησον[786], τὴν Χερρόνησον[787], τὴν Τένεδον· τὰ δ' ὅπως οἰκεῖα καὶ σύμμαχ' ὑ-

---

776) Χρῆσθαι περιφράσεσι. 777) (Ἐξ ἐκείνων) ἃ. 778) Τῶν κατὰ τὴν ἐμαυτοῦ ἡλικίαν, καὶ συγχρόνων μου. 779) Ἴδε τὴν ὑπόθεσιν. 780) Περιέκλεισεν ὁ Ῥείσκ. ὡς ὕποπτον τὴν λέξιν. 781) Τῶν Ἀθηναίων. 782) Ὑπὸ τῆς τύχης. 783) Τῇ Ἀττικῇ δηλ. τοὺς Κορινθ. ἢ Ἀργείους καὶ Ἀρκάδας. 784) Προϊδέσθαι τὴν σιτοπομπείαν ὅπως κομισθήσεται.
785) (ἐνν.) Χώραν. 786) Ὁ νῦν Μαρμαρὰς, νῆσος τῆς Προποντ. 787) Κατ' ἐξοχὴν Χερρόνησος, χωρὶς ἄλλου ἐπιθέτου, ἡ Θρᾳκικὴ, ἡ σχηματίζουσα δυτικῶς τὸν Ἑλλήσποντον.

πάρξει, πρᾶξαι, τὸ Βυζάντιον, τὴν Ἄβυδον, τὴν Εὔβοιαν[788]; καὶ τῶν μὲν τοῖς ἐχθροῖς ὑπαρχουσῶν δυνάμεων τὰς μεγίστας ἀφελεῖν, ὧν δ' ἐνέλειπε τῇ πόλει, ταῦτα προσθεῖναι; Ταῦτα τοίνυν ὑμῖν ἅπαντα πέπρακται τοῖς ἐμοῖς ψηφίσμασι, καὶ τοῖς ἐμοῖς πολιτεύμασιν· ἃ καὶ βεβουλευμένα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐὰν ἄνευ φθόνου τις βούληται σκοπεῖν, ὀρθῶς εὑρήσει, καὶ πεπραγμένα πάσῃ δικαιοσύνῃ, καὶ τὸν ἑκάστου καιρὸν οὐ παρεθέντα, οὐδ' ἀγνοηθέντα, οὐδὲ προσθέντα ὑπ' ἐμοῦ, καὶ ὅσα[789] εἰς ἑνὸς ἀνδρὸς δύναμιν καὶ λογισμὸν ἦκεν, οὐδὲν ἐλλειφθέν. Εἰ δὲ ἢ δαίμονός τινος, ἢ τύχης τινὸς ἰσχὺς[790], ἢ στρατηγῶν φαυλότης, ἢ τῶν προδιδόντων τὰς πόλεις ὑμῶν κακία, ἢ καὶ πάντα ταῦτα ἅμα ἐλυμήνατο τοῖς ὅλοις, ἕως ἀνέτρεψε, τί Δημοσθένης ἀδικεῖ; Εἰ δ', οἷος ἦν ἐγὼ παρ' ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν, εἷς ἐν ἑκάστῃ τῶν Ἑλληνίδων πόλεων ἀνὴρ ἐγένετο, μᾶλλον δ', εἰ ἕνα ἄνδρα μόνον Θετταλία, καὶ ἕνα ἄνδρα Ἀρκαδία, ταὐτὰ φρονοῦντα ἔσχεν ἐμοί, οὐδεὶς οὔτε τῶν ἔξω Πυλῶν Ἑλλήνων, οὔτε τῶν εἴσω, τοῖς παροῦσι κακοῖς ἐκέχρητ' ἂν· ἀλλὰ πάντες ἂν ὄντες ἐλεύθεροι καὶ αὐτόνομοι, μετὰ πάσης ἀδείας, ἀσφαλῶς, ἐν εὐδαιμονίᾳ, τὰς ἑαυτῶν ᾤκουν πατρίδας, τῶν τοσούτων καὶ τοιούτων ἀγαθῶν ὑμῖν καὶ τοῖς ἄλλοις Ἀθηναίοις ἔχοντες χάριν δι' ἐμέ.

Ἵνα δ' εἰδῆτε, ὅτι πολλῷ τοῖς λόγοις ἐλάττοσι χρῶμαι τῶν ἔργων, εὐλαβούμενος τὸν φθόνον, λέγε μοι ταυτί, καὶ ἀνάγνωθι λαβὼν τὸν ἀριθμὸν τῶν βοηθειῶν, κατὰ τὰ ἐμὰ ψηφίσματα.

ΑΡΙΘΜΟΣ ΒΟΗΘΕΙΩΝ.

Ταῦτα καὶ τὰ τοιαῦτα πράττειν, Αἰσχίνη, τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ· ὧν κατορθουμένων μὲν, ὦ γῆ καὶ θεοί, μεγίστοις ἀναμφισβητήτως ὑπῆρχεν εἶναι, καὶ τὸ δικαίως προσῆν· ὡς ἑτέρως δὲ συμβάντων, τὸ γοῦν εὐδοκιμεῖν περίεστι, καὶ τὸ μηδένα μέμφεσθαι τὴν πόλιν, μηδὲ τὴν προαίρεσιν αὐτῆς, ἀλλὰ τὴν τύχην κακίζειν, τὴν οὕτω τὰ πράγματα κρίνασαν· οὐ, μὰ Δί', οὐκ ἀποστάντα τῶν συμφερόντων τῇ πόλει, μισθώσαντα δ' αὐτὸν τοῖς ἐναντίοις, τοὺς ὑπὲρ τῶν ἐχθρῶν καιρούς, ἀντὶ τῶν ὑπὲρ τῆς πατρίδος, θεραπεύειν, οὐδὲ[791] τὸν μὲν πράγματα ἄξια τῆς πόλεως ὑποστάντα λέγειν καὶ γράφειν, καὶ μένειν ἐπὶ τούτων προελόμενον βασκαίνειν, ἐὰν δέ τις ἰδίᾳ τι λυπήσῃ, τοῦτο μεμνῆσθαι καὶ τηρεῖν, οὐδέ γ' ἡσυχίαν ἄγειν ἄδικον καὶ ὕπουλον, ὃ σὺ ποιεῖς πολλάκις. Ἔστι γὰρ, ἔστιν ἡσυχία δικαία καὶ συμφέρουσα τῇ πόλει, ἣν οἱ πολλοὶ τῶν πολιτῶν ὑμεῖς ἁπλῶς ἄγετε. Ἀλλ' οὐ ταύτην οὗτος ἄγει τὴν ἡσυχίαν· πολλοῦ γε καὶ δεῖ· ἀλλ' ἀποστὰς, ὅταν αὐτῷ δόξῃ, τῆς πολιτείας, (πολλάκις δὲ δοκεῖ), φυλάττει, ὁπηνίχ' ὑμεῖς ἐστε μεστοὶ τοῦ συνεχῶς λέγοντος, ἢ παρὰ τὴν τύχην τι συμβέβηκεν ἐναντίωμα, ἢ ἄλλο τι δύσκολον γέγονε (πολλὰ δὲ τἀνθρώπινα), εἶτ' ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ τῆς ἡσυχίας,

---

788) Περιεκλείσθη ἡ λέξις ὡς παρεισφρήσασα κατὰ λάθος. Πρεέπε γὰρ ἤδη ὁ ῥήτωρ περὶ τῆς Εὐβοίας ἀνωτέρω. 789) Οὐδὲν (ἐξ ἐκείνων) ὅσα. 790) Περιεκλείσθη ὡς ἐπεξήγησις τοῦ Δαίμονος. Ἐὰν ὅμως ἐγκριθῇ νὰ μένῃ, πρέπει νὰ ἀφαιρεθῇ τὸ ἓν τῶν δύο Τινός. 791) Οὐδὲ βασκαίνειν μὲν, μεμνῆσθαι δέ.

ὥσπερ πνεῦμα[792] ἀνεράνη, καὶ περιωνασκηκὼς, καὶ συνειλοχὼς ῥήματα καὶ λόγους, συνείρει τούτους σαφῶς[792a] καὶ ἀπνευστί, ὄνησιν μὲν οὐδεμίαν φέροντας, οὐδ' ἀγαθοῦ κτῆσιν οὐδενός, συμφορὰν δὲ τῷ τυχόντι τῶν πολιτῶν[793] καὶ κοινὴν αἰσχύνην. Καίτοι ταύτης τῆς μελέτης, Αἰσχίνη, καὶ τῆς ἐπιμελείας, εἴπερ ἐκ ψυχῆς δικαίας ἐγίγνετο, καὶ τὰ τῆς πατρίδος συμφέροντα προηρημένης, τοὺς καιροὺς ἔδει γενναίους καὶ καλοὺς καὶ πᾶσιν ὠφελίμους εἶναι, συμμαχίας πόλεων, πόρους χρημάτων, ἐμπορίου κατασκευήν, νόμων συμφερόντων θέσεις, τοῖς ἀποδειχθεῖσιν ἐχθροῖς ἐναντιώματα· τούτων γὰρ ἁπάντων ἦν ἐν τοῖς ἄνω[794] χρόνοις ἐξέτασις[795], καὶ ἔδωκεν ὁ παρελθὼν χρόνος πολλὰς ἀποδείξεις ἀνδρὶ καλῷ τε κἀγαθῷ ἐν οἷς οὐδαμοῦ σὺ φανήσει γεγονώς, οὐ πρῶτος[796], οὐ δεύτερος, οὐ τρίτος, οὐ τέταρτος, οὐ πέμπτος, οὐχ ἕκτος, οὐχ ὁποστοσοῦν· οὐκουν[797] ἐπί γε οἷς ἡ πατρὶς κἀζάνετο. Τίς γὰρ συμμαχία σοῦ πράξαντος γέγονε τῇ πόλει; τίς δὲ βοήθεια, ἢ κτῆσις εὐνοίας ἢ δόξης; τίς δὲ πρεσβεία; τίς διακονία, δι' ἣν ἡ πόλις ἐντιμοτέρα γέγονε; τί τῶν οἰκείων, ἢ τῶν Ἑλληνικῶν καὶ ξενικῶν, οἷς ἐπέστης, ἐπηνώρθωταί διὰ σέ; ποῖαι τριήρεις; ποῖα βέλη; ποῖοι νεώσοικοι; τίς ἐπισκευὴ τειχῶν; ποῖον ἱππικόν; τί[798] τῶν ἁπάντων σὺ χρήσιμος γέγονας; τίς ἢ τοῖς εὐπόροις, ἢ τοῖς ἀπόροις πολιτικὴ καὶ κοινὴ βοήθεια χρημάτων παρὰ σοῦ; οὐδεμία. Ἀλλ', ὦ τᾶν[799], εἰ μηδὲν τούτων, εὔνοιά γε καὶ προθυμία· ποῦ; πότε; ὅστις, ὦ πάντων ἀδικώτατε, οὐδ' ὅτε ἅπαντες, ὅσοι πώποτ' ἐρρήθησαν ἐπὶ τοῦ βήματος, εἰς σωτηρίαν ἐπεδίδοσαν[800], καὶ τὸ τελευταῖον Ἀριστόνικος τὸ συνειλεγμένον εἰς τὴν ἐπιτιμίαν ἀργύριον[801], οὐδὲ τότε οὔτε παρῆλθες, οὔτ' ἐπέδωκας οὐδέν· οὐκ ἀπορῶν· πῶς γάρ; ὅς γε κεκληρονόμηκας μὲν τῶν Φίλωνος τοῦ κηδεστοῦ χρημάτων πλειόνων ἢ πέντε ταλάντων· διτάλαντον δ' εἶχες ἔρανον δωρεὰν παρὰ τῶν ἡγεμόνων τῶν συμμοριῶν[802], ἐφ' οἷς ἐλυμήνω τὸν τριηραρχικὸν νόμον· ἀλλ' ἵνα μὴ λόγον ἐκ λόγου λέγων, τοῦ παρόντος ἐμαυτὸν ἐκκρούσω, παραλείψω ταῦτα· ἀλλ' ὅτι γε οὐχὶ δι' ἔνδειαν οὐκ ἐπέδωκας, ἐκ τούτων δῆλον, ἀλλὰ φυλάττων[803] τὸ μηδὲν ἐναντίον γενέσθαι παρὰ σοῦ τούτοις[803], οἷς ἅπαντα πολιτεύῃ.

---

792) Καθὼς νηνεμίας οὔσης ἐγείρεται αἴφνης ἄνεμος. κυριωτάτη μεταφορά. 792a) Τραχέως, εὐκρινῶς· τὸ ὁπλιον ἑρμηνεύεται ἀκριβέστερον ἐν τῷ περὶ Παραπρεσβ. λόγῳ τοῦ ῥήτορος: « Τίνα δὲ τῶν ἐν τῇ » πόλει φήσαιτ' ἂν φθέγγεσθαι μέγιστον ἁπάντων, καὶ σαφέστατ' ἂν εἰπεῖν ὅτι βούλοιτο, » λαμπρᾷ τῇ φωνῇ; Αἰσχίνην οἶδ' ὅτιτοῦτονί ». 793) Ἐννοεῖ ἴσως τὴν κατὰ τοῦ Τιμάρχου κατηγορίαν τοῦ Αἰσχίνου. 794) Τοῖς παρελθοῦσιν. 795) Εὐκαιρία πρὸς ἀπόδειξιν τούτων. 796) Κατὰ μίμησιν τοῦ χρησμοῦ. « Ὑμεῖς δ' Αἰγίδες, μήτε τρίτοι, οὔτε τέταρτοι, » Μήτε δυωδέκατοι ». 797) Ἡ ἐπανάληψις πρὸς ἐπιδιόρθωσιν διὰ τοῦ Γε. 798) (Κατὰ) τί (ἐκ) τῶν ἀπ. 799) Ἐνστασις ἐπιφερομένη καθ' ὑπόθεσιν.

800) Προσφερον εἰς σωτηρίαν τῆς πόλεως. 801) Ὀφείλων γὰρ ὡς ἔοικε, πρόστιμον, καὶ διὰ τοῦτο στερημένος τῶν πολιτικῶν του δικαιωμάτων, ἄχρις οὗ ἐκτίσῃ, κατὰ τὸν νόμον, εἶχε συλλέξῃ τὸ ἀργύριον τοῦτο παρὰ τῶν φίλων του δι' ἐράνου. Φαίνεται δὲ καὶ ἐκ τῶν ἐν τῷ περὶ Παραπρεσβ. τοῦ Αἰσχ., ὅτι ὤφειλε καὶ εἰς ἄλλας πόλεις ζημίας, εἰς τὰς ὁποίας ὑποσχεθεὶς νὰ ὑποκριθῇ (νὰ παραστήσῃ ἐπὶ θεάτρου) καὶ ὑστερήσας, κατεδικάζετο παρ' αὐτῶν εἰς πρόστιμον (ζημίαν). Ὅθεν ὁ Δημοσθένης ἔγραψε ψήφισμα ἐν τῇ βουλῇ » Ἐλέσθαι » πρέσβεις ἐπὶ τὰς πόλεις, ἐν αἷς ἔδει τὸν Ἀριστόδημον ἀγωνίζεσθαι, οἵτινες ὑπὲρ αὐτοῦ » παραιτήσωνται τὰς ζημίας », καὶ οὕτως, « ἀζήμιος ὢν, συμπρεσβεύῃ μετὰ τῶν ἄλλων ». 802) Ἴδε σημ. 234. 803) Οὐκ ἐπέδωκας, οὐκ ἀπορῶν, ἀλλὰ φ. 803) Τοῖς ἀνθρώποις.

Ἐν τίσιν οὖν σὺ νεανίας[802], καὶ πηνίκα λαμπρὸς ἡνίκ' ἂν εἴποιεν τι κατὰ τούτων[803] δέῃ· ἐν τούτοις λαμπροφωνότατος[804], μνημονικώτατος, ὑποκριτὴς ἄριστος, τραγικὸς Θεοκρίνης[805]. Εἶτα τῶν πρότερον γεγενημένων ἀνδρῶν ἀγαθῶν μέμνησαι· καὶ καλῶς ποιεῖς· Οὐ μέντοι δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πρὸς τοὺς τετελευτηκότας εὔνοιαν ὑπάρχουσαν προλαβόντα παρ' ὑμῶν, πρὸς ἐκείνους ἐξετάζειν καὶ παραβάλλειν ἐμέ, τὸν συζῶντα μεθ' ὑμῶν. Τίς γὰρ οὐκ οἶδε τῶν πάντων, ὅτι τοῖς μὲν ζῶσι πᾶσιν ὑπεζί τις ἢ πλείων ἢ ἐλάττων φθόνος; τοὺς δὲ τεθνεῶτας οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἔτι μισεῖ[806]; Οὕτως οὖν ἐχόντων τούτων τῇ φύσει[807], πρὸς τοὺς πρὸ ἐμαυτοῦ νῦν ἐγὼ κρίνωμαι[808] καὶ θεωρῶμαι; μηδαμῶς. οὔτε γὰρ δίκαιον, οὔτ' ὅσον ἐστὶν, Αἰσχίνη· ἀλλὰ πρὸς σὲ, καὶ ἄλλον, εἴ τινα βούλει, τῶν ταὐτά σοι προηρημένων καὶ ζώντων. Κἀκεῖνο σκόπει, πότερον κάλλιον καὶ ἄμεινον τῇ πόλει διὰ τὰς τῶν πρότερον εὐεργεσίας, οὔσας ὑπερμεγέθεις (οὔμενουν εἴποι τις ἂν ἡλίκας), τὰς ἐπὶ τὸν παρόντα βίον γιμνομένας, εἰς ἀχαριστίαν καὶ προπηλακισμὸν ἄγειν· ἢ πᾶσιν, ὅσοι τι μετ' εὐνοίας πράττουσι, τῆς παρὰ τούτων τιμῆς καὶ φιλανθρωπίας μετεῖναι;

Καὶ μὴν, εἰ καὶ τοῦτ' ἄρα δεῖ με εἰπεῖν, ἡ μὲν ἐμὴ πολιτεία καὶ προαίρεσις, ἂν τις ὀρθῶς σκοπῇ, ταῖς τῶν τότ' ἐπαινουμένων ἀνδρῶν ὁμοία, καὶ ταὐτὰ βουλομένη φανήσεται· ἡ δὲ σὴ, ταῖς τῶν τοὺς τοιούτους τότε συκοφαντούντων. Δῆλον γάρ, ὅτι καὶ κατ' ἐκείνους τοὺς χρόνους ἦσάν τινες, οἳ διέσυρον μὲν τοὺς ὄντας τότε, τοὺς δὲ πρότερον γεγενημένους ἐπῄνουν βάσκανον πρᾶγμα καὶ ταὐτὸ ποιοῦντές σοι. Εἶτα λέγεις, ὡς οὐδὲν ὅμοιός εἰμι ἐκείνοις ἐγὼ; σὺ δ' ὅμοιος, Αἰσχίνη; ὁ δ' ἀδελφὸς ὁ σός[811]; ἄλλος δέ τις τῶν νῦν ῥητόρων; ἐγὼ μὲν γὰρ οὐδένα φημί. Ἀλλὰ πρὸς τοὺς ζῶντας, ὦ χρηστὲ[812], ἵνα μηδὲν ἄλλο εἴπω, τὸν ζῶντα ἐξέταζε, καὶ τοὺς καθ' αὑτὸν, ὥσπερ τἄλλα πάντα τοὺς ποιητὰς, τοὺς χορούς, τοὺς ἀγωνιστάς. Ὁ Φιλάμμων[813], οὐχ ὅτι Γλαύκου τοῦ Καρυστίου[814] καὶ τινων ἑτέρων πρότερον γεγενημένων ἀθλητῶν ἀσθενέστερος ἦν, ἀστεφάνωτος ἐκ τῆς Ὀλυμπίας ἀπῄει, ἀλλ' ὅτι τῶν εἰσελθόντων πρὸς αὐτὸν ἄριστα ἐμάχετο, ἐστεφανοῦτο, καὶ νικῶν ἀνῃ-

---

805) Τολμηρός· καθὼς λέγομεν καὶ ἡμεῖς, Παλληκαρᾶς. 806) Τῶν πολιτῶν. 807) Κατὰ τοῦ ὁποίου, ὑποκριτοῦ τραγῳδιῶν καὶ συκοφάντου, ἔχει καὶ λόγον ὁ ῥήτωρ. 808) Διότι λέγει καὶ ὁ Θουκυδ. (Α', 43). « Τὸν οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν. . . Φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον· τὸ δὲ μὴ ἐμποδὼν, ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται». 809) (Ἐν τῇ φύσει. 810) (Ἐγὼ δίκαιον ἵνα) κρίνωμαι καὶ θεωρῶμαι; αὐθυποτάκτως. 811) Ὁ Αἰσχίν. εἶχε τρεῖς ἀδελφοὺς, Φιλοχάρην, Εὔνομον καὶ Ἀφόβητον· ὁ πρῶτος τούτων ἦτον, κατὰ τὸν Δημοσθ. (ἐν τῷ περὶ Παραπρεσβ.), ζωγράφος τυμπάνων καὶ ἀλαβαστροθηκῶν· ὕστερον δὲ ἐστρατεύσατο μετ' Ἰφικράτους, καὶ ἐχρατήγησε καὶ ὁ ἴδιος πολλάκις· ὁ δὲ Ἀφόβητος, ὑπογραμματεὺς κατ' ἀρχὰς, καθὼς καὶ ὁ Αἰσχ., γενόμενος ἔπειτα ἐπιστάτης τῶν προσόδων, καλῶς ἐπεμελήθη τῆς διοικήσεως, καὶ πρὸς τὸν βασιλέα τῶν Περσῶν ἐπρέσβευσεν ἀξίως τῆς πόλεως, κατὰ τὸν Αἰσχ. 812) Εἰρωνικῶς ἡ Κατ' εὐφημισμόν· ὅθεν ἐπιφέρει. « Ἵνα μηδὲν ἄλλο (ὅηλ. μοχθηρὸ, βάσκανε κτλ.) εἴπω». 813) Πύκτης Ἀθηναῖος, κατὰ τὸν Σουίδ. 814) Πύκτης καὶ οὗτος διάσημος, γεωργὸς προτοῦ, ἀλλὰ τοιαύτην ῥώμην χειρῶν ἔχων, ὥστε ἀντὶ σφύρας τῇ χειρὶ πλήττων προσήρμοζε τὴν ὕννιν τῷ ἀρότρῳ. Ὅπερ ἰδὼν ὁ πατὴρ αὐτοῦ, ἤγαγεν αὐτὸν εἰς Ὀλυμπίαν ἀγωνισόμενον. Ἐπειδὴ δὲ, ἄπειρος ὢν καὶ πληττόμενος ὑπὸ τῶν ἀνταγωνιστῶν, ἐκινδύνευεν ἀπαγορεῦσαι, ἀνεβόησεν αὐτῷ ὁ πατὴρ· Παῖε, παῖ, τὴν ἐπ' ἀρότρου. Ἐπενεγκὼν οὖν βιαιότερον, ἐνίκησε.

γορεύετο. Καὶ σὺ πρὸς τοὺς νῦν ὅρα με ῥήτορας, πρὸς σαυτὸν, πρὸς ὁντινα βούλει τῶν ἁπάντων· οὐδενὶ ἐξίσταμαι[815]. ὧν, ὅτε μὲν τῇ πόλει τὰ βέλτιστα ἐλέσθαι παρῆν, ἐφαμίλλου τῆς εἰς τὴν πατρίδα εὐνοίας ἐν κοινῷ πᾶσι κειμένης, ἐγὼ τὰ κράτιστα λέγων ἐφαινόμην, καὶ τοῖς ἐμοῖς ψηφίσμασι καὶ νόμοις καὶ πρεσβείαις ἅπαντα διῳκεῖτο· ὑμῶν δὲ οὐδεὶς ἦν οὐδαμοῦ, πλὴν εἰ τούτοις[816] ἐπηρεάσαι τι δέοι· ἐπειδὴ δὲ, ἃ μήποτ' ὤφελε, συνέβη, καὶ οὐκέτι συμβούλων, ἀλλὰ τῶν τοῖς ἐπιταττομένοις[817] ὑπηρετούντων, καὶ τῶν κατὰ τῆς πατρίδος μισθαρνεῖν ἑτοίμων, καὶ τῶν κολακεύειν ἑτέρους βουλομένων ἐξέτασις[795] ἦν, τηνικαῦτα σὺ, καὶ τούτων[818] ἕκαστος ἐν τάξει[819], καὶ μέγας, καὶ λαμπρὸς ἱπποτρόφος[820]· ἐγὼ δ' ἀσθενὴς, ὁμολογῶ, ἀλλ' εὔνους μᾶλλον ὑμῶν τουτοισί.

Δύο δ', ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα, τὸν φύσει μέτριον πολίτην ἔχειν δεῖ (οὕτω γάρ μοι περὶ ἐμαυτοῦ λέγοντι, ἀνεπιφθονώτατον εἰπεῖν)· ἐν μὲν ταῖς ἐξουσίαις, τὴν τοῦ γενναίου καὶ τὴν τοῦ πρωτείου τῇ πόλει προαίρεσιν διαφυλάττειν, ἐν παντὶ δὲ καιρῷ καὶ πράξει, τὴν εὔνοιαν. τούτου γὰρ ἡ φύσις[821] κυρία· τοῦ δύνασθαι δὲ καὶ ἰσχύειν ἕτερα[822]. Ταύτην[823] τοίνυν παρ' ἐμοὶ μεμενηκυῖαν εὑρήσετε ἁπλῶς. Ὁρᾶτε δὲ· οὐκ ἐξαιτούμενος[824], οὐκ Ἀμφικτυονικὰς δίκας[825] ἐπαγόντων μοι, οὐκ ἀπειλούντων, οὐκ ἐπαγγελλομένων, οὐ τοὺς καταράτους τούτους ὥσπερ θηρία μοι προσβαλλόντων, οὐδαμῶς προὐδέδωκα ἐγὼ τὴν εἰς ὑμᾶς εὔνοιαν. τὸ[826] γὰρ ἐξ ἀρχῆς εὐθὺς ὀρθὴν καὶ δικαίαν τὴν ὁδὸν τῆς πολιτείας εἱλόμην, τὰς τιμὰς, τὰς δυναστείας, τὰς εὐδοξίας τὰς τῆς πατρίδος θεραπεύειν, ταύτας αὔξειν, μετὰ τούτων εἶναι· οὐκ ἐπὶ μὲν τοῖς ἑτέρων εὐτυχήμασι[827] ψαιδρὸς ἐγὼ καὶ γεγηθὼς κατὰ τὴν ἀγορὰν περιέρχομαι, τὴν δεξιὰν προτείνων, καὶ εὐαγγελιζόμενος τούτοις, οὓς ἂν ἐκεῖσε[828] ἀπαγγέλλειν οἴωμαι· τῶν δὲ τῆς πόλεως ἀγαθῶν πεφρικὼς ἀκούω, καὶ στένων, καὶ κύπτων εἰς τὴν γῆν, ὥσπερ οἱ δυσσεβεῖς οὗτοι, αἳ τὴν μὲν πόλιν διασύρουσιν, ὥσπερ οὐχ αὐτοὺς διασύροντες, ὅταν τοῦτο ποιῶσιν, ἔξω δὲ βλέπουσι, καὶ ἐν εἴ τις ἀτυχησάντων τῶν Ἑλλήνων εὐτύχησεν ἕτερος[829], ταῦτ' ἐπαινοῦσι, καὶ ὅπως τὸν ἅπαντα χρόνον διαμενεῖ, φασὶ δεῖν τηρεῖν.

Μὴ ὀῆτ', ὦ πάντες θεοὶ[830], μηδεὶς ταῦθ'[831] ὑμῶν ἐπινεύσειεν· ἀλλὰ μάλιστα μὲν καὶ τούτοις[832] βελτίω τινὰ νοῦν καὶ φρένας ἐνθείητε· εἰ δ' ἄρ' ἔχουσιν οὕτως ἀνιάτως, τούτους μὲν αὐτοὺς καθ' ἑαυτοὺς ἐξώλεις καὶ προώλεις[833] ἐν γῇ καὶ θαλάττῃ ποιήσαιτε· ἡμῖν δὲ τοῖς λοιποῖς τὴν ταχίστην ἀπαλλαγὴν τῶν ἐπηρτημένων φόβων[834] δότε, καὶ σωτηρίαν ἀσφαλῆ.

---

815) Ὑποχωρῶ. 816) Τοῖς πολίταις ἢ τοῖς ὑπ' ἐμοῦ πραττομένοις. 817) Ὑπὸ τοῦ νικήσαντος. 818) Τῶν συντρόφων σου. 819) Εἰς τὴν θέσιν του, ἀπὸ μεταφορᾶς τῶν στρατιωτῶν. 820) Δηλαδὴ μεγαλοπρεπής. 821) Ἡ τοῦ διαφυλάξοντος. 822) (ἐνν.) Εἰσὶ κύριαι, ἡ τύχη δηλ. ἢ ὁ θεός. 823) Τὴν εὔνοιαν. 824) Ὑπὸ τοῦ Φιλίππου καὶ τοῦ Ἀλεξάνδρου ὕστερον. 825) Τὰς περὶ τοῦ Κιρραίου πεδίου. 826) Τὸ Τὸ παρέλκει, ὅθεν καὶ γράφεται καθὼς ὅλα τὰ τοιαῦτα, ὑφ' ἓν: Τοῦ ἀρχῆς. 827) Ἄλλων παρὰ τῶν συμπολιτῶν μου, ἐννοεῖ δὲ τοὺς Μακεδόνας. 828) Εἰς Μακεδονίαν. 829) Ἐννοεῖ τὸν Ἀλέξανδρον, νικήσαντα τοὺς Θηβαίους. 830) Ἀπ' εὐχῆς καὶ προοιμιάσατο, καὶ εἰς εὐχὴν συμπεραίνει τὸν λόγον. 831) (Εἰς) ταῦθ'. 832) Τοῖς ἐναντίοις. 833) Ἴδε τὸ Λεξ. 834) Διότι ἐπαπειλεῖτο ὁ ἀπὸ τῶν Μακεδόνων πόλεμος, τὸν ὁποῖον καὶ δὲν ἀπέφυγον τέλος πάντων οἱ Ἀθηναῖοι.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΟΛΥΝΘΙΑΚΟΣ Γ'.

Ἡ Ὄλυνθος, πόλις Ἑλληνικὴ ἐν Θράκῃ, πολεμουμένη ὑπὸ Φιλίππου, ἐζήτησε βοήθειαν τῶν Ἀθηναίων, οἵτινες ἐξεστράτευσαν κατὰ προτροπὴν τοῦ Δημοσθένους, καὶ ἐπιτυχόντες κατά τι, ἤρχισαν νὰ ἐπαίρωνται διὰ τὰς νίκας των. Τὴν ἔπαρσιν ταύτην θέλων νὰ καταστείλῃ διὰ τοῦ παρόντος λόγου ὁ Δημοσθένης, παρακινεῖ τοὺς Ἀθηναίους νὰ προπαρασκευασθῶσι διὰ τὸν πόλεμον.

ΘΥΧΙ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν[1], ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω, καὶ ὅταν πρὸς τοὺς λόγους[2], οὓς ἀκούω. Τοὺς μὲν γὰρ λόγους περὶ τοῦ τιμωρήσασθαι Φίλιππον ὁρῶ γιγνομένους[3]· τὰ δὲ πράγματα εἰς τοῦτο προήκοντα[4], ὥστε ὅπως μὴ πεισόμεθα[5] αὐτοὶ πρότερον κακῶς σκέψασθαι δέον. Οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες[6], ἢ τὴν ὑπόθεσιν περὶ ἧς βουλεύεσθε, οὐχὶ τὴν οὖσαν[7] παριστάντες ὑμῖν, ἁμαρτάνειν. Ἐγὼ δ' ὅτι μὲν ποτ' ἐξῆν[8] τῇ πόλει καὶ τὰ αὑτῆς ἔχειν ἀσφαλῶς καὶ Φίλιππον τιμωρήσασθαι, καὶ μάλα ἀκριβῶς οἶδα· ἐπ' ἐμοῦ γὰρ, οὐχὶ πάλαι γέγονε ταῦτα ἀμφότερα[8]· νῦν μέν τοι πέπεισμαι τοῦθ' ἱκανὸν προλαβεῖν ἡμῖν εἶναι τὴν πρώτην[10], ὅπως τοὺς συμμάχους σώσομεν. Ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις ἐκεῖνον ἐξέσται σκοπεῖν. Πρὶν δὲ τὴν ἀρχὴν[11] ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντινοῦν ποιεῖσθαι λόγον.

Ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες Ἀθηναῖοι, εἴπερ ποτὲ, καὶ νῦν[12] πολλῆς φροντίδος καὶ βουλῆς δεῖται. Ἐγὼ δὲ οὐχ ὅ,τι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι χαλεπώτατον ἡγοῦμαι, ἀλλ' ἐκεῖν' ἀπορῶ, τίνα χρὴ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς περὶ αὐτῶν εἰπεῖν. Πέπεισμαι γὰρ, ἐξ ὧν παρὼν καὶ ἀκούων[13] σύνοιδα, τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι[14] τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν οὐ τῷ μὴ συνιέναι. Ἀξιῶ δὲ ὑμᾶς, ἂν μετὰ παῤῥησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, τοῦτο[15] θεωροῦντας, εἰ τἀληθῆ λέγω, καὶ διὰ τοῦτο, ἵνα τὰ λοιπὰ[16] βελτίω γένηται.

---

[1]) Ἐπέρχεταί μοι φρονεῖν. [2]) Τῶν δημαγωγῶν. [3]) Οἱ δημαγωγοὶ ἔλεγον ὅτι ἀφ' οὗ ἦδη ἐνίκησαν οἱ Ἀθηναῖοι, τοῖς ἔμενε μόνον νὰ τιμωρήσωσι τὸν Φ. [4]) Εἰς τοιαύτην κατάστασιν καταντήσαντα. [5]) Μήπως ἡμεῖς κακοπάθωμεν. Τὸ ὅπως ἀπὸ σκεπτικῶν ῥημάτων εἰς μέλλοντα. [6]) Ἁμαρτάνειν κατ' οὐδὲν ἄλλο, ἢ παριστάντες. [7]) Ὄχι ὁποία εἶναι. [8]) Κατ' ἀρχὰς τῶν προοδων τοῦ Φιλίππου, ὅταν ἐσυμβουλευεν ὁ Δημοσθένης νὰ τὸν ἀποκρούσωσι. [9]) Τὸ ἐξεῖναι τιμωρήσασθαι, καὶ ἐξεῖναι ἔχειν ἀσφαλῶς. [10]) Ὅτι μᾶς ἀρκεῖ νὰ προφθάσωμεν (ὡς ἐπὶ δρομέων) νὰ κατορθώσωμεν ἐν πρώτοις τὸ νὰ σώσωμεν τοὺς σ. [11]) Ἀρχὴν θεωρεῖ τῶν συμμάχων τὴν σωτηρίαν. Ὑποθέσθαι δὲ, ὡς θεμέλιον θέσθαι. [12]) Εἴπερ ἐδεήθη ποτὲ, δεῖται καὶ νῦν ἔτι μᾶλλον. [13]) Παρὼν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκούων τοὺς δημηγοροῦντας. [14]) Ὅτι εἰς τὰς πλείστας ὑποθέσεις δὲν ἐνηργήσατε ὅ,τι ἢ ὡς ἔδει. [15]) Τὸ εἰ λέγω. [16]) Ὑμέτερα πράγματα.

Ὁρᾶτε γάρ, ὡς ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν ἐνίους[17] εἰς πᾶν προελήλυθε μοχθηρίας[18] τὰ παρόντα πράγματα. Ἀναγκαῖον δὲ ὑπολαμβάνω μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι.

Μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτ' ἀπηγγέλθη Φίλιππος ὑμῖν ἐν Θράκῃ, τρίτον ἢ τέταρτον ἔτος τουτί[19], Ἡραῖον τεῖχος[20] πολιορκῶν. Τότε τοίνυν μὴν μὲν ἦν Μαιμακτηριών[21]· πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ὑμῖν, ἐψηφίσασθε τετταράκοντα τριήρεις καθέλκειν[22], καὶ τοὺς μέχρι πέντε καὶ τετταράκοντα[23] ἐτῶν αὐτοὺς ἐμβαίνειν, καὶ τάλαντα ἑξήκοντα εἰσφέρειν[24]. Καὶ μετὰ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου[25], Ἑκατομβαιὼν Μεταγειτνιὼν, Βοηδρομιὼν[26]· τούτου τοῦ μηνὸς μόλις, μετὰ τὰ μυστήρια[27], δέκα ναῦς ἀπεστείλατε ἔχοντα Χαρίδημον[28] κενὰς, καὶ πέντε τάλαντα ἀργυρίου[29]. ὡς γὰρ ἠγγέλθη Φίλιππος ἀσθενῶν ἢ τεθνεώς[30] (ἦλθε γὰρ ἀμφότερα[31]), οὐκέτι καιρὸν οὐδένα[32] τοῦ βοηθεῖν νομίσαντες, ἀφήκατε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ἀπόστολον[33]. Ἦν δ' οὗτος ὁ καιρὸς αὐτός[34]· εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, ὥσπερ ἐψηφισάμεθα, προθύμως, οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ Φίλιππος [τότε] σωθείς. Τὰ μὲν δὴ τότε πραχθέντα οὐκ ἂν ἄλλως ἔχοι[35]· νῦν δ' ἑτέρου πολέμου καιρὸς ἥκει. Τίς οὗτος; ὃν[36] καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. Τί δὴ χρησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τούτῳ[37]; εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει κατὰ τὸ δυνατὸν, θεάσασθε ὃν τρόπον ὑμεῖς ἐστρατηγηκότες ἔσεσθε[38] πάντα ὑπὲρ Φιλίππου.

Ἦν ὑπῆρχον Ὀλύνθιοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ' οὕτω τὰ πράγματα· οὔτε Φίλιππος ἐθάρρει τούτους[39], οὔθ' οὗτοι Φίλιππον. Ἐπράξαμεν ἡμεῖς[40] κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην· ἣν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ Φιλίππῳ καὶ δυσχερὲς, πόλιν μεγάλην[41] ἐφορμεῖν[42] τοῖς ἑαυτοῦ καιροῖς διηλ-

---

17) Ἐπειδή τινες δημηγοροῦντες λέγουσιν ὅσα σᾶς ἀρέσκουσι, καὶ ὄχι ὅσα σᾶς ὠφελοῦσι. 18) Εἰς ἐσχάτην μοχθηρίαν, διαφθοράν. 19) Τοῦτ' ἐχει τρίτον ἔτος ἀφ' ὅτου ἀπηγγ., δηλ. σᾶς ἠγγέλθη πρὸ τριῶν ἐτῶν. 20) Φρούριον τῆς Θράκης. 21) Ἀντιστοιχεῖ εἰς τὸν Σεπτέμβριον καὶ Ὀκτώβριον. 22) Ἐκ τῶν νεωρίων, ὡς παρ' ἡμῖν· νὰ καταιβάσητε. 23) Ὁ νόμος τοὺς ὑπερέρου νὰ στρατεύωσιν ἀπὸ 18 μέχρι 40 ἐτῶν. Τότε δὲ διὰ τὸ κατεπεῖγον ἀπεφάσισαν νὰ ἐκστρατεύσωσι καὶ αὐτοὶ οἱ μέχρι τῶν 45. 24) Νὰ συνεισφέρητε, δηλ. νὰ γίνῃ συνεισφορὰ μεταξὺ τῶν πολιτῶν. Τὸ δὲ τάλαντον = 6000 Δρ. 25) Ὁ ἐνιαυτὸς ἔληγε περὶ τὰ μέσα τοῦ Ἰουνίου. 26) Διῆλθον ἀκόμη. Εἶναι δὲ οὗτοι οἱ ἑφεῖς πρῶτοι μῆνες τοῦ ἑπομένου ἐνιαυτοῦ, μέχρι μέσων Σεπτεμβρίου. 27) Ἴσως τὰ Βοηδρόμια, ἢ πιθανώτερον τὰ Ἐλευσίνια. 28) Στρατηγὸς ἐξ Ὠρεοῦ τῆς Εὐβοίας, ἐξοριαθεὶς μετὰ ταῦτα εἰς Περσίαν κατ' αἴτησιν τοῦ Ἀλεξάνδρου, καὶ φονευθεὶς ἀπὸ τοὺς Πέρσας. 29) Δηλ. μετὰ τόσας παρασκευὰς καὶ τόσον καιρὸν μόλις ἐστείλατε τόσην εὐτελῆ βοήθειαν. 30) Ὡς ἠγγέλθη, ἀφήκατε. Εἰς τὴν πολιορκίαν τῆς ἐν Πιερίᾳ Μεθώνης εἶχε πληγωθῇ ὁ Φίλιππος εἰς τὸν ὀφθαλμόν. 31) Τὰ ἀγγέλματα τῆς ἀσθενείας καὶ τοῦ θανάτου. 32) Νομίσαντες ὅτι δὲν ἦτον πλέον καιρός. 33) Τὸν στόλον, τὴν ἐκστρατείαν. 34) Ἐξ ἐναντίας αὐτὸς μάλιστα ἦτον ὁ καιρὸς εἰς τὸν ὁποῖον ἔπρεπε νὰ βοηθήσετε. 35) Ὅ,τι ἔγινεν, ἔγινε. 36) Τίς ἐστιν οὗτος ὁ καιρὸς ἢ ὁ πόλεμος; ἐκεῖνός ἐστι δι' ὃν. 37) Πῶς θὰ μεταχειρισθῶμεν αὐτὸν τὸν καιρόν; Ἡ δὲ ἀπόκρισις ὑπεννοεῖται: βοηθοῦντες. Εἰ γὰρ μὴ βοηθήσητε... ἡ στικτέον. Τί δή; χρησόμεθα: Τί δὴ ποιήσομεν; (νὰ ὠφεληθῶμεν ἀπὸ) τὸν καιρὸν τοῦτον; καὶ ἡ ἐννοουμένη ἀπόκρισις· ναί, χρησόμεθα. 38) Ἰδέτε κατὰ ποῖον τρόπον ὅλη ἡ στρατηγικὴ σας θέλει ὠφελήσει μόνον τὸν Φίλιππον. 39) Ἀντ. ἀνεῖ: ἐθάρρει ἐπὶ τούτους ἐπελθεῖν. 40) Πρὸς ἐκείνους, καὶ ἐκεῖνοι ἔπραξαν πρὸς ἡμᾶς. 41) Τὴν Ὄλυνθον. 42) Ἐφεδρεύειν. Νὰ καιροφυλακτῇ τοὺς καιρούς, τὰς περιστάσεις του.

λαγμένην πρὸς ἡμᾶς. Ἐκπολεμῶσαι[45] δεῖν ᾠόμεθα τοὺς ἀνθρώπους[46] ἐκ παντὸς τρόπου καὶ ὃ πάντες ἐθρύλλουν τέως, τοῦτο πέπρακται νυνὶ ὁπωσδήποτε[47]. Τί οὖν ὑπόλοιπον, ὦ ἄνδρες Ἀθηναῖοι, πλὴν βοηθεῖν ἐρρωμένως καὶ προθύμως; ἐγὼ μὲν οὐχ ὁρῶ[48]. χωρὶς γὰρ τῆς περιστάσης ἂν ἡμᾶς αἰσχύνης[49], εἰ καθυφείμεθά τι τῶν πραγμάτων, οὐδὲ τὸν φόβον, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν ὁρῶ τὸν (τῶν) μετὰ ταῦτα[50], ἐχόντων[51] μὲν ὡς ἔχουσι[52] Θηβαίων ἡμῖν, ἀπειργκότων[53] δὲ χρήμασι Φωκέων, μηδενὸς ὄντος Φιλίππῳ, τὰ παρόντα[54] καταστρεψαμένῳ, πρὸς ταῦτα[55] ἐπικλίναι τὰ πράγματα. Ἀλλὰ μὴν εἴτις ὑμῶν εἰς τοῦτο[56] ἀναβάλλεται ποιήσειν τὰ δέοντα, ἰδεῖν[57] ἐγγύθεν βούλεται τὰ δεινά, ἐξὸν[58] ἀκούειν ἄλλοθι γιγνόμενα, καὶ βοηθοὺς ἑαυτῷ ζητεῖν[59], ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν. ὅτι [μὲν] γὰρ εἰς τοῦτο περιστήσεται τὰ πράγματα, ἐὰν τὰ παρόντα προώμεθα, σχεδὸν ἴσμεν ἅπαντες δήπου.

Ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἶποι τις ἂν[60], πάντες ἐγνώκαμεν, καὶ βοηθήσομεν· τὸ δὲ ὅπως, τοῦτο λέγε. Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, θαυμάσητε, ἂν παράδοξον εἴπω τι τοῖς πολλοῖς[60]. Νομοθέτας[61] καθιστᾶτε. Ἐν δὲ[62] τούτοις τοῖς νομοθέταις, μὴ θῆσθε νόμον μηδένα[63] (εἰσὶ γὰρ ὑμῖν ἱκανοὶ[63]), ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς λύσατε· λέγω δὲ τοὺς περὶ τῶν θεωρικῶν[65], σαφῶς οὕτωσι[66], καὶ τοὺς περὶ τῶν στρατευομένων ἑνίους· ὧν οἱ μὲν[67], τὰ στρατιωτικὰ[68] τοῖς οἴκοι μένουσι διανέμουσι θεωρικά· οἱ δὲ[70], τοὺς ἀτακτοῦντας[71] ἀθώους καθιστᾶσιν· εἶτα καὶ τοὺς τὰ δέοντα ποιεῖν βουλομένους ἀθυμοτέρους ποιοῦσιν. Ἐπειδὰν δὲ ταῦτα[72] λύσητε, καὶ τὴν τοῦ τὰ βέλτιστα λέγειν ὁδὸν παράσχητε ἀσφαλῆ[73], τηνικαῦτα τὸν γράψοντα, ἃ πάντες ἴστε ὅτι συμφέρει, ζητεῖτε. Πρὶν δὲ ταῦτα πρᾶξαι, μὴ

45) Νὰ καταστήσωμεν πολεμίους. 46) Τοὺς Ὀλυνθίους πρὸς τὸν Φίλιππον. 47) Δὲν ἐξετάζω ἐκ ποίας περιστάσεως. 48) Τί ἄλλο ὑπόλοιπον; 49) Ἐκτὸς τῆς αἰσχ. εἰς τὴν ὁποίαν ἠθέλαμεν κατανήσει. 50) Παραμελοῦμεν. 51) Τὸν περὶ τοῦ μέλλοντος.

52) Διακειμένων. 53) Ἐχθρικῶς. 54) Ἀπαγορεύω. Ἀταυδησάντων, ἐξαντληθέντων τῶν Φωκέων (μεθ' ὧν συνεμάχουν τότε οἱ Ἀθ.) ὡς πρὸς τὰ χρήματα. Οἱ Φωκεῖς εἶχον κυριεύσει τοὺς θησαυροὺς τοῦ ἐν Δελφοῖς ναοῦ καὶ ἐπολέμουν τὸν Φιλ., ἀλλ' οἱ θησαυροὶ αὐτοὶ εἶχον ἤδη ἐξαντληθῆ. 55) Τὴν Ὀλυνθον καὶ τὴν δύναμιν αὐτῆς. 56) Νὰ στρέψῃ τὰ πράγματα πρὸς ταῦτα, πρὸς τὰς Ἀθήνας. 57) Ἕως ὅτου. νὰ στραφῇ ὁ Φ. καθ' ἡμῶν.

58) Ἐκεῖνος θέλει νὰ ἰδῇ. 57) Ἐν ᾧ τώρα εἶναι δυνατὸν ὄχι νὰ βλέπωμεν ἐγγύς μας τὰ δεινά, ἀλλὰ νὰ ἀκούωμεν μόνον μακρόθεν τί γίνεται εἰς ξένα μέρη. 58) Οὔτος βούλεται ζητεῖν. 59) Ἠμπορεῖ νὰ μὲ ἀποκριθῇ κανείς. 60) Παράδοξον τοῖς πολλοῖς, εἰς τοὺς περισσοτέρους. 61) Οἱ Ἀθηναῖοι διώριζον ἀπὸ καιρὸν εἰς καιρὸν ἐπιτροπάς, αἵτινες εἰς κατεπειγούσας περιστάσεις ἐπρότεινον παραδοχὴν νέων τινῶν νόμων, ἢ καταργησίν τινων τῶν κειμένων. Τούτους ὠνόμαζον νομοθέτας. 62) Ἴσ. Δή. 63) Μὴ ψηφίσητε νέον τινὰ νόμον.

64) Νόμοι. 65) Ἐκ τῶν δημοσίων χρημάτων ἐδίδοντο ἀνὰ 2 ὀβολοὶ εἰς ἕκαστον πένητα, διὰ νὰ πληρώνῃ τὴν εἰς τὸ θέατρον εἴσοδόν του. Μετὰ δὲ τὴν ὑποταγὴν τῶν Ἀθηναίων εἰς τὴν Σπάρτην καὶ τὴν ἐξοχρείωσιν αὐτῶν, ἀπεφασίσθη ὅλα τὰ δημόσια χρήματα νὰ διανέμωνται διὰ τὰς πανηγύρεις καὶ τὰ θέατρα, καὶ ταῦτα ἐκαλοῦντο θεωρικά.

66) Τὸ λέγω σαφῶς, καὶ ἀψηφῶν δηλ. τὴν ποινήν· διότι εἶχε τεθῇ ποινὴ θανάτου δι' ὅντινα ἤθελε προτείνει τὰ θεωρικὰ αὐτὰ χρήματα νὰ χρησιμεύσωσιν εἰς ἄλλον σκοπόν.

67) Περὶ θεωρ. 68) Χρήματα. 69) Ὡς θεωρικά. 70) Περὶ στρατευομένων.

71) Λειποτακτοῦντας, τοὺς ἐγγεγραμμένους μὲν εἰς τοὺς καταλόγους, ἀλλὰ μὴ παρευρισκομένους εἰς τὰς τάξεις των. 72) Δηλ. τὸν νόμον τὸν ἀπαγορεύοντα τὸ προτείνειν περὶ τῶν ἀντικειμένων τούτων. 73) Δηλ. ἀκυρώσητε τὸν νόμον τὸν ἐπιβάλλοντα θάνατον εἰς τὸν προτείνοντα περὶ ἄλλης χρήσεως τῶν θεωρικῶν.

σκοπεῖτε, τίς εἰπὼν τὰ βέλτιστα ὑπὲρ ὑμῶν, ὑφ' ὑμῶν ἀπολέσθαι βουλήσεται· οὐ γὰρ εὑρήσετε· ἄλλως τε καὶ τούτου μόνου περιγίγνεσθαι μέλλοντος[74], τοῦ παθεῖν ἀδίκως τι κακὸν τὸν ταῦτ' εἰπόντα καὶ γράψαντα, μηδὲν δ' ὠφελῆσαι τὰ πράγματα, ἀλλὰ καὶ εἰς τὸ λοιπὸν, μᾶλλον ἔτι ἢ νῦν, τὸ τὰ βέλτιστα λέγειν φοβερώτερον ποιῆσαι[75]. Καὶ λύειν γε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς νόμους δεῖ τούτους [τοὺς] αὐτοὺς ἀξιοῦν[76], οἵπερ καὶ τεθείκασιν. οὐ γὰρ ἐστι δίκαιον, τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαψε τὴν πόλιν, τοῖς τότε θεῖσιν ὑπάρχειν τὴν δ' ἀπέχθειαν, ὅι ἧς ἂν ἅπαντες ἄμεινον πράξαιμεν[77], τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γενέσθαι[78]. Πρὶν δὲ ταῦτα εὐτρεπίσαι[79], μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι, μηδένα ἀξιοῦτε τηλικοῦτον[80] εἶναι παρ' ὑμῖν, ὥστε τοὺς νόμους τούτους παραβάντα μὴ δοῦναι δίκην, μηδ' οὕτως ἀνόητον, ὥστε εἰς προῦπτον[81] κακὸν αὑτὸν ἐμβαλεῖν.

Οὐ μὴν οὐδ' ἐκεῖνό γ' ὑμᾶς ἀγνοεῖν δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ψήφισμα οὐδενὸς ἄξιόν ἐστιν[82], ἂν μὴ προσγένηται[83] τὸ ποιεῖν ἐθέλειν τὰ γε δόξαντα προθύμως ὑμᾶς[84]. εἰ γὰρ αὐτάρκη[85] τὰ ψηφίσματα ἦν, ἃ ὑμᾶς ἀναγκάζειν ἃ προσῆκε πράττειν, ἢ περὶ ὧν γράφει διαπράξασθαι[86], οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι, μικρὰ[87], μᾶλλον δ' οὐδὲν, ἐπράττετε τούτων, οὔτε Φίλιππος τοσοῦτον ὑβρίκει χρόνον· πάλαι γὰρ ἂν, ἕνεκά γε ψηφισμάτων, ἐδεδώκει δίκην. Ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει. τὸ γὰρ πράττειν, τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστι[88]. Τοῦτ' οὖν δεῖ προσεῖναι[89], τὰ δ' ἄλλα ὑπάρχει. καὶ γὰρ εἰπεῖν τὰ δέοντα παρ' ὑμῖν εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι, δυνάμενοι[90], καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ ῥηθέντα, καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν ὀρθῶς ποιῆτε[91].

Τίνα γὰρ χρόνον, ἢ τίνα καιρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ παρόντος βελτίω ζητεῖτε; ἢ πότε ἃ δεῖ πράξετε, εἰ μὴ νῦν; Οὐχ ἅπαντα μὲν ἡμῶν τὰ χωρία[92] προείληφεν ἄνθρωπος[93]· εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας γενήσεται, πάντων αἴσχιστα πεισόμεθα; Οὐχ οὕς, εἰ πολεμήσαιεν[94], ἑτοίμως σώσειν ὑπισχνούμεθα, οὗτοι νῦν πολεμοῦνται; Οὐκ ἐχθρός[95]; Οὐκ ἔχων τὰ

---

74) Ἐνῷ τὸ μόνον κέρδος θέλει εἶσθαι νὰ πάθῃ ὁ ταῦτα εἰπών. 75) Διότι οἱ λοιποὶ ἔχοντες τὸ παράδειγμα τοῦ παθόντος, θέλουν ἔτι μᾶλλον φοβεῖσθαι νὰ συμβουλεύωσι.

76) Δεῖ ἀξιοῦν λύειν αὐτοὺς τούτους, αὐτοὶ ἐκεῖνοι νὰ τοὺς λύσωσιν, οἵτινες καὶ τοὺς ἔθεσαν. Ὁ δὲ Βήκκ. ἔγραψεν ὀρθότερον: Τοὺς νόμους δεῖ τούτους τοὺς αὐτούς. Ἔθεσε δὲ τὸν περὶ θεωρικῶν ὁ Εὔβουλος, καὶ θέλει ὁ Δημοσθένης αὐτὸς ὁ ἴδιος νὰ τὸν λύσῃ, ὥστε ἐπ' αὐτὸν νὰ πέσῃ ἡ τιμωρία, ἂν ἀπεφασίζετο τυχὸν τοῦ νόμου ἡ ἐφαρμογή. 77) Ἠθέλαμεν μᾶλλον εὐτυγήσει. 78) Ἡ ἀπέχθεια κατὰ τῆς μεταβολῆς τοῦ νόμου νὰ ἀποβῇ εἰς ζημίαν τῷ εἰπόντι. 79) Πρὶν βάλετε αὐτὰ εἰς τάξιν. 80) Τόσον ἰσχυρόν. Ποῖος μεταξύ σας εἶναι τόσον ἰσχυρὸς, ὥστε παραβὰς τοὺς νόμους τούτους νὰ μὴ φεθῇται ὅτι θὰ τιμωρηθῇ.

81) Πρόοπτον, πρόδηλον, 82) Τίποτε δὲν ἀξίζει. 83) Ἂν εἰς τὸ ψήφισμα δὲν προσεθῇ καὶ ἡ θέλησίς σας κτλ. 84) Τὸ ἐθέλειν ὑμᾶς ποιεῖν προθύμως τὰ δόξαντα. Δὲν ὠφελεῖ νὰ ψηφίζετε μόνον ὅτι θὰ βοηθήσετε τοὺς συμμάχους, πρέπει νὰ ἦσθε πρόθυμοι καὶ περὶ τὴν ἐκτέλεσιν. 85) Ἱκανά. 86) Νὰ κατορθώνωσι μονα των τὰ περὶ ὧν γράφουσι.

87) Τούτων. 88) Προηγοῦνται οἱ λογοι τῶν πράξεων, ἀλλ' αἱ πράξεις εἶναι τῶν λόγων σπουδαιότεραι. 89) Καὶ αὐτὸ ἀκόμη τὸ πράττειν μᾶς χρειάζεται, τὰ ἄλλα τὰ ἔχομεν.

90) Εἶσὶν οἱ δυνάμενοι. 91) Τὸ πράττειν ἐντονωτερον τοῦ ποιεῖν. Θὰ κατορθῶσητε τὰ λεγόμενα, ἂν ὀρθῶς φερθῆτε. 92) Τὰ ἐν τῇ Θράκῃ. 93) Ὁ ἄνθρωπος οὗτος, ὁ Φίλιππος.

94) Ἂν ἐκήρυττε τὸν πόλεμον κατ' αὐτῶν ὁ Φ. 95) Οὐκ ἔχει ἐχθρὸς ἡμῶν ὁ Φ.;

ἡμέτερα; Οὐ βάρβαρος; Οὐχ ὅ,τι ἂν εἴποι τις; Ἀλλὰ, πρὸς θεῶν, ἅπαντα ταῦτα ἐάσαντες, καὶ μονονουχὶ[96] συγκατασκευάσαντες αὐτῷ[97], τότε τοὺς αἰτίους, οἵτινές εἰσι, τούτων ζητήσομεν; οὐ γὰρ αὐτοὶ[98] γ' αἴτιοι φήσομεν εἶναι, σαφῶς οἶδα τοῦτ' ἐγώ· οὐδὲ γὰρ ἐν τοῖς τοῦ πολέμου κινδύνοις, τῶν φευγόντων οὐδεὶς ἑαυτοῦ κατηγορεῖ· ἀλλὰ καὶ τοῦ στρατηγοῦ, καὶ τῶν πλησίον, καὶ πάντων μᾶλλον ἥττηνται[99] ὃ ὅμως διὰ πάντας τοὺς φεύγοντας ὄφπου. μένειν γὰρ ἐξῆν τῷ κατηγοροῦντι τῶν ἄλλων· εἰ δὲ τοῦτ' ἐποίει ἕκαστος, ἐνίκων ἄν. Καὶ νῦν, οὐ λέγει τις τὰ βέλτιστα; ἀναστὰς ἄλλος εἰπάτω, μὴ τοῦτον αἰτιάσθω. Ἕτερος λέγει τις βελτίω; ταῦτα ποιεῖτε ἀγαθῇ τύχῃ[100]. Ἀλλ' οὐχ ἡδέα[101] ταῦτα; οὐκέτι τοῦθ' ὁ λέγων ἁδεκεῖ[102], πλὴν εἰ[103], οἷον[103] εὔξασθαι, παραλείπει. εὔξασθαι μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ῥᾴδιον, εἰς ταὐτὸ πάνθ' ὅσα βούλεταί τις ἀθροίσαντα ἐν ὀλίγῳ[105]· ἐλέσθαι δὲ, ὅταν περὶ πραγμάτων προτεθῇ σκοπεῖν. οὐκεθ' ὁμοίως εὔπορον, ἀλλὰ δεῖ τὰ βέλτιστα ἀντὶ τῶν ἡδέων, ἂν μὴ συναμφότερα ἐξῇ, λαμβάνειν.

Εἰ δέ τις ἡμῖν ἔχει[106] καὶ τὰ θεωρικὰ ἐᾶν[107], καὶ πόρους ἑτέρους λέγειν[108] στρατιωτικοὺς, οὐχ οὗτος κρείττων; εἶποι τις ἄν. Φημὶ ἔγωγε, εἴπερ ἐστὶν[109], ὦ ἄνδρες Ἀθηναῖοι. Ἀλλὰ θαυμάζω, εἴ τῳ ποτὲ ἀνθρώπων ἢ γέγονεν ἢ γενήσεται, ἂν τὰ παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ. Ἀλλ', οἶμαι, μέγα τοῖς τοιούτοις ὑπάρχει λόγοις ἡ παρ' ἑκάστου βούλησις[110]. Διόπερ ῥᾷστον ἁπάντων ἐστὶν αὐτὸν ἐξαπατῆσαι. ὃ γὰρ βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται· τὰ δὲ πράγματα πολλάκις οὐχ οὕτω πέφυκεν. Ὁρᾶτε οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦθ' οὕτως, ὅπως καὶ τὰ πράγματα ἐνδέχεται[111], καὶ δυνήσεσθε ἐξιέναι, καὶ μισθὸν ἕξετε. Οὔ τοι σωφρόνων οὐδὲ γενναίων ἐστὶν ἀνθρώπων, ἐλλείποντάς τι[112] δι' ἔνδειαν χρημάτων τῶν τοῦ πολέμου, εὐχερῶς τὰ τοιαῦτα ὀνείδη[113] φέρειν· οὐδ'[114] ἐπὶ μὲν Κορινθίους καὶ Μεγαρέας[115] ἁρπάσαντας τὰ ὅπλα πορεύεσθαι, Φίλιππον δ' ἐᾷν πόλεις Ἑλληνίδας ἀνδραποδίζεσθαι, δι' ἀπορίαν ἐφοδίων τοῖς στρατευομένοις.

---

96) Σχεδὸν ἅπαντα ποιήσαντες τὰ ἄλλα, πλὴν μόνου τοῦ συγκατασκευάσαι. 97) Συντελέσαντες εἰς τὴν ἐπιτυχίαν τῶν ὑποθέσεών του. 98) Ἡμεῖς αὐτοί.
99) Πάντες ἐξ αἰτίας πάντων. 100) Μὲ τὸ καλόν· ἂς εἶναι, κάμετε τοῦτο.
101) Τὰ λεγόμενα δὲν σᾶς φαίνονται εὐάρεστα; 102) Κατὰ τοῦτο δὲν πταίει πλέον ὁ λέγων, ἀλλ' αὐτὴ ἡ φύσις τῶν πραγμάτων. 103) Ἐκτὸς ἂν παρέλειψε (παρημέλησε) νὰ εὐχηθῇ, ἐν ᾧ ἔπρεπε νὰ κάμῃ τοῦτο. 104) Κ. § 439, 6'. 105) Εὔκολον εἶναι, συναθροίσας τις εἰς τὸ αὐτὸ ἐν ὀλίγῳ καιρῷ ὅσα θέλει, νὰ εὐχηθῇ νὰ ἐπιτύχῃ ὅλα αὐτὰ ὁμοῦ.
106) Δύναται. 107) Νὰ μὴ σᾶς τὰ ἀφαιρέσῃ. 108) Νὰ σᾶς προτείνῃ. 109) Βεβαίως, ἂν ὑπάρχῃ τοιοῦτός τις. 110) Ἡ θέλησις ἑκάστου εἶναι μέγα ὑποστήριγμα τῶν τοιούτων λόγων. 111) Σκοπεῖτε νὰ οἰκονομήσητε τὰς ἀνάγκας σας οὕτως, ὅπως τὰ πράγματα ἐπιδέχονται, καὶ μὲ τρόπον ὥστε νὰ ἔχητε μισθόν. Κάλλιον ὅμως νομίζω νὰ ἐκληφθῇ ὁ Καὶ συνάπτων τὸ Δυνήσεσθε πρὸς τὸ Ὁρᾶτε, ἵν' ᾖ ὁ νοῦς τοιοῦτος: Ὁρᾶτε οὖν ταῦθ' οὕτως ὅπως καὶ τὰ πρ. ἐνδέχ., καὶ (τοτε, ὅταν ὅηλ. οὕτω σκοπῆτε) καὶ ἐξιέναι δυνήσεσθε, καὶ μισθὸν ἕξετε. 112) Στερουμένους τινῶν τῶν πρὸς τὸν πόλεμον ἀναγκαίων.
113) Τὰ ἐκ τῆς ὕβρεως τοῦ Φιλίππου. 114) Οὐδ' ἔστι σωφρόνων. 115) Οἱ Μεγαρεῖς ἐκυρίευσαν μέρος τῆς Ἀττικῆς βοηθούμενοι ἀπὸ τοὺς Κορινθίους.

Καὶ ταῦτ' οὐχ ἵν' ἀπέχθωμαί τισιν ὑμῶν, τηνάλλως[116] προήρημαι λέγειν. οὐ γὰρ οὕτως ἄωρον, οὐδ' ἀτυχῆς[117] [τίς] εἰμι ἐγώ, ὥστε ἀπεχθάνεσθαι βούλεσθαι, μηδὲν ὠφελεῖν νομίζων· ἀλλὰ δικαίου πολίτου κοίνω τὴν τῶν πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος[118] αἱρεῖσθαι. καὶ γὰρ τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λέγοντας[119] ἀκούω, ὥσπερ ἴσως καὶ ὑμεῖς[120], οὓς ἐπαινοῦσι μὲν οἱ παριόντες[121] ἅπαντες, μιμοῦνται δ' οὐ πάνυ, τούτῳ τῷ ἔθει καὶ τῷ τρόπῳ τῆς πολιτείας χρῆσθαι, τὸν Ἀριστείδην ἐκεῖνον[122], τὸν Νικίαν, τὸν ὁμώνυμον ἐμαυτῷ[123], τὸν Περικλέα. Ἐξ οὗ δ'[124] οἱ διερωτῶντες ὑμᾶς οὗτοι πεφήνασι[125] ῥήτορες, Τί βούλεσθε[126]; τί γράψω; τί ὑμῖν χαρίσομαι; προπέποται[127] τῆς παραυτίκα ἡδονῆς καὶ χάριτος τὰ τῆς πόλεως πράγματα, καὶ τοιαυτὶ συμβαίνει. Καὶ τὰ μὲν τούτων[128] πάντα καλῶς ἔχει, τὰ δὲ ὑμέτερα αἰσχρῶς. Καί τοι σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἅ τις ἂν κεφάλαια[129] εἰπεῖν ἔχοι τῶν τ' ἐπὶ τῶν προγόνων ἔργων καὶ τῶν ἐφ' ὑμῶν. Ἔσται δὲ βραχὺς καὶ γνώριμος[130] ὑμῖν ὁ λόγος. οὐ γὰρ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν, ἀλλ' οἰκείοις, ὦ ἄνδρες Ἀθηναῖοι, εὐδαίμοσιν[131] ἔξεστι γενέσθαι.

Ἐκεῖνοι τοίνυν[132], οἷς οὐκ ἐχαρίζονθ' οἱ λέγοντες, οὐδ' ἐφίλουν[133] αὐτοὺς ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων[134]· πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν ἀνήγαγον[135]· ὑπῆκουε δὲ ὁ ταύτην τὴν χώραν[136] ἔχων αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβαρον Ἕλλησι· πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια αὐτοὶ στρατευόμενοι· μόνοι δὲ ἀνθρώπων κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον[137]. Ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν[138] ἦσαν τοιοῦτοι· ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτὴν θεάσασθε ὁποῖοι, ἔν τε τοῖς κοινοῖς καὶ τοῖς ἰδίοις. Δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν[139] καὶ τῶν ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων[140] ὑπερβολὴν[141] λελεῖφθαι· ἰδίᾳ δ' οὕτω σώφρονες ἦσαν καὶ σφόδρα ἐν τῷ τῆς πολιτείας ἤθει[142] μένοντες, ὥστε τὴν Ἀριστείδου καὶ τὴν Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν οἰκίαν εἴτις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν

---

116) Ματαίως. Ἴσως ἐκ τοῦ τὴν ἄλλως ἄγουσαν ὁδόν. 117) Δυσχερισμένος, ἄθλιος ἄνθρωπος. 118) Τοῦ ἀρέσκειν διὰ τῶν λόγων του. 119) Δημηγοροῦντας. 120) Ἀκούετε. 121) Οἱ ἐπὶ τοῦ βήματος παρουσιαζόμενοι. 122) Τοὺς λέγοντας (τὸν Ἀριστείδην κτλ.), οὓς ἐπαινοῦσι μὲν, μιμοῦνται δ' οὐ οἱ παριόντες, ἀκούω χρῆσθαι. 123) Τὸν στρατηγὸν Δημοσθένην. 124) Ἀφ' ὅτου. 125) Ἀνεφάνησαν. 126) Ἐρωτῶντες τί θέλετε, τί νὰ γράψωμεν διὰ νὰ σᾶς ἀρέσῃ. 127) Ἔκτοτε τὰ συμφέροντα τῆς πολεως ἐπροσφέρθησαν ὡς πρόποσις, ἐθυσιάσθησαν εἰς τὴν πρόσκαιρον ἡδονήν. 128) Τῶν ῥητόρων τὰ συμφέροντα. 129) Συγκεφαλαίωσιν. 130) Γνωστὰ πράγματα θὰ σας εἰπῶ. 131) Κ. § 419, β'. 132) Οἱ προγονοι. 133) Εἰρ. τοὺς ἠγάπων ἄλλως παρὰ οἱ νῦν λέγοντες σᾶς. 134) Ἀπὸ τοῦ Ἀριστείδου μέχρι τοῦ Πελοπ. πολέμου· ἄλλα δ' εἰκοσιοκτὼ ὅτε τῆς βίας ἐπὶ τοῦ πολέμου τούτου. 135) Τοὺς φόρους τῶν συμμάχων κατέθετον εἰς τὸν Παρθενῶνα ἐν τῇ ἀκροπόλει. 136) Τὴν Μακεδονίαν. Ὑπήκουεν... αὐτοῖς. 137) Κατέλιπον διὰ τῶν ἔργων των δόξαν ἀνωτέραν τῶν προσβολῶν τῶν φθονούντων. 138) Ὡς πρὸς τὰς ὑποθέσεις ὅλης τῆς Ἑλλάδος. 139) Κάλλη ἱερῶν, ἀντὶ Περικαλλῆ ἱερά. Ἐννοεῖ δὲ τὸν Παρθενῶνα, τὰ Προπύλαια, καὶ ὅσα ᾠκοδόμησεν ἰδίως ὁ Περικλῆς. 140) Μεταγενεστέρων. 141) Τρόπον, δύναμιν τοῦ νὰ τοὺς ὑπερτερήσῃ. 142) Δηλ. εἰς δημοκρατικὰ ἤθη.

σεμνοτέραν[145] οὖσαν. οὐ γὰρ εἰς περιουσίαν αὐτοῖς ἐπράττετο τὰ τῆς πόλεως[146], ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκαστος ᾤετο δεῖν. Ἐκ δὲ τοῦ τὰ μὲν Ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως[147] διοικεῖν, μεγάλην εἰκότως ἐκτήσαντο εὐδαιμονίαν.

Τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματα ἐκείνοις, χρωμένοις οἷς εἶπον προστάταις[146]. νυνὶ δὲ πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν[147] τῶν νῦν τὰ πράγματα ἔχει; ἆρά γε ὁμοίως καὶ παραπλησίως; [Καὶ] τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν· ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι[148], καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων[149], Θηβαίων δὲ ἀσχόλων ὄντων[150], τῶν δὲ ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων ἡμῖν ἀντιτάξασθαι, ἐξὸν[151] δ' ἡμῖν καὶ τὰ ἡμέτερα αὐτῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων δίκαια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας[152], πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀνηλώκαμεν εἰς οὐδὲν δέον, οὓς δ' ἐν τῷ πολέμῳ[153] συμμάχους ἐκτησάμεθα εἰρήνης οὔσης ἀπολωλέκασιν οὗτοι[155], ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον[154] ἠσκήκαμεν. Ἢ φρασάτω τις ἐμοὶ παρελθών, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν, ἢ παρ' ἡμῶν αὐτῶν, Φίλιππος.

Ἀλλ', ὦ τᾶν[156], εἰ ταῦτα φαύλως[158], τά γ' ἐν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει. Καὶ τί ἂν εἰπεῖν τις ἔχοι; τὰς ἐπάλξεις[157], ἃς κονιῶμεν; καὶ τὰς ὁδούς, ἃς ἐπισκευάζομεν; καὶ κρήνας; καὶ λήρους[158]; Ἀποβλέψατε δὴ πρὸς τοὺς τὰ τοιαῦτα πολιτευομένους, ὧν οἱ μὲν ἐκ πτωχῶν πλούσιοι γεγόνασιν, οἱ δ' ἐξ ἀδόξων ἔντιμοι· ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευασμένοι. Ὅσῳ[159] δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ τὰ τούτων ηὔξηται.

Τί δὴ τὸ πάντων αἴτιον τούτων, καὶ τί[160] δήποτε ἅπαντ' εἶχε καλῶς τότε, καὶ νῦν οὐκ ὀρθῶς; Ὅτι τὸ μὲν πρῶτον, καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος, δεσπότης τῶν πολιτευομένων ἦν, καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν, καὶ ἀγαπητὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινος μεταλαβεῖν[161]· νῦν δὲ τοὐναντίον· κύριοι μὲν τῶν ἀγαθῶν οἱ πολιτευόμενοι, καὶ διὰ τούτων ἅπαντα πράττεται· ὑμεῖς δ' ὁ δῆμος, ἐκνενευρισμένοι, καὶ περιῳρημένοι[162] χρήματα καὶ συμμάχους, ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε[163], ἀγαπῶντες[164]

---

145) Κατ' οὐδὲν εὐπρεπεστέραν. 146) Τὰ πράγματα τῆς πόλεως δὲν ἐνεργοῦντο πρὸς ὄφελος αὐτῶν. 147) Δηλ. ὄχι πρὸς μεγαλήτερον ὄφελος ἑαυτῶν παρὰ τῶν ἄλλων.

146) Ὑμῖν χρωμένοις ὡς προστάταις ἐκείνοις. 147) Τούτων προστατῶν. 148) Ὁρᾶτε ἅπαντες ὅσης ἐρ. ἐστὲ ἐπειλημμένοι. 149) Ἐν Λεύκτροις, ὅπου ἐνικήθησαν ὑπὸ τοῦ Ἐπαμεινώνδου. 150) Εἰς τὸν Φωκικὸν πόλεμον, περὶ οὗ ἀνωτέρω. 151) Τὴν Ἀμφίπολιν, Ἀθηναίων ἀποικίαν εἰς Θράκην, κυριευθεῖσαν ὑπὸ Φιλίππου. 152) Ἐν τῷ Πελοποννησιακῷ. 153) Αἰνίττεται τὴν ἀπόστασιν τῶν συμμάχων καὶ τὸν κληθέντα συμμαχικὸν πόλεμον, μετὰ τὸν ὁποῖον αἱ ὑποτελεῖς τῶν Ἀθηναίων πόλεις ἐκηρύχθησαν αὐτόνομοι. 154) Ὁποῖος ὁ Φίλιππος, κατ' ἄλλους δὲ ηὐξήκαμεν. 155) Ὦ οὗτος, καλὲ σύ. 156) Ἔχει. 157) Εἰρωνικῶς, διότι οἱ τότε πολιτευόμενοι περὶ τοιαῦτα μικρὰ ἠσχολοῦντο. 158) Καὶ ἄλλους τοιούτους λήρους. 159) Ὅσῳ (μέτρῳ). 160) Διατί. 161) Ἑκάστῳ τῶν ἄλλων, τῶν ἰδιωτῶν, ἦν ἀγαπητὸν μεταλαβεῖν παρὰ τοῦ δήμου τινῆς κτλ.

162) Ἀφῃρημένοι, ἐστερημένοι. 163) Περίφρασις. Θεωρεῖσθε ὡς ὑπηρέται αὐτῶν καὶ πάρεργον μέρος τῆς πολιτείας. 164) Εὐχαριστούμενοι, ἀρκούμενοι.

ἐὰν μεταδιδῶσι θεωρικῶν ὑμῖν, ἢ βοίδια[165] πέμψωσιν οὗτοι καὶ τὸ πάντων ἀνανδρότατον[166], τῶν ὑμετέρων αὐτῶν χάριν προσοφείλετε. Οἱ δ'[167], ἐν αὐτῇ τῇ πόλει καθείρξαντες[168] ὑμᾶς, ἐπάγουσιν ἐπὶ ταῦτα[169], καὶ τιθασεύουσι, χειροήθεις[170] αὐτοῖς ποιοῦντες. Ἔστι δ' οὐδέποτ', οἶμαι, μέγα καὶ νεανικὸν[171] φρόνημα λαβεῖν μικρὰ καὶ φαῦλα πράττοντας· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ [τὸ] φρόνημα ἔχειν[172]. Ταῦτα, μὰ τὴν Δήμητρα, οὐκ ἂν θαυμάσαιμι, εἰ μείζων εἰπάντι ἐμοὶ[173] γένοιτο παρ' ὑμῶν βλάβη τῶν πεποιηκότων[174] αὐτὰ γενέσθαι· οὐδὲ γὰρ παῤῥησία περὶ πάντων αἰεὶ παρ' ὑμῖν ἐστιν[175]. ἀλλ' ἔγωγε, ὅτι καὶ νῦν γέγονε[176], θαυμάζω.

Ἐὰν οὖν ἀλλὰ νῦν γ'[177] ἔτι, ἀπαλλαγέντες τούτων τῶν ἐθῶν, ἐθελήσητε στρατεύεσθαί τε καὶ πράττειν ἀξίως ὑμῶν αὐτῶν, καὶ ταῖς περιουσίαις[178] ταῖς οἴκοι ταύταις ἀφορμαῖς[179] ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσησθε, ἴσως ἂν, ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κτήσαισθε ἀγαθόν, καὶ τῶν τοιούτων λημμάτων[179] ἀπαλλαγείητε, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις[180] ἔοικε· καὶ γὰρ οὔτ' ἰσχὺν ἐκεῖνα[181] ἐντίθησιν, οὔτ' ἀποθνήσκειν ἐᾷ· καὶ ταῦτα, ἃ νέμεσθε νῦν ὑμεῖς, οὔτε τοσαῦτά ἐστιν, ὥστε ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, οὔτ' ἀπογνόντας ἄλλο τι πράττειν ἐᾷ· ἀλλ' ἔστι ταῦτα τὴν ἑκάστου ῥᾳθυμίαν ὑμῶν ἐπαυξάνοντα.

Οἰκοῦν σὺ μισθοφορὰν[182] λέγεις; φήσει τις. Καὶ παραχρῆμά γε τὴν αὐτὴν σύνταξιν ἁπάντων[183], ὦ ἄνδρες Ἀθηναῖοι· ἵνα τῶν κοινῶν ἕκαστος τὸ μέρος λαμβάνων, ὅτου δέοιτο ἡ πόλις, εἰς τοῦθ' ἑτοίμως χρήσιμον ἑαυτὸν παρέχοι. Ἔξεστιν ἄγειν ἡσυχίαν· οἴκοι μένων [εἰ] βελτίων[184], τοῦ δι' ἔνδειαν ἀνάγκη τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος· συμβαίνει τι τοιοῦτον, οἶσθ' καὶ τὰ νῦν[185]; στρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων λημμάτων[186], ὥσπερ ἐστὶ δίκαιον ὑπὲρ τῆς πατρίδος[187]. ἔστι τις ἔξω τῆς ἡλικίας[188] ὑμῶν; ὅσα οὗτος νῦν ἀτάκτως[189] λαμβάνων οὐκ ὠφελεῖ, ταῦτ' ἐν ἴσῃ τά-

165) Ὁ στρατηγὸς Χάρης, κυριεύσας μὲ ξενικὸν στράτευμα τὴν Λάμψακον καὶ τὸ Σίγειον, ἔπεμψε βόας εἰς τὰς Ἀθήνας ἐκ τῶν λαφύρων, καὶ αὐτοὶ διὰ ταῦτα τὸν ἐστεφάνωσαν. Ἐν ἄλλοις δὲ Βοηδρόμια, ᾧ προσμαρτυρεῖ ὁ Ἁρποκρατίων. 166) Ἐν ἄλλοις Ἀνδρειότατον, εἰρωνικῶς, τὸ ὁποῖον ἐσημείωσε καὶ ὁ Οὐλπιανός. 167) Ἄλλοι δὲ τῶν πολιτευομένων. 168) Δηλ. μὴ ἀφήναντές σας νὰ ἐκστρατεύητε. 169) Σᾶς παρακινοῦσιν εἰς αὐτά. 170) Ἐκ μεταφορᾶς τῶν ἀγρίων ζώων ὡς καὶ τὸ Καθείρξαντες. 171) Εὔτολμον. 172) Αὐτούς. 173) Ταῦτα εἰπόντι ἐμοί. 174) Μείζων ἐμοὶ τῶν πεποιηκότων, ἀντὶ μείζων ἐμοὶ ἢ τοῖς πεποιηκόσιν. Ἡ τοιαύτη ἀνώμαλος χρῆσις τῆς συγκριτικῆς δοτικῆς εὑρίσκεται καὶ ἀλλαχοῦ παρὰ Δημοσθένει. 175) Δηλ. δὲν εἶναι πάντοτε ἐπιτετραμμένον νὰ ὁμιλῇ τις ἐλευθέρως ἐμπρός σας. 176) Θαυμάζω μάλιστα ὅτι καὶ νῦν γέγονέ μοι (μοὶ ἐπετράπη παῤῥησία. 177) Ὁ Γε ἐλαττωτ. κἂν. 178) Τοῖς θεωρικοῖς. 179) Νὰ τὰς μεταχειρισθῆτε ὡς μέσα διὰ ν' ἀπολαύσητε τὰ ἔξω, τὰ ἐκ κατακτήσεων ἀγαθά. 179) Ν' ἀπαλλαχθῆτε νὰ μὴν ἔχετε ἀνάγκην τῶν χρημάτων, τὰ ὁποῖα τώρα λαμβάνετε, τῶν θεωρικῶν. 180) Σιτίοις διδομένοις παρὰ τῶν ἰατρῶν τοῖς ἀσθενοῦσι. Τὰ παραβάλλει δ' οὗτος διὰ τὴν εὐτέλειαν καὶ ὀλιγότητά των. 181) Τὰ σιτία. 182) Λέγεις νὰ λαμβάνωμεν μισθὸν (ὡς δοῦλοι μισθωτοὶ δηλαδή). 183) Λέγω ὅλοι νὰ λάβωσι τὴν ἰδίαν σύνταξιν, ὅσην τώρα λαμβάνουσιν ἐπὶ λόγῳ θεωρικῶν. 184) Ὅταν μένῃς οἰκαδὲ λαμβάνων τὴν σύνταξιν, βελτίων εἶ, ὡς ἀπηλλαγμένος τῆς ἀνάγκης τοῦ ποιεῖν τι αἰσχρόν. 185) Ἀνάγκη πολέμου. 186) Λαμβάνων αὐτὰ ταῦτα ὅσα καὶ τώρα ἢ ἐπὶ εἰρήνης. 187) Πρέπει νὰ συνταξιοδοτῆται ἀπὸ κοινοῦ ἡ αὐτὴ ἀπόδοσις· βελτίων εἶ. 188) Ἡλικίας ἀνωτέρας τῆς τῶν στρατευομένων.

189) Χωρὶς τινὰ τάξιν, διὰ μόνην θεωρίαν.

ξει[190] λαμβανέτω, πάντ' ἐφορῶν καὶ διοικῶν, ἃ χρὴ πράττεσθαι[191]. Ὅλως δὲ οὔτ' ἀφελὼν, οὔτε προσθεὶς, πλὴν μικρὸν τὴν ἀταξίαν ἀνελὼν, εἰς τάξιν ἤγαγον τὴν πόλιν, τὴν αὐτὴν τοῦ λαθεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ' ὅ,τι καθ' ἡλικίαν ἕκαστος ἔχει[192], καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας[193]. Οὐκ ἔστιν ὅπου[194] [τοῖς] μηδὲν ποιοῦσιν ἐγὼ τὰ τῶν ποιησόντων εἶπον ὡς δεῖ νέμειν· οὐδ' αὐτοὺς μὲν[195] ἀργεῖν καὶ σχολάζειν καὶ ἀπορεῖν[196], ὅτι δὲ οἱ τοῦ δεῖνος νικῶσι ξένοι[197], ταῦτα πυνθάνεσθαι· ταῦτα γὰρ νυνὶ γίνεται. Καὶ οὐχὶ μέμφομαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ ὑμῶν[198], ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὑπὲρ ὑμῶν αὐτῶν ἀξιῶ πράττειν ταῦτα, ἐφ' οἷς ἑτέρους τιμᾶτε, καὶ μὴ παραχωρεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἣν ἡμῖν οἱ πρόγονοι τῆς ἀρετῆς[199] μετὰ πολλῶν καὶ καλῶν καὶ μεγάλων κινδύνων κτησάμενοι κατέλιπον.

Σχεδὸν εἴρηκα, ἃ νομίζω συμφέρειν· ὑμεῖς δ' ἕλοισθε[200] ὅ,τι καὶ τῇ πόλει καὶ ἅπασι συνοίσειν ὑμῖν μέλλει.

---

190) Ἐξίσω μὲ τοὺς ἄλλους. 191) Δηλ. οἱ γεροντότεροι, ὅσοι δὲν ἐκστρατεύουσιν, ἂς πληρώνωνται διὰ νὰ ἐφορῶσι. Διὰ νὰ μὴν εἰπῇ νὰ ἀφαιρεθῇ τὸ διδόμενον ἀργύριον, τὸ ὁποῖον ἤθελε τοὺς παροξύνει, λέγει, λαμβάνετε μὲν τὰ θεωρικά, ἀλλὰ δι' αὐτὰ ὑπηρετεῖτε τὴν πατρίδα. 192) Δύναται. 193) Τίποτε, λέγει, ἐκτὸς μικρῶν πραγμάτων, δὲν σᾶς ἀφῆρεσα. Δηλ. τὰ θεωρικὰ σᾶς ἀφήνω νὰ τὰ λαμβάνετε· ἀλλὰ τὴν ἀταξίαν περὶ τὴν λῆψιν μετέβαλα εἰς τάξιν, ὥστε καθεὶς δι' αὐτῶν νὰ πράττῃ ὑπὲρ τῆς πατρίδος ὅ,τι δύναται.
194) Τοῦ λόγου μου. 195) Τοὺς πολίτας. 196) Νὰ μένωσιν ἄποροι μὴ μισθοδοτούμενοι.
197) Ξενικὰ στρατεύματα μισθοδοτούμενα ὑπὸ τὸν δεῖνα ἢ δεῖνα στρατηγὸν, οἷον ὑπὸ τὸν Χάρητα ὅστις ἐμίσθου ξένους. 198) Τὸν Χάρητα π. χ. ὅστις νικᾷ, ἔστω καὶ μὲ ξένους.
199) Παραχωρεῖν τῆς τάξεως τῆς ἀρετῆς, δηλ. τοῦ πρωτεύειν κατὰ τὴν ἀρετήν
200) Εἴθε νὰ ἐκλέξητε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Α'.

Νικηθέντας τοὺς Ἀθηναίους ὑπὸ Φιλίππου ἐνθαῤῥύνει ὁ Δημοσθένης, διδάσκων διὰ τίνων τρόπων δύνανται νὰ ὑπερισχύσωσιν. Ἐπῆρε δὲ τὸν λόγον τοῦτον τὸ 352 ἔτος Π. Χ. (Ὀλ. 107, ά.).

Εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο[1], ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν, ἐπισχὼν[2] ἂν, ἕως οἱ πλεῖστοι τῶν εἰωθότων[3] γνώμην ἀπεφήναντο εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον· εἰ δὲ μή, τότ' ἂν καὶ αὐτὸς ἐπειρώμην, ἃ γιγνώσκω, λέγειν· ἐπειδὴ δὲ περὶ ὧν πολλάκις εἰρήκασιν οὗτοι πρότερον[4], συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς, εἰκότως ἂν συγγνώμης τυγχάνειν[5]. εἰ γὰρ ἐκ τοῦ παρελθόντος χρόνου τὰ δέοντα οὗτοι συνεβούλευσαν, οὐδὲν ἂν ὑμᾶς νῦν ἔδει βουλεύεσθαι.

Πρῶτον μὲν οὖν οὐκ ἀθυμητέον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς παροῦσι πράγμασιν, οὐδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ. ὃ γάρ ἐστι χείριστον αὐτῶν ἐκ τοῦ παρελθόντος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει[6]. Τί οὖν ἐστι τοῦτο; ὅτι οὐδέν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν δεόντων ποιούντων ὑμῶν κακῶς τὰ πράγματα ἔχει. Ἔπειτοι γε, εἰ πάνθ', ἃ προσῆκε, πραττόντων οὕτως εἶχεν, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι[7].

Ἔπειτα ἐνθυμητέον, καὶ παρ' ἄλλων ἀκούουσι[8], καὶ τοῖς εἰδόσιν αὐτοῖ ἀναμιμνησκομένοις, ἡλίκην[9] πότ' ἐχόντων δύναμιν Λακεδαιμονίων, ἐξ ο χρόνος οὐ πολὺς, ὡς καλῶς καὶ προσηκόντως οὐδὲν ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως, ἀλλ' ὑπεμείνατε ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων τὸν πρὸς ἐκείνους πόλεμον. Τίνος οὖν ἕνεκα ταῦτα λέγω; ἵν' εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεάσησθε, ὅτι οὐδὲν οὔτε φυλαττομένους ὑμῖν ἐστι φοβερὸν, οὔτ', ἂν ὀλιγωρῆτε, τοιοῦτον[10], οἷον ἂν ὑμεῖς βούλησθε παραδείγμασι χρώμενοι[11], τότε ῥώμῃ τῶν Λακεδαιμονίων, ἧς ἐκρατεῖτε ἐκ τοῦ προσέχειν[12] τοῖς πράγ

---

[1]) Ἐπρόκειτο. Προετίθετο δὲ διότι αἱ προτάσεις ἐγράφοντο ἐπὶ σανίδος καὶ ἐξετίθεντο εἰ γνῶσιν πάντων πρὶν συζητηθῶσι. [2]) Ἐμαυτὸν, κρατηθείς. [3]) Τῶν γερόντων τῶν ὑπὲρ τ 50 ἔτη, διότι κατὰ νόμον αὐτοὶ ἔπρεπε πρῶτον νὰ ἀγορεύωσι. [4]) Περὶ τῶν κατὰ Φιλιπ πων. [5]) Φρονεῖ, ὅτι ὁ νόμος ἐπληρώθη, διότι οἱ πρεσβύτεροι ὡμίλησαν περὶ αὐτῆς τῆς ὑπο θέσεως, ἂν καὶ ὄχι εἰς τὴν παροῦσαν ἐκκλησίαν. [6]) Ὅ,τι ἦτον κακὸν εἰς τὸ παρελθόντ χρόνον, τοῦτο εἶναι καλὸν διὰ τὸ μέλλον. [7]) Ἂν τὰ πράγματα εἶχον κακῶς ἐνῷ ἐκάμετ ὅτι ἔπρεπε, δὲν ἤθελεν εἶσθαι ἐλπὶς ποτὲ νὰ βελτιωθῶσι. Τοῦτο εἶναι τὸ καλὸν, περὶ τ ὁποίου ὡμίλησα. [8]) Ἐνθυμητέον Ὑμῖν, τοῖς μὲν, ἀκούουσι· τοῖς δὲ, ἀναμιμν.

[9]) Θαυμας πόσην! ἐνῷ τόσην δύναμιν εἶχον. Λέγει δὲ ἐπὶ τοῦ Πελοπον. πολέμου.

[10]) Οὔτε, ἂν ὀλιγωρῆτε, ἀποβαίνει ὡς θέλετε. [11]) Ὑποκ. τοῦ Εἰδῆτε. [12]) Διότι προσ εἴχετε.

μασι τὸν νοῦν, καὶ τῇ νῦν ὄψει τούτου[13], δι' ἣν παραττόμεθα, ἐκ τοῦ μηδὲν φροντίζειν, ὧν ἐχρῆν.

Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δυσπολέμητον οἴεται τὸν Φίλιππον εἶναι, σκοπῶν τό τε πλῆθος τῆς νῦν ὑπαρχούσης αὐτῷ δυνάμεως, καὶ τὸ τὰ χωρία ταῦτα πάντα ἀπολωλέναι τῇ πόλει[14], ὀρθῶς μὲν οἴεται· λογισάσθω μέντοι τοῦθ', ὅτι εἴχομέν ποτε ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Πύδναν, καὶ Ποτίδαιαν, καὶ Μεθώνην[15], καὶ πάντα τὸν τόπον τοῦτον οἰκεῖον κύκλῳ[16], καὶ πολλὰ τῶν μετ' ἐκείνου νῦν ὄντων ἐθνῶν αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχε, καὶ μᾶλλον ἡμῖν ἐβούλετ' ἔχειν οἰκείως ἢ ἐκείνῳ. Εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν Ἀθηναίοις ἐστίν, ἔχουσι τοιαῦτα ἐπιτειχίσματα[17] τῆς αὐτοῦ χώρας, ἔρημον ὄντα[18] συμμάχων, οὐδὲν ἂν, ὧν νυνὶ πεποίηκεν, ἔπραξεν, οὐδὲ τοσαύτην ἐκτήσατ' ἂν δύναμιν. Ἀλλ' οἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο καλῶς ἐκεῖνος, ὅτι ταῦτα μέν ἐστιν ἅπαντα τὰ χωρία ἄλλα τοῦ πολέμου κείμενα ἐν μέσῳ[19]· φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν, τὰ τῶν ἀμελούντων. καὶ γάρ τοι ταύτῃ χρησάμενος τῇ γνώμῃ[20], πάντα κατέστραπται καὶ ἔχει, τὰ μέν, ὡς ἂν ἕλῃ τις ἔχοι πολέμου νόμῳ· τὰ δὲ, σύμμαχα καὶ φίλα ποιησάμενος. καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες, οὓς ἂν ὁρῶσι παρεσκευασμένους καὶ πράττειν ἐθέλοντας ἃ χρή.

Ἂν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμεῖς ἐπὶ τῆς τοιαύτης ἐθελήσητε γενέσθαι γνώμης νῦν, ἐπειδήπερ οὐ πρότερον[21], καὶ ἕκαστος ὑμῶν, οὗ[22] δεῖ καὶ δύναιτ' ἂν χρήσιμον τῇ πόλει παρασχεῖν αὐτὸν, πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν[23], ἕτοιμος πράττειν ὑπάρξῃ· ὁ μὲν χρήματ' ἔχων, εἰσφέρειν· ὁ δ' ἐν ἡλικίᾳ, στρατεύεσθαι· συνελόντι δ' [ἁπλῶς] εἰπεῖν[24], ἂν ὑμῶν αὐτῶν[25] ἐθελήσητε γενέσθαι, καὶ παύσησθε, αὐτὸς μὲν οὐδὲν ἕκαστος ποιήσειν ἐλπίζων, τὸν δὲ πλησίον πάνθ' ὑπὲρ αὐτοῦ πράξειν, καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε[26], ἂν θεὸς ἐθέλῃ, καὶ τὰ κατερῥᾳθυμημένα[27] πάλιν ἀναλήψεσθε, κἀκεῖνον τιμωρήσεσθε. Μὴ γὰρ ὡς θεῷ νομίζετ' ἐκείνῳ τὰ παρόντα πεπηγέναι πράγματα ἀθάνατα, ἀλλὰ καὶ μισεῖτις[28] ἐκεῖνον, καὶ δέδιεν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φθονεῖ, καὶ τῶν πάνυ νῦν δοκούντων[29] οἰκείως ἔχειν αὐτῷ· καὶ ἅπανθ' ὅσα[30] περ καὶ ἐν ἄλλοις τισὶν ἀνθρώποις ἔνι, ταῦτα κἀν τοῖς μετ' ἐκείνου χρὴ νομίζειν ἐνεῖναι· κατέπτηχε μέντοι ταῦτα πάντα[31] νῦν, οὐκ ἔχοντ' ἀποστροφὴν[32], διὰ τὴν ὑμετέραν βραδυτῆτα καὶ ῥᾳθυμίαν,

---

[13]) Τοῦ Φιλίππου. [14]) 32 συμμάχους τῶν Ἀθ. Ἑλληνικὰς πόλεις ἐκυρίευσεν εἰς τὴν Χαλκιδικὴν τῆς Θράκης. [15]) Πόλεις αἱ δύω πρῶται τῆς Θράκης, ἡ δὲ τῆς Πιερίας. [16]) Πάντα κύκλῳ, ὁλόγυρα. [17]) Φρούρια, ἐξ ὧν ἐπολεμεῖτο ἡ χώρα του. [18]) Φίλιππος ἔσχε γνώμην ὡς χαλεπὸν ἐστι πολεμεῖν αὐτὸν ὄντα ἔρημον. [19]) Μεταξὺ ἡμῶν καὶ αὐτοῦ, ἕρμαια τοῦ νικητοῦ. [20]) Τοῦτο γνωρίζων καὶ ταῦτα φρονῶν. [21]) Ἐγένεσθε. [22]) Ὅπου. [23]) Προσποίησιν ἀγνοίας. [24]) Ἵνα δ' εἴπῃ μοι συνελόντ' εἰπεῖν, καὶ ἐν συντόμῳ. Τὸ δὲ ἁπλῶς ἴσως προσθήκη ἐξηγητοῦ. [25]) Βοηθοί. [26]) Θέλετε λάβει. [27]) Ὅσα διὰ ῥᾳθυμίας ἀπωλέσατε. [28]) Δηλ. πολλοὶ εἶναι οἱ μισοῦντες. [29]) Γεν. διαιρ. τοῦ Τις. [30]) Ἐλαττώματα, ἐπιβλαβεῖς περιστάσεις. [31]) Δηλ. οἱ φθονοῦντες, οἱ μισοῦντες κτλ. εἶναι τώρα τεταπεινωμένοι. [32]) Καταφυγὴν, βοήθειαν πρὸς ποῖον νὰ στραφῶσι.

ἦν ἀποθέσθαι φημὶ δεῖν ἤδη. Ὁρᾶτε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμα, οἵ[33] προελήλυθεν ἀσελγείας[34] ἄνθρωπος, ὃς οὐδ' αἵρεσιν[35] ὑμῖν δίδωσι τοῦ πράττειν ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ, καὶ λόγους ὑπερηφάνους, ὡς φασι, λέγει, καὶ οὐχ οἷός τε ἐστὶν, ἔχων ἃ κατέστραπται, μένειν ἐπὶ τούτων· ἀλλ' ἀεί τι προσπεριβάλλεται[36], καὶ κύκλῳ πανταχῇ μέλλοντας[37] ὑμᾶς καὶ καθημένους περιστοιχίζεται.

Πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πότε ἃ χρὴ πράξετε; ἐπειδάν τι[38] γένηται, ἐπειδάν, νὴ Δία, ἀνάγκη τις ᾖ; νῦν δὲ τί χρὴ τὰ γιγνόμενα ἡγεῖσθαι[39]; ἐγὼ μὲν γὰρ οἶμαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην εἶναι. Ἢ βούλεσθε, εἰπέ μοι[40], περιιόντες αὐτοῦ[41] πυνθάνεσθαι κατὰ τὴν ἀγορὰν· λέγεταί τι καινόν; Γένοιτο γὰρ ἄν τι καινότερον, ἢ Μακεδὼν ἀνὴρ Ἀθηναίους καταπολεμῶν, καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; Τέθνηκε Φίλιππος; Οὐ μὰ Δί', ἀλλ' ἀσθενεῖ[42]. Τί δ' ὑμῖν διαφέρει; Καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον[43] ποιήσετε, ἄν περ οὕτω προσέχητε τοῖς πράγμασι τὸν νοῦν. Οὐδὲ γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην[44] τοσοῦτον ἐπηύξηται, ὅσον παρὰ τὴν ὑμετέραν ἀμέλειαν. Καίτοι καὶ τούτων[45] εἴ τι πάθοι, καὶ τὰ τῆς τύχης ἡμῖν ὑπάρξειε[46] (ἡ γὰρ ἀεὶ βέλτιον ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελουμένη καὶ τοῦτ' ἂν ἐξεργάσαιτο), ἴσθ' ὅτι πλησίον μὲν ὄντες[47], ἅπασιν ἂν τοῖς πράγμασι τεταραγμένοις[48] ἐπιστάντες, ὅπως ἂν βούλησθε διοικήσαισθε· ὡς δὲ νῦν ἔχετε, οὐδὲ διδόντων ὑμῖν τῶν καιρῶν Ἀμφίπολιν[49] δέξασθαι[50] δύναισθ' ἄν, ἀπηρτημένοι[51] καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις.

Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας ὑπάρχειν ἅπαντας ἑτοίμους, ὡς ἐγνωκότων ὑμῶν καὶ πεπεισμένων, παύομαι λέγων[52]· τὸν δὲ τρόπον τῆς παρασκευῆς, ἣν ἀπαλλάξαι[53] ἂν τῶν τοιούτων πραγμάτων ὑμᾶς ἡγοῦμαι, καὶ τὸ πλῆθος ὅσον καὶ πόρους οὕς τινας χρημάτων, καὶ τἄλλα ὡς ἂν μοι βέλτιστα καὶ τάχιστα δοκῇ παρασκευασθῆναι, καὶ δὴ πειράσομαι λέγειν, δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοσοῦτον[54]· ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, καὶ μὴ πρότερον προλαμβάνετε[55]· μηδ' ἂν ἐξ ἀρχῆς δοκῶ τινι καινὴν παρασκευὴν[56] λέγειν, ἀναβάλλεσθαί με τὰ πράγματα

---

33) Ποῦ. 34) Ἀϋθαδείας. 35) Ἐλευθέραν ἐκλογήν. 36) Εἰς ὅσα κατέρρεψε προσθετέον καὶ ἄλλα. 37) Ἀργοποροῦντας. 38) Ἐρωτημ. Τί ὅταν γίνῃ θὰ πράξητε; 39) Καὶ τώρα τί πρέπει (ἄλλο) νὰ νομίζωμεν τὰ γιγνόμενα; ὄχι ἀνάγκην; 40) Ἀποτείνεται πρὸς ἕνα, ἐννοῶν ὅλους. 41) Ἐνταῦθά που εἰς τὴν ἀγ. 42) Ὑποθέτει ἐρωτοαποκρίσεις μεταξὺ Ἀθηναίων εἰς τὴν ἀγοράν. Ὁ δὲ θάνατος καὶ ἡ ἀσθένεια τοῦ Φιλίππου εἶχον ἀγγελθῇ ἐπὶ τῆς πολιορκίας τῆς Μεθώνης. 43) Διὰ τῆς διαγωγῆς σας θὰ κάμετε ὥστε ἄλλος τις ἐχθρός σας νὰ σᾶς γίνῃ ὅσον ἐπίφοβος σᾶς εἶναι τώρα ὁ Φίλ. 44) Ἐξ αἰτίας τῆς ἰδίας του ῥώμης. 45) Θανάτου ἢ ἀσθενείας. 46) Ἂν τὰ τῆς τύχης μας ὑπάρξωσι δεξιὰ, ἂν μᾶς συνδράμῃ ἡ τ. 47) Δηλ. ἄν, ἐκστρατεύσαντες τώρα, εὑρεθῆτε πλησίον που εἰς τὴν Μακεδονίαν ἐπὶ τοῦ θανάτου του. 48) Τοῖς πράγμασι τῆς Μακεδονίας τεταραγμένοις διὰ τὸν θάνατον τοῦ βασιλέως. 49) Τὴν Ἀμφίπολιν, σύμμαχον τῶν Ἀθηναίων εἶχε κυριεύσας ὁ Φίλ. 50) Παραλαβεῖν. 51) Μεμακρυσμένοι. 52) Παύομαι λέγων, ὡς ἐγνωκότων ὑμῶν ὡς δεῖ ὑπάρχειν ἅπαντας ἑτοίμους ποιεῖν τὰ προσήκοντα. 53) Ἥτις ἡγοῦμαι ὅτι ἀπαλλάξειεν ἂν ὑμᾶς. 54) Τοῦτο μόνον. 55) Διὰ τῆς κρίσεως σας. Τὸ πρότερον πλεονάζει. 56) Νέαν τινὰ ἑτοιμασίαν καὶ μὴ ὑπάρχουσαν μέχρι τοῦδε.

ἠγείσθω. Οὐ γὰρ οἱ ταχὺ καὶ τήμερον[57] εἰπόντες μάλιστα εἰς δέον[58] λέγουσιν· οὐ γὰρ ἂν τά γε νῦν γεγενημένα[59] τῇ νυνὶ βοηθείᾳ[60] κωλύσαι ξυνηθείημεν· ἀλλ' ὃς[61] ἂν δείξῃ, τίς παρισθεῖσα παρασκευή, καὶ πόση, καὶ πόθεν διαμεῖναι ξυνήσεται[62], ἕως ἂν ἢ διαλυσώμεθα πεισθέντες τὸν πόλεμον, ἢ περιγενώμεθα τῶν ἐχθρῶν. Οὕτω γὰρ οὐκέτι τοῦ λοιποῦ πάσχοιμεν ἂν κακῶς. Οἶμαι τοίνυν ἐγὼ ταῦτα λέγειν ἔγειν[63], μὴ κωλύων εἴ τις ἄλλος ἐπαγγέλλεταί τι[64]. Ἡ μὲν οὖν ὑπόσχεσις[65] οὕτω μεγάλη· τὸ δὲ πρᾶγμα ἤδη τὸν ἔλεγχον δώσει[66]· κρίναι δ' ὑμεῖς ἔσεσθε.

Πρῶτον μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τριήρεις πεντήκοντα παρασκευάσασθαί φημι δεῖν· εἶτ' αὐτοὺς οὕτω τὰς γνώμας ἔχειν, ὡς, ἐάν τι δέῃ, πλευστέον εἰς ταύτας αὐτοῖς ἐμβᾶσι[67]· πρὸς δὲ τούτοις, τοῖς ἡμίσεσι τῶν ἱππέων ἱππαγωγοὺς τριήρεις καὶ πλοῖα ἱκανὰ εὐτρεπίσαι κελεύω. Ταῦτα μὲν οἶομαι δεῖν ὑπάρχειν ἐπὶ[68] τὰς ἐξαίφνης ταύτας ἀπὸ τῆς οἰκείας χώρας αὐτοῦ στρατείας, εἰς Πύλας[69] καὶ Χερρόνησον[70], καὶ Ὄλυνθον, καὶ ὅποι βούλεται. Δεῖ γὰρ ἐκείνῳ τοῦτο ἐν τῇ γνώμῃ παραστῆναι, ὡς ὑμεῖς ἐκ τῆς ἀμελείας ταύτης τῆς ἄγαν, ὥσπερ εἰς Εὔβοιαν[71], καὶ πρότερόν ποτέ φασιν εἰς Ἁλίαρτον[72], καὶ τὰ τελευταῖα πρώην εἰς Πύλας[73], ἴσως ἂν ὁρμήσαιτε[74]. Οὔτοι παντελῶς οὐδ' εἰ μὴ ποιήσαιτ' ἂν τοῦτο[75] (ὡς ἔνωγέ φημι δεῖν), εὐκαταφρόνητόν ἐστιν[76]· ὧν ἡ διὰ τὸν φόβον, εἰδὼς εὐτρεπεῖς ὑμᾶς, (εἴσεται γὰρ ἀκριβῶς[77]· εἰσὶ γάρ, εἰσὶν οἱ πάντ' ἐξαγγέλλοντες ἐκείνῳ παρ' ἡμῶν αὐτῶν πλείους τοῦ δέοντος[78].) ἡσυχίαν ἕξει· ἡ παρεὶς ταῦτα[79], ἀφύλακτος ληφθῇ, μηδενὸς ὄντος ἐμποδὼν πλεῖν ἐπὶ τὴν ἐκείνου χώραν ὑμῖν, ἂν ἐνδῷ[80] καιρός.

Ταῦτα μέν ἐστιν, ἃ πᾶσι δεδόχθαι φημὶ δεῖν, καὶ παρασκευάσασθαι προσήκειν οἶμαι. Πρὸς δὲ τούτοις, δύναμίν τινα, ὦ ἄνδρες Ἀθηναῖοι, φημὶ προχειρίσασθαι[81] δεῖν ὑμᾶς, ἣ συνεχῶς πολεμήσει καὶ κακῶς ἐκεῖνον ποιήσει. Μὴ μοι μυρίους[82], μηδὲ δισμυρίους ξένους, μηδὲ τὰς ἐπιστολιμαίους[83]

---

57) Οἱ εἰπόντες «ταχὺ καὶ σήμερον στρατευτέον». 58) Τὰ δέοντα. 59) Τὰ κατακτηθέντα ὑπὸ Φιλίππου. 60) Διὰ τῆς βοηθείας τῆς παρούσης παρασκευῆς. 61) Ἀλλ' ἐκεῖνος λέγει ἐς δέον ὅς. 62) Νὰ μήν ἦναι ἀσθενὴς ἢ ἐφήμερος ὡς ἡ παροῦσα, ἀλλὰ νὰ διαμείνῃ κτλ. 63) Ἔχω νὰ τὰ εἰπῶ. ὡς μέλλων. 64) Μὴ κωλύων καὶ ἄλλον λέγειν, εἴτις ἐπαγγέλλεται εἰπεῖν ἕτερον. 65) Ἡ ἐμὴ περὶ τῶν ῥηθησομένων μοι. 66) Θέλει φανῇ ἂν ἦναι ὡς ὑπεσχέθην. 67) Πλευστέον ὑμῖν αὐτοῖς, καὶ ὄχι διὰ ξένων. 68) Ἕτοιμα διὰ ν' ἀντιπαραταχθῶσιν εἰς τάς. 69) Τὰς Θερμοπύλας μεταξὺ Οἴτης καὶ τῆς θαλάσσης.

70) Τὴν σχηματίζουσαν τὴν Εὐρωπαϊκὴν ἀκτὴν τοῦ Ἑλλησπόντου. 71) Ἐν Ὀλ. 105, γ'. (Π. Χ. 358) εἰς διάστημα τριῶν ἡμερῶν ἐψήφισαν οἱ Ἀθηναῖοι καὶ ἔπεμψαν βοήθειαν εἰς τοὺς Εὐβοεῖς. 72) Ἐννοεῖ ἴσως τὴν βοήθειαν τῶν Ἀθηναίων εἰς τοὺς Βοιωτοὺς ἐν Ὀλ. 96, β'. (Π. Χ. 395) ὅτε ἐφονεύθη ὁ Λυσανόρος ἐν Ἁλιάρτῳ. 73) Ἐπὶ τοῦ αὐτοῦ ἔτους ἀφ' οὗ ἐπροφέρθη ὁ λόγος οὗτος ὁ Φίλ. ἐξεστράτευσε κατὰ τῶν Θερμοπυλῶν, ἀλλ' οἱ Ἀθ. τὸν ἐμπόδισαν. Διόδ. ΙΣΤ'. 33. 74) Ὅτι ἠμπορεῖτε νὰ ἐξέλθητε ἀπὸ τὴν ἀμέλειάν σας, καὶ νὰ ὁρμήσητε κατ' αὐτοῦ ὡς ἐπράξατε εἰς Εὔβοιαν κτλ. 75) Τὸ ὁρμᾶν. 76) Κἂν μὴ ὁρμήσητε, οὐκ ἔστι παντελῶς εὐκαταφρόνητον εἰ παρασκευασθέντες μὴ ὁρμήσητε.

77) Ὅτι εὐτρεπεῖς ἐστε. 78) Αἰνίττεται τοὺς ἐν Ἀθήναις κατασκόπους τοῦ Φιλίππου. 79) Παραμελήσας (ἀδιαφορήσας δι') αὐτὰς τὰς ἑτοιμασίας. 80) Ἐπιτρέψῃ.

81) Νὰ ἔχετε πρόχειρον. 82) Προχειρίσασθαι. 83) Τὰς ἐν ταῖς ἐπιστολαῖς μόνον ἀναφερομένας. Ἐννοεῖ τοὺς ξένους μισθοφόρους, ὁποίους ἔχων ἐπολέμει τότε ὁ Ἀθ. στρατηγὸς Χάρης, ἐνῷ οἱ Ἀθηναῖοι ἔμενον οἴκαδε ἀδρανεῖς.

ταύτας δυνάμεις, ἀλλ' ἡ τῆς πόλεως ἔστω. Κἂν ὑμεῖς ἕνα, κἂν πλείους, κἂν τὸν δεῖνα[84], κἂν ὀντινοῦν χειροτονήσητε στρατηγόν, τούτῳ πείσεται[85] καὶ ἀκολουθήσει· καὶ τροφὴν ταύτῃ πορίσαι κελεύω.

Ἔσται δ' αὕτη τίς ἡ δύναμις, καὶ πόση, καὶ πόθεν τὴν τροφὴν ἕξει, καὶ πῶς ταῦτ' ἐθελήσετε ποιεῖν; ἐγὼ φράσω, καθ' ἕκαστον τούτων διεξιὼν χωρίς[86]. Ξένους μὲν λέγω[87] (καὶ[88] ὅπως μὴ ποιήσητε τοῦθ', ὃ πολλάκις ὑμᾶς ἔβλαψεν· ἅπαντ'[89] ἐλάττω νομίζοντες εἶναι τοῦ δέοντος, καὶ τὰ μέγιστ' ἐν τοῖς ψηφίσμασιν αἱρούμενοι, ἐπὶ τῷ πράττειν οὐδὲ τὰ μικρὰ ποιεῖτε· ἀλλὰ τὰ μικρὰ ποιήσαντες, καὶ πορίσαντες, τούτοις προστίθετε, ἂν ἐλάττω φαίνηται)· λέγω δὴ τοὺς πάντας στρατιώτας δισχιλίους[90]· τούτων δὲ Ἀθηναίους φημὶ δεῖν εἶναι πεντακοσίους, ἐξ ἧς ἄν τινος ἡμῖν ἡλικίας καλῶς ἔχειν δοκῇ, χρόνον τακτὸν[91] στρατευομένους· μὴ μακρὸν τοῦτον, ἀλλ' ὅσον ἂν δοκῇ καλῶς ἔχειν ἐκ διαδοχῆς ἀλλήλοις[92]· τοὺς δ' ἄλλους, ξένους εἶναι κελεύω. Καὶ μετὰ τούτων ἱππέας διακοσίους· καὶ τούτων εἶναι πεντήκοντα Ἀθηναίους τοὐλάχιστον, ὥσπερ τοὺς πεζούς, τὸν αὐτὸν τρόπον στρατευομένους· καὶ ἱππαγωγοὺς[93] τούτοις. Εἶεν[94]. Τί πρὸς τούτοις ἔτι; Ταχείας τριήρεις δέκα. δεῖ[95] γὰρ ἔχοντος ἐκείνου ναυτικόν, καὶ ταχειῶν τριηρῶν ἡμῖν, ὅπως ἀσφαλῶς ἡ δύναμις πλεῖ. Πόθεν δὴ τούτοις ἡ τροφὴ γενήσεται; Ἐγὼ καὶ τοῦτο φράσω καὶ δείξω, ἐπειδὰν, διότι τηλικαύτην ἀποχρῆν οἶμαι τὴν δύναμιν καὶ πολίτας τοὺς στρατευομένους εἶναι κελεύω, διδάξω[96].

Τοσαύτην μὲν[97], ὦ ἄνδρες Ἀθηναῖοι, διὰ ταῦτα, ὅτι οὐκ ἔνι νῦν ἡμῖν[98] πορίσασθαι δύναμιν τὴν ἐκείνῳ παραταξομένην, ἀλλὰ λῃστεύειν ἀνάγκη, καὶ τούτῳ τῷ τρόπῳ τοῦ πολέμου χρήσασθαι τὴν πρώτην[99]. Οὐ τοίνυν οὔθ' ὑπέρογκον αὐτήν[100]· οὐ γάρ ἐστι[101] μισθός, οὐδὲ τροφὴ οὐδὲ παντελῶς ταπεινὴν εἶναι δεῖ. Πολίτας δὲ παρεῖναι καὶ συμπλεῖν διὰ ταῦτα κελεύω, ὅτι καὶ πρότερόν ποτ' ἀκούω ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν, οὗ Πολύστρατος ἡγεῖτο, καὶ Ἰφικράτης, καὶ Χαβρίας καὶ ἄλλοι τινές[102]· καὶ ὑμᾶς αὐτοὺς συστρατεύεσθαι. Καὶ οἶδα ἀκούων, ὅτι Λακεδαιμονίους, παραταττόμενοι μεθ' ὑμῶν, ἐνίκων οὗτοι οἱ ξένοι, καὶ ὑμεῖς μετ' ἐκείνων. Ἐξ οὗ δ' αὐ-

---

84) Τὸν τυχόντα, τοῦτον ἢ ἄλλον ἀδιαφόρως. 85) Ἡ δύναμις. 86) Ἰδιαιτέρως.

87) Ἀρχίζει τὴν φράσιν, καὶ ὡς εἴλκυσε τὴν προσοχὴν των μὲ τὰς λέξεις αὐτάς, διακόπτεται διὰ νὰ τοῖς δώσῃ συμβουλὴν εἰς τὴν ὁποίαν ἄλλως δὲν ἤθελον προσέξει.

88) Προσέξατε ὅπως. 89) Ὅ,τι καὶ ἂν ἀποφασίσητε ἢ πράξετε σᾶς φαίνεται μικρόν, ᾧ διὰ τοῦτο πάντοτε ψηφίζετε τὰ μέγιστα, καὶ ὅταν πρόκειται νὰ πράξητε, οὐδὲ μικρὰ δὲν πράττετε. 90) Εἶναι δεῖν. Ἀρχίζει φράσιν ἀλλαχόθεν ἢ ὅπου τὴν διέκοψεν ἄνω.

91) Προσδιωρισμένον διὰ πόσα ἔτη. 92) Ἀλληλοδιαδόχως. Ο! Ἀθηναῖοι εἶχον καταντήσει τόσον νωθροὶ πρὸς τὸν πόλεμον, ὥστε ἀναγκάζεται νὰ τοῖς παραστήσῃ τὴν στρατολογίαν ὅσον τὸ δυνατὸν ἐλαφροτέραν. 93) Τριήρεις. 94) Ἔστωσαν ταῦτα. Ὡς εἰ συγκατένευεν ὁ δῆμος εἰς τὰ προταθέντα. 95) Δεῖ ἡμῖν τριηρῶν, ἔχοντος ἐκείνου. 96) Ἐπειδὰν διδάξω διότι (διατί) οἶμαι καὶ διότι κελεύω. 97) Ἀποχρῆν οἶμαι δύναμιν. 98) Δὲν μᾶς εἶναι δυνατόν. 99) Κατὰ πρῶτον, ἢ τὴν πρώτην δύν. χρῆσθαι τούτῳ τῷ τρόπῳ τοῦ πολ., δηλ. τῷ λῃστεύειν. 100) Ἀπὸ κοινοῦ ἐκ τοῦ κατωτέρω: δὲν εἶναι. 101) Δὲν ὑπάρχει πόθεν νὰ τῷ δοθῇ. 102) Ἐννοεῖ ἴσως τὴν ἐκστρατείαν τοῦ Ἰφικράτους ἐν Ὀλ. 101, δ'. (π. Χ. 373), περὶ ἧς Ξενοφ. Ἑλλ. ΣΤ'. 2, 27—39. Ἂν τοῦτο, ὁ ἐδῶ Πολύστρατος, καλεῖται παρὰ Ξενοφ. Καλλίστρατος.

τὰ καθ' αὑτὰ[100] τὰ ξενικὰ ὑμῖν στρατεύεται, τοὺς φίλους νικᾷ καὶ τοὺς συμμάχους[101], οἱ δ' ἐχθροὶ μείζους τοῦ δέοντος γεγόνασι. Καὶ παρακύψαντα ἐπὶ τὸν τῆς πόλεως πόλεμον[102], πρὸς Ἁρπάλῳ ζον[103], καὶ πανταχοῦ μᾶλλον οἴχεται πλέονται. Ὁ δὲ στρατηγὸς[104] ἀκουλουθεῖ εἰκότως. Οὐ γάρ ἐστιν ἄρχειν, μὴ διδόντα μισθόν.

Τί οὖν κελεύω; τὰς προφάσεις ἀφελεῖν καὶ τοῦ στρατηγοῦ καὶ τῶν στρατιωτῶν, μισθὸν πορίσαντας, καὶ στρατιώτας οἰκείους, ὥσπερ ἐπόπτας τῶν στρατηγουμένων[105], παρακαταστήσαντας. Ἐπεὶ νῦν γε γέλως ἔσθ' ὡς χρώμεθα[106] τοῖς πράγμασιν. Εἴ γάρ ἔροιτό τις ὑμᾶς, εἰρήνην ἄγετε, ὦ ἄνδρες Ἀθηναῖοι; Μὰ Δί', οὐχ ὑμεῖς γε[107], εἶποιτ' ἄν, ἀλλὰ Φιλίππῳ πολεμοῦμεν. Οὐκ ἐχειροτονεῖτε δ' ἐξ ὑμῶν αὐτῶν δέκα ταξιάρχους, καὶ στρατηγούς, καὶ φυλάρχους, καὶ ἱππάρχους δύο[108]; Τί οὖν οὗτοι ποιοῦσι; πλὴν ἑνὸς ἀνδρός, ὃν ἂν ἐκπέμψητε ἐπὶ τὸν πόλεμον[109], οἱ λοιποὶ τὰς πομπὰς πέμπουσιν[110] ὑμῖν μετὰ τῶν ἱεροποιῶν[111]. Ὥσπερ γὰρ οἱ πλάττοντες τοὺς πηλίνους[112], εἰς τὴν ἀγορὰν[113] χειροτονεῖτε τοὺς ταξιάρχους καὶ τοὺς φυλάρχους, οὐκ ἐπὶ τὸν πόλεμον; Οὐ γὰρ ἐχρῆν, ὦ ἄνδρες Ἀθηναῖοι, ταξιάρχους παρ' ὑμῶν, ἱππάρχους παρ' ὑμῶν, ἄρχοντας οἰκείους εἶναι, ἵν' ἦν ὡς ἀληθῶς τῆς πόλεως ἡ δύναμις[114]; ἀλλ' εἰς μὲν Δῆμωνα[115] τὸν παρ' ὑμῶν ἱππαρχον δεῖ πλεῖν· τῶν δ' ὑπὲρ τῶν τῆς πόλεως κτημάτων ἀγωνιζομένων Μενέλαον ἱππαρχεῖν; Καὶ οὐ τὸν ἄνδρα μεμφόμενος ταῦτα λέγω, ἀλλ' ὑφ' ὑμῶν ἐδει κεχειροτονημένον εἶναι τοῦτον, ὅστις ἂν ᾖ.

Ἴσως δὲ ταῦτα μὲν ὀρθῶς ἡγεῖσθε λέγεσθαι· τὸ δὲ τῶν χρημάτων[116], πόσα καὶ πόθεν ἔσται, μάλιστα πυθεῖτε ἀκοῦσαι· τοῦτο δὴ καὶ περανῶ[117]. Χρήματα τοίνυν, ἔστι μὲν ἡ τροφὴ[118], σιτηρέσιον τοῖς στρατευομένοις μόνον, τῇ δυνάμει ταύτῃ, τάλαντα ἐννενήκοντα, καὶ μικρόν τι πρός[119]. Δέκα

---

[100]) Μόνα των καὶ χωρὶς σᾶς. [101]) Διότι ὅταν δὲν λαμβάνουν τὸν μισθόν των, κινοῦνται καθ' ἑνὸς τῶν συμμάχων, καὶ ἁρπάζουσιν ἐκεῖθεν τὰ χρεωστούμενα. [102]) Ῥίψαντα ἓν βλέμμα, ἰδόντα μὲ ἀδιαφορίαν τὸν πόλεμον τῆς πόλ. [103]) Ὅστις τὰ πληρώνει. [104]) Ὅστις δήποτε εἶναι ὁ στρατηγὸς των. Τότε δὲ ἦτον ὁ Χάρης, ὅστις ἠναγκάζετο νὰ φολεμᾷ εἰς τὴν Ἀσίαν ὅπου ἤθελον τὰ στρατεύματα, διότι μὴ πληρώνων αὐτὸ δὲν τὰ ἐξουσίαζε. [105]) Τοῦ τρόπου καθ' ὃν ὁ στρατηγὸς διοικεῖ. [106]) Ὁ τρόπος ὡς χρώμεθα ἔχει γέλως, γελοῖος. [107]) Ἀγομεν.. [108]) Κατ' ἔτος ἐπὶ πολέμου ἐχειροτόνουν τὰς ἀρχὰς ταύτας. Ὁ ταξίαρχος ἦρχε μιᾶς τάξεως πεζικοῦ. Ἐκ τῶν δέκα στρατηγῶν συνήθως ὁ εἷς ἐξεστράτευεν, οἱ δὲ λοιποὶ διεύθυνον τὰς στρατιωτικὰς ὑποθέσεις ἐν Ἀθήναις. Οἱ φύλαρχοι διῴκων τὰς φυλὰς (τάγματα) τοῦ ἱππικοῦ, οἱ δὲ ὕπαρχοι ὅλον τὸ ἱππικόν. [112]) Τοῦ στρατηγοῦ ὃν ἔπεμπον μὲ τὸ ξενικόν. [113]) Πανηγυρίζουσι. [114]) Τῶν ἱερέων, οἱ ὁποῖοι διεύθυνουν τὰς ἱερὰς παρατάξεις. [115]) Ἀνδριάντας. [116]) Διὰ νὰ τοὺς στήνετε εἰς τὴν ἀγορὰν τοὺς χειροτονεῖτε, ὄχι διὰ τὸν πόλεμον. [117]) Διὰ νὰ ἦναι ἡ δύναμις τῆς πόλεως ἰδὲν ἔπρεπε νὰ ἦναι παρ' ὑμῶν διωρισμένοι καὶ οἱ ταξίαρχοι, καὶ οἱ ἵππαρχοι, καὶ οἱ ἄρχοντες, ὥστε τοιοτρόπως νὰ ἦναι τῷ ὄντι τῆς πόλεως ἡ δύναμις; (κατ' ἐρωτηματικόν.) [118]) Εἰς τὴν λῆμνον ζητήσασαν βοήθειαν ἔπεμψαν Ἀθηναῖοι. Εἰς δὲ τὰς πόλεις τῆς Θράκης, αἱ ὁποῖαι ἐθεωροῦντο ὡς κτήματα τῶν Ἀθηναίων, ἔπεμπον ἵππαρχον ξένον, τὸν Μενέλαον, ἴσως Λακεδαιμόνιον. [119]) Περὶ τῶν χρημάτων. [120]) Θὰ πραγματοποιήσω. [121]) Χρήματα τοίνυν (λέγω ὅτι) ἔστι μὲν τῇ δυνάμει ταύτῃ ἡ τροφὴ (καὶ ὡς ἐπεξήγησις) σιτηρέσιον μόνον τοῖς στρατευομένοις, τάλαντα ἐννενήκοντα κτλ. Εἰ δέ τις οἴεται, κτλ. [122]) Ἀκριβέστερον 92 τάλαντα. Γνωρίζω ὅτι τὸ τάλαντον ἔχει 60 μνᾶς ἡ 6000 δραχμάς, ἡ δὲ μνᾶ 100 δραχμάς. Τοὺς ὑπολογισμούς του κάμνει ὁ Δημοσθένης ἐπὶ ἓν ἔτος. Οὕτω 10 νῆες × 20 μν. (× 100 δρ.) × 12 μῆνας = 240000 δρ. = 40 τάλ. Πάλιν, 2000 στρατ. × 10 δρ. ×

μὲν ναυσὶ ταχείαις, τετταράκοντα τάλαντα· εἴκοσιν εἰς τὴν ναῦν μναῖ τοῦ μηνὸς ἑκάστου· στρατιῶται δὲ δισχιλίοις τοσαῦθ' ἕτερα, ἵνα δέκα ἕκαστος τοῦ μηνὸς ὁ στρατιώτης δραχμὰς σιτηρέσιον λαμβάνῃ· τοῖς δ' ἱππεῦσι, διακοσίοις οὖσιν, ἐὰν τριάκοντα δραχμὰς ἕκαστος λαμβάνῃ τοῦ μηνός, δώδεκα τάλαντα. Εἰ δέ τις οἴεται μικρὰν ἀφορμὴν σιτηρέσιον τοῖς στρατευομένοις ὑπάρχειν[123], οὐκ ὀρθῶς ἔγνωκεν. Ἐγὼ γὰρ οἶδα σαφῶς, ὅτι, τοῦτ' ἂν γένηται[124], προσποριεῖ τὰ λοιπὰ αὐτὸ τὸ στράτευμα ἀπὸ τοῦ πολέμου, οὐδένα τῶν Ἑλλήνων ἀδικοῦν, οὐδένα τῶν συμμάχων, ὥστ' ἔχειν μισθὸν ἐντελῆ. Κἀγὼ δὲ συμπλέων ἐθελοντὴς, πάσχειν ὁτιοῦν ἕτοιμος[125], ἐὰν μὴ ταῦθ' οὕτως ἔχῃ.

Πόθεν οὖν ὁ πόρος τῶν χρημάτων, ἃ παρ' ὑμῶν κελεύω[127], γενήσεται, τοῦτ' ἤδη λέξω. Πόρου ἀπόδειξις[128]. Ἃ μὲν ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, δεδυνήμεθα εὑρεῖν, ταῦτά[129] ἐστιν. Ἐπειδὰν δ' ἐπιχειροτονῆτε[130] τὰς γνώμας, ἃ ἂν ὑμῖν ἀρέσκῃ χειροτονήσατε, ἵνα μὴ μόνον [ἐν] τοῖς ψηφίσμασι καὶ ταῖς ἐπιστολαῖς πολεμῆτε Φιλίππῳ, ἀλλὰ καὶ τοῖς ἔργοις.

Δοκεῖτε δέ μοι πολὺ βέλτιον ἂν περὶ τοῦ πολέμου καὶ ὅλης τῆς παρασκευῆς βουλεύσασθαι, εἰ τὸν τόπον, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς χώρας, πρὸς ἣν πολεμήσετε, ἐνθυμηθείητε, καὶ λογίσαισθε[131] ὅτι τοῖς πνεύμασι καὶ ταῖς ὥραις τοῦ ἔτους[132] τὰ πολλὰ προλαμβάνων διαπράττεται Φίλιππος· καὶ φυλάξας τοὺς ἐτησίας[133] ἢ τὸν χειμῶνα, ἐπιχειρεῖ, ἡνίκ' ἂν ἡμεῖς μὴ δυνώμεθα ἐκεῖσε ἀφικέσθαι[134]. Δεῖ τοίνυν ὑμᾶς, ταῦτ' ἐνθυμουμένους, μὴ βοηθείαις[135] πολεμεῖν· ὑστεριοῦμεν[136] γὰρ ἁπάντων· ἀλλὰ παρασκευῇ συνεχεῖ καὶ δυνάμει. Ὑπάρχει δ' ὑμῖν χειμαδίῳ[137] μὲν χρῆσθαι τῇ δυνάμει Λήμνῳ καὶ Θάσῳ καὶ Σκιάθῳ καὶ ταῖς ἄλλαις ταῖς ἐν τούτῳ τῷ τόπῳ νήσοις, ἐν αἷς καὶ λιμένες καὶ σῖτος καὶ ἃ χρὴ στρατεύμασι πάνθ' ὑπάρχει· τὴν δ' ὥραν τοῦ ἔτους, ὅτε καὶ πρὸς τῇ γῇ γενέσθαι[138] ῥᾴδιον, καὶ τὸ τῶν πνευμάτων[139] ἀσφαλές, πρὸς αὐτῇ τῇ χώρᾳ[140], καὶ πρὸς τοῖς τῶν ἐμπορίων[141] στόμασι, ῥᾳδίως ἔσται[142]. Ἃ[143] μὲν οὖν χρήσεται καὶ πότε τῇ δυνάμει, παρὰ τὸν καιρὸν[144] ὁ τούτων κύριος καταστὰς ὑφ' ὑμῶν[145] βουλεύσεται· ὃ

---

12 μῆν. = Δρ. 240000 = 40 τάλ. Τέλος 200 ἱππεῖς × 30 Δρ. × 12 μῆν. = 72000 Δρ. = 12 τάλ. Ὥστε τὸ ὅλον 40 + 40 + 12 = 92 τάλ. [123]) Ὅτι εἶναι ὀλίγον τὸ κεφάλαιον τῶν 92 ταλάντων διὰ σιτηρέσιον τῶν στρατ. [124]) Ἂν πορισθῇ αὐτὴ ἡ ποσότης. [125]) Εἰμί. [127]) Γενέσθαι, πορισθῆναι. Τοῦ σιτηρεσίου δηλ. [128]) Ἰδιαιτέρως ἔχει γεγραμμένον τὸν ὑπολογισμὸν τῶν πόρων ὅθεν δύνανται νὰ ληφθῶσι τὰ 92 τάλαντα. Ὁ ὑπολογισμὸς δὲ οὗτος ἀναγινωσκόμενος ἴσως διά τινος γραμματέως, δὲν συμπεριελήφθη εἰς τὸν λόγον. [129]) Ὅσα εἰς τὴν ἀπόδειξιν ἐξέθετο. [130]) Ὅταν διὰ χειροτονίας ψηφοφορῆτε ἐπὶ τῶν προτεινομένων τούτων γνωμῶν. [131]) Εἰ ἐνθυμηθείητε τὸν τοπον τῆς χώρας, καὶ λογίσαισθε ὅτι. [132]) Ὠφελούμενος ἀπὸ τοὺς ἀνέμους καὶ τὰς ὥρας κατορθώνει. [133]) Βορείους ἀνέμους τακτικῶς κατ' ἔτος πνέοντας, βαρβ μελτέμια. [134]) Διότι ἡ Ἑλλὰς εἶναι μεσημβρινωτέρα τῆς Μακεδονίας. [135]) Στρατεύμασι βοηθοῦσι, δηλ. ἐν ᾗ ἀστελλομένοις μόνον ὅταν ἦναι ἀνάγκη. [136]) Θέλομεν μείνει ὀπίσω, δὲν θέλομεν προφθάσει. [137]) Χειμάδιον εἰς τὴν δύναμίν μας, μέρος ὅπου νὰ ξεχειμάσῃ. [138]) Πλησιάσαι. [139]) Τὸ χρῆμα τῶν πνευμάτων, τὰ πνεύματα. [140]) Τῆ Μακεδονίᾳ. [141]) Τῶν ἐμπορικῶν λιμένων. [142]) Ἡ δύναμις (ἐπειδὰν παραχειμάσῃ ἐν Λήμνῳ κλπ.) ἔσται ῥᾳδίως πρὸς αὐτῇ τῇ χώρᾳ καὶ πρὸς τοῖς τῶν ἐμπορίων στόμασι (κατὰ) τὴν ὥραν τοῦ ἔτους, ὅτε κτλ. [143]) Ἤρ' ἃ, εἰς τί. [144]) Συμφώνως μὲ τοὺς καιρούς, τὰς περιστάσεις. [145]) Ὁ στρατηγός σας.

ὑπάρξαι δεῖ παρ' ὑμῶν, ταῦτ' ἐστίν, ἃ ἐγὼ γέγραφα. Κἂν ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, πορίσητε τὰ χρήματα πρῶτον ἃ λέγω, εἶτα καὶ τἄλλα πάντα παρασκευάσαντες, τοὺς στρατιώτας, τὰς τριήρεις, τοὺς ἱππέας, ἐντελῆ πᾶσαν τὴν δύναμιν νόμῳ κατακλείσητε[146] ἐπὶ τῷ πολέμῳ μένειν, τῶν μὲν χρημάτων αὐτοὶ ταμίαι καὶ πορισταὶ γενόμενοι, τῶν δὲ πράξεων παρὰ τοῦ στρατηγοῦ τὸν λόγον ζητοῦντες, παύσεσθ' ἀεὶ περὶ τῶν αὐτῶν βουλευόμενοι, καὶ πλέον οὐδὲν ποιοῦντες[147].

Καὶ ἔτι πρὸς τούτοις, πρῶτον μὲν ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μέγιστον τῶν ἐκείνου[148] πόρων ἀφαιρήσεσθε. Ἔστι δὲ οὗτος τίς; Ἀπὸ τῶν ὑμετέρων ὑμῖν τολεμεῖ συμμάχων[149], ἄγων καὶ φέρων[150] τοὺς πλέοντας τὴν θάλατταν. Ἔπειτα τί πρὸς τοῦτῳ[151]; Τοῦ πάσχειν αὐτοὶ κακῶς ἔξω γενήσεσθε[152]. Οὐχ[153] ὥσπερ τὸν παρελθόντα χρόνον εἰς Λῆμνον καὶ Ἴμβρον ἐμβαλὼν, αἰχμαλώτους πολίτας ὑμετέρους ᾤχετ' ἄγων· καὶ πρὸς τῷ Γεραιστῷ[154] τὰ πλοῖα συλλαβὼν[155], ἀμύθητα χρήματ' ἐξέλεξε· τὰ τελευταῖα δ' εἰς Μαραθῶνα ἀπέβη, καὶ τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ' ἔχων τριήρη[156]. ὑμεῖς δ' οὔτε ταῦτα ἠδύνασθε κωλύειν, οὔτ' εἰς τοὺς χρόνους, οὓς ἂν προέλησθε, βοηθεῖν.

Καίτοι τί[157] δήποτε, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε, τὴν μὲν τῶν Παναθηναίων ἑορτὴν, καὶ τὴν τῶν Διονυσίων[158], ἀεὶ τοῦ καθήκοντος χρόνου γίγνεσθαι, ἂν τε ξεινοί[159] λάχωσιν, ἂν τε ἰδιῶται, οἱ τούτων ἑκατέρων ἐπιμεληθησόμενοι, εἰς ἃ τοσαῦτ' ἀναλίσκετε χρήματα, ὅσα οὐδ' εἰς ἕνα τῶν ἀποστόλων[160], καὶ τοσοῦτον ὄχλον[161], καὶ τοσαύτην παρασκευὴν, ὅσην οὐκ οἶδ' εἴτις τῶν ἁπάντων[162] ἔχει· τοὺς δ' ἀποστόλους πάντας ὑμῖν ὑστερίζειν[163] τῶν καιρῶν, τὸν εἰς Μεθώνην, τὸν εἰς Παγασάς, τὸν εἰς Ποτίδαιαν; Ὅτι ἐκεῖνα μὲν ἅπαντα[164] νόμῳ τέτακται, καὶ προεῖδεν ἕκαστος ὑμῶν ἐκ πολλοῦ[165], τίς χορηγὸς[166] ἢ γυμνασίαρχος τῆς φυλῆς, [καὶ] πότε καὶ παρὰ τοῦ καὶ τί λαβόντα[167], τί δεῖ ποιεῖν· οὐδὲν ἀνεξέταστον, οὐδ' ἄόριστον ἐν τούτοις ἠμέληται· ἐν δὲ τοῖς περὶ τοῦ πολέμου καὶ τῆς τούτου παρασκευῆς, ἄτακτα, ἀόριστα, ἀδιόρθωτα ἅπαντα. Τοιγαροῦν ἅμα ἀκηκόαμέν τι, καὶ τριηράρχους καθίσταμεν, καὶ τούτοις ἀντιδόσεις[168] ποιούμεθα, καὶ περὶ χρημάτων

---

146) Περιορίσητε, ἀναγκάσητε. 147) Πάντοτε σκεπτόμενοι καὶ ποτὲ τίποτε περισσότερον παρὰ τὸ νὰ σκεπτησθε μὴ κάμνοντες. 148) Τοῦ Φιλίππου. 149) Διὰ τῶν πόρων τῶν ὑμ. συμ. 150) Λεηλατῶν. 151) Τί θὰ κάμετε ἄλλο ἐκτὸς τούτου; Ἀπαλλαγήσεσθε τοῦ κακῶς πάσχειν αὐτοί. 152) Οὐκ οἰχήσεται, ἢ οὐ ποιήσει. 153) Πολις τῆς Εὐβοίας.
154) Συναθροίσας. 155) τὴν πάραλον, ἥτις ἐστέλλετο συνήθως διὰ θεωρίας καὶ ἱερὰς τελετάς. 156) Διατί. 157) Δύω ἑορταὶ τελούμεναι κατ' ἔτος εἰς τὰς Ἀθήνας. 158) Ἄνδρες ἐπιτήδειοι, ἱκανοί. 159) Ἐκατρατείαν, στολον. 160) Θόρυβον γίνεσθαι. 161) Ὅλων τῶν ἐπὶ γῆς ἀνθρώπων. 162) Νομίζετε. 163) Τὰ περὶ τὰς ἑορτάς. 164) Χρόνου. Ἀμέσως μετὰ τὸ τέλος τῆς ἑορτῆς ἐξελέγοντο οἱ ἐπιμεληταὶ τῆς μελλούσης ἑορτῆς. 166) Εἰς τὰς πανηγύρεις τῶν Παναθηναίων καὶ Διονυσίων ἐγυμνάζοντο, ἰδίως διὰ τὰς θεατρικὰς παραστάσεις χοροὶ, δαπάνῃ ἐκλεγομένου τινὸς ἐπὶ τούτῳ πλουσίου ἰδιώτου, ὅστις ἐκαλεῖτο χορηγός. Γυμνασιάρχης δὲ ἦν ὁ ἐπιτηρῶν τὰς σωματικὰς τῶν νέων ἑκάστης φυλῆς.
167) Μέρος τῆς δαπάνης τῶν τελετῶν τούτων ἐδίδετο ἀπὸ τοὺς ταμίας τῶν ναῶν.
168) Ἀνταλλαγὰς τῶν τριηραρχιῶν ἢ τῆς περιουσίας των. Ἕκαστος οὐσίαν τινὰ ἔχων Ἀθηναῖος, ὤφειλε νὰ συντελέσῃ εἰς τὸν καταρτισμὸν τῶν τριήρεων ὡς τριήραρχος. Ἂν τις

πόρου σκοποῦμεν· καὶ μετὰ ταῦτα ἐμβαίνειν τοὺς μετοίκους[169] ἔδοξε[170], καὶ τοὺς χωρὶς οἰκοῦντας[171]· εἶτ' αὐτοὺς πάλιν ἀντεμβιβάζειν[172]. Εἶτ' ἐν ὅσῳ ταῦτα μέλλετε, προαπόλωλεν[173] ἐφ' ἃ ἂν ἐκπλέωμεν. Τὸν γὰρ τοῦ πράττειν χρόνον εἰς τὸ παρασκευάζεσθαι ἀναλίσκομεν. Οἱ δὲ τῶν πραγμάτων καιροί, οὐ μένουσι τὴν ὑμετέραν βραδυτῆτα καὶ ῥᾳθυμίαν. Ἂς δ' εἰς τὸν μεταξὺ χρόνον δυνάμεις οἰόμεθ' ἡμῖν ὑπάρχειν, οὐδὲν οἷαί τε οὖσαι ποιεῖν ἐπ' αὐτῶν τῶν καιρῶν[174] ἐξελέγχονται. Ὁ δ' εἰς τοῦθ' ὕβρεως[175] ἐλήλυθεν, ὥστ' ἐπιστέλλειν Εὐβοεῦσιν ἥδη τοιαύτας ἐπιστολάς. Ἐπιστολαί[176].

Τούτων οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀνεγνωσμένων ἀληθῆ μέν ἐστι τὰ πολλά, ὡς οὐκ ἔδει[177]· οὐ μὴν ἀλλ' ἴσως οὐχ ἡδέα ἀκούειν. Ἀλλ' εἰ μέν, ὅσα ἄν τις ὑπερβῇ τῷ λόγῳ, ἵνα μὴ λυπήσῃ, καὶ τὰ πράγματα ὑπερβήσεται[177], δεῖ πρὸς ἡδονὴν δημηγορεῖν· εἰ δ' ἡ τῶν λόγων χάρις[178], ἂν ᾖ μὴ προσήκουσα, ἔργῳ ζημία γίγνεται, αἰσχρὸν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, φενακίζειν ἑαυτούς, καὶ ἅπαντ' ἀναβαλλομένους, ὅσα ἂν ᾖ δυσχερῆ, πάντων ὑστερίζειν τῶν ἔργων, καὶ μηδὲ τοῦτο δύνασθε μαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν[179], ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων· καὶ τὸν αὐτὸν τρόπον, ὥσπερ τῶν στρατευμάτων ἀξιώσειεν ἄν τις τὸν στρατηγὸν ἡγεῖσθαι, οὕτω καὶ τῶν πραγμάτων τοὺς εὖ βουλομένους ἡγεῖσθαι χρή, ἵν' ἃ ἂν ἐκείνοις δοκῇ, ταῦτα πράττηται, καὶ μὴ τὰ συμβαίνοντα ἀναγκάζωνται διώκειν[180]. Ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, πλείστην δύναμιν ἁπάντων ἔχοντες, τριήρεις, ὁπλίτας, ἱππέας, χρημάτων πρόσοδον, τούτων μὲν μέχρι τῆς τήμερον ἡμέρας οὐδενὶ πώποτε ἐν δέοντι κέχρησθε, οὐδενὸς δ' ἀπολείπεσθε[181]· ὥσπερ δὲ οἱ βάρβαροι πυκτεύουσιν[182], οὕτω πολεμεῖτε Φιλίππῳ. Καὶ γὰρ ἐκείνων ὁ πληγεὶς ἀεὶ τῆς πληγῆς ἔχεται[183]· κἂν ἑτέρωσε πατάξῃ τις, ἐκεῖσε εἰσιν αἱ χεῖρες· προβάλλεσθαι δ'[184], ἢ βλέπειν ἐναντίον, οὔτ' οἶδεν, οὔτ' ἐθέλει. Καὶ ὑμεῖς, ἐὰν ἐν Χερσονήσῳ πύθησθε Φίλιππον, ἐκεῖσε βοηθεῖν ψηφίζεσθε· ἐὰν ἐν Πύλαις, ἐκεῖσε· ἐὰν ἄλλοθί που, συμπαραθεῖτε ἄνω καὶ κάτω. Καὶ στρατηγεῖσθε μὲν ὑπ' ἐκείνου[185], βεβούλευσθε δ' οὐδὲν αὐτοὶ συμφέρον περὶ τοῦ πολέμου οὐδὲ πρὸ τῶν πραγμάτων προορᾶτε οὐδὲν, πρὶν ἂν γεγενημένον ἢ γιγνό-

---

ἐνόμιζεν ὅτι ἐτάχθη περισσότερον ἀπὸ ἄλλον πλουσιώτερόν του, ὁ πλουσιώτερος ὤφειλε ν' ἀνταλλάξῃ τὴν καταβολήν μὲ αὐτόν, ἢ, ἂν δὲν ἤθελε, ν' ἀνταλλάξῃ μὲ αὐτὸν τὴν περιουσίαν του πληρόνων ὅσην ἐτάχθη καταβολήν. Τοῦτο ἐκαλεῖτο ἀντίδοσις. 169) Τοὺς ξένους τοὺς κατοικοῦντας ἐν Ἀθήναις. 170) Ἀντὶ ἐνεστ. Κ. §. 392. 171) Ἴσως τοὺς μὴ συνῳκισμένους εἰς τὴν πόλιν καὶ τὰ χωρία τῶν δήμων. 172) Ἔπειτα ἀλλάζετε πάλιν γνώμην, καὶ θέλετε ἀντὶ ἐκείνων νὰ ἐπιβιβασθῆτε. 173) Ὅταν ἔλθῃ ὁ καιρὸς νὰ τὰς μεταχειρισθῶμεν. 174) Εἰς τοσαύτην ὕβριν, αὐθάδειαν ὁ Φίλιππος. 175) Δὲν διετηρήθησαν. 176) Καθὼς δὲν ἔπρεπε νὰ ᾖναι. Ἀντιστοιχεῖ μὲ τὸ ἡμέτερον: κατὰ δυστυχίαν. 177) Ἂν καὶ τὰ πράγματα ὑπερέβαινον ὅσα τις ὑπερβαίνει (παρασιωπᾷ) μὲ τοὺς λόγους ἐπιθυμῶν νὰ μὴ λυπήσῃ, τότε προθύμως ἤθελα δημηγορήσει μόνον ὅσα σᾶς ἀρέσκουσι. 178) Τὸ διὰ τῶν λόγων χαρίζεσθαι. 179) Τὰ συμβάντα. 180) Ἀναγκάζωνται οἱ εὖ βουλεύομενοι νὰ ἀκολουθῶσι τὰ συμβ. 181) Στερεῖσθε. 182) Πολεμοῦσι μὲ τοὺς γρόνθους. 183) Βάζει τὰς χεῖράς του εἰς τὴν πληγήν. 184) Τὴν ἀσπίδα ἢ τὰς χεῖρας. Νὰ φυλαχθῇ. 185) Διότι ὅπου θέλει ἐκεῖνος σᾶς φέρει ἄνω καὶ κάτω.

μενόν τι πύθησθε. Ταῦτα δ' ἴσως πρότερον μὲν ἐνῆν ποιεῖν[186]· νῦν δ' ἐπ' αὐτὴν ἥκει τὴν ἀκμὴν[187], ὥστ' οὐκέτ' ἐγχωρεῖ[188].

Δοκεῖ δέ μοι θεῶν τις, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς γιγνομένοις ὑπὲρ τῆς πόλεως αἰσχυνόμενος[189], τὴν φιλοπραγμοσύνην ταύτην ἐμβαλεῖν Φιλίππῳ. Εἰ γὰρ, ἔχων ἃ κατέστραπται καὶ προείληφεν, ἡσυχίαν ἔγειν ἤθελε, καὶ μηδὲν ἔπραττεν ἔτι, ἀποχρῆν ἐνίοις ὑμῶν ἂν μοι δοκεῖ[190], ἐξ ὧν αἰσχύνην καὶ ἀνανδρίαν καὶ πάντα τὰ αἴσχιστα ὠφληκότες ἂν ἦμεν ἁπάντων· νῦν δ' ἐπιχειρῶν ἀεί τινι[191], καὶ τοῦ πλείονος ὀρεγόμενος, ἴσως ἂν ἐκκαλέσαιθ' ὑμᾶς[192], εἴπερ μὴ παντάπασιν ἑαυτῶν ἀπεγνώκατε.

Θαυμάζω δ' ἔγωγε, εἰ μηδεὶς ὑμῶν μήτ' ἐνθυμεῖται, μήτε λογίζεται, ὁρῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν μὲν ἀρχὴν τοῦ πολέμου γεγενημένην[193] περὶ τοῦ τιμωρήσασθαι Φίλιππον, τὴν δὲ τελευτὴν οὖσαν ἤδη ὑπὲρ τοῦ μὴ παθεῖν αὐτοὺς κακῶς ὑπὸ τοῦ Φιλίππου. Ἀλλὰ μὴν ὅτι γε οὐ στήσεται[194], ὅῆλον, εἰ μή τις αὐτὸν κωλύσει. Εἶτα τοῦτο ἀναμενοῦμεν[195]; καὶ τριήρεις πολιτικῆς δυνάμεως[196] κενὰς, καὶ τὰς παρὰ τοῦ δεῖνος ἐλπίδας[197] ἐὰν ἀποστείλητε, πάντ' ἔχειν οἴεσθε καλῶς; Οὐκ ἐμβησόμεθα; οὐκ ἔξιμεν αὐτοὶ μέρει γέ τινι στρατιωτῶν οἰκείων[198], νῦν, εἰ καὶ μὴ πρότερον[199]; οὐκ ἐπὶ τὴν ἐκείνου πλευσούμεθα; Ποῖ δὴ προσορμιούμεθα; ἥρετό τις. Εὑρήσει τὰ σαθρὰ τῶν ἐκείνου πραγμάτων[200], ὦ ἄνδρες Ἀθηναῖοι, αὐτὸς ὁ πόλεμος, ἂν ἐπιχειρῶμεν· ἂν μέντοι καθώμεθα οἶκοι, λοιδορουμένων ἀκούοντες καὶ αἰτιωμένων ἀλλήλους τῶν λεγόντων, οὐδέποτ' οὐδὲν ἡμῖν οὐ μὴ[201] γένηται τῶν δεόντων. Ὅποι μὲν γὰρ ἂν, οἶμαι, μέρος τι τῆς πόλεως[202] συναποσταλῇ, κἂν μὴ πᾶσα παρῇ, καὶ τὸ τῶν θεῶν εὐμενὲς[203] καὶ τὸ τῆς τύχης[204] ἡμῖν συναγωνίζεται· ὅποι δ' ἂν στρατηγὸν καὶ ψήφισμα κενὸν[205] καὶ τὰς ἀπὸ τοῦ βήματος ἐλπίδας[206] ἐκπέμψητε, οὐδὲν ἡμῖν τῶν δεόντων γίγνεται. Ἀλλ' οἱ μὲν ἐχθροὶ καταγελῶσιν, οἱ δὲ σύμμαχοι τεθνᾶσι τῷ δέει, διὰ τοὺς τοιούτους ἀποστόλους[207]. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν[208] ἕνα ἄνδρα ἂν ξυνηθῆναί ποτε ταῦθ' ὑμῖν πρᾶξαι ἅπαντ', ὅσα βουλεσθε· ὑποσγέσθαι μέν τοι καὶ φῆσαι, καὶ τὸν δεῖνα αἰτιάσασθαι, καὶ τὸν δεῖνα, ἔστι[209]· τὰ δὲ πράγματα ἐκ τούτων ἀπόλωλεν. Ὅταν γὰρ ἡττῆται μὲν ὁ στρατηγὸς ἀθλίων ἀπομίσθων ξένων, οἱ δ' ὑπὲρ ὧν ἂν ἐκεῖνος ἐκεῖ πράξῃ πρὸς ὑμᾶς ψευδόμενοι ῥᾳδίως ἐνθάδ' ὦσιν[210], ὑμεῖς δ' ἐξ ὧν ἀκούσητε, ὅ,τι ἂν τύχῃ ῥᾳδίως ψηφίζησθε, τί καὶ χρὴ προσδοκᾶν; Πῶς οὖν ταῦτα παύσεται; Ὅταν ὑμεῖς, ὦ

186) Ἴσως πρότερον ἐδύνασθε νὰ τὰ κάμνετε χωρὶς πολὺν κίνδυνον. 187) Τὰ πράγματα.
188) Ποιεῖν ταῦτα. 189) Ὑπὲρ τῆς πόλεως αἰσχυνομένους ἐπὶ τοῖς γινομένοις.
190) Νομίζω ὅτι τινὲς ἐξ ὑμῶν ἤθελον μένει εὐχαριστημένοι μὲ αὐτὰ, διὰ τὰ ὁποῖα ὅμως ἠθέλαμεν καταισχυνθῆ καὶ δειχθῆ ἀνανδροι κτλ. 191) Κατά τινος. 192) Θέλει σᾶς ἐρεθίσει. 193) Λογίζεται τὴν ἀρχὴν γεγενημένην, ὅτι ἡ ἀρχὴ ἔγινε. 194) Δὲν θὰ σταθῆ ὁ Φίλιππος ὡς ἐδῶ. 195) Νὰ τὸν κωλύσῃ κάνεις ἄλλος; 196) Ἀθηναίων, μὴ ξενικῆς.
197) Ἐλπίδας περὶ βοηθείας τὰς ὁποίας ὁ μὲν ἢ ὁ δὲ σᾶς δίδει. 198) Μὲ ἓν τοὐλάχιστον μέρος μὴ ξένων στρατιωτῶν. 199) Ἀφ' οὗ δὲν τὸ ἐκάμαμεν πρότερον. 200) Κατὰ τί αἱ ὑποθέσεις τοῦ Φιλίππου εἶναι ἐπισφαλεῖς, καὶ ἐπομένως ποῦ θὰ δυνηθῶμεν νὰ ἀράξωμεν.
201) Τρεῖς ἀρνήσεις διὰ σφοδρότητα. 202) Τῶν πολιτῶν. 203) Ἡ εὐμένεια.
204) Εὐμενές. 205) Λόγους χωρὶς ἔργα. 206) Ἀπὸ ταῦ ἄμβωνος λεγομένας. 207) Ἐκστρατείας. 208) Δυνατόν. 209) Ὁ στρατηγὸς ὑποχωρεῖ εἰς τὰς θελήσεις ξένων μὴ λαβόντων τὸν συμφωνηθέντα μισθόν. 210) Ῥᾳδίως (ἀσυστόλως) ψευδόμενοι, ὧσιν ἐνταῦθα.

ἄνδρες Ἀθηναῖοι, τοὺς αὐτοὺς ἀποδείξητε στρατιώτας καὶ μάρτυρας τῶν στρατηγουμένων[214], καὶ δικαστὰς οἵκαδ' ἐλθόντας τῶν εὐβουλιῶν[215]. ὥστε μὴ ἀκούειν μόνον ὑμᾶς τὰ ὑμέτερ' αὐτῶν, ἀλλὰ καὶ παρόντας ὁρᾶν[216]. Νῦν δ' εἰς τοῦθ' ἥκει τὰ πράγματα αἰσχύνης, ὥστε τῶν στρατηγῶν ἕκαστος ὅτις καὶ τρὶς κρίνεται παρ' ὑμῖν περὶ θανάτου πρὸς δὲ τοὺς ἐχθροὺς οὐδεὶς οὐδὲ ἅπαξ αὐτῶν ἀγωνίσασθαι περὶ θανάτου τολμᾷ, ἀλλὰ τὸν τῶν ἀνδραποδιστῶν[217] καὶ λωποδυτῶν θάνατον μᾶλλον αἱροῦνται τοῦ προσήκοντος[218]. Κακούργου μὲν γάρ ἐστι, κριθέντ' ἀποθανεῖν στρατηγοῦ δὲ, μαχόμενον τοῖς πολεμίοις.

Ὑμῶν δ' οἱ μέν, περιόντες, μετὰ Λακεδαιμονίων φασὶ Φίλιππον πράττειν τὴν Θηβαίων κατάλυσιν[219], καὶ τὰς πολιτείας διασπᾶν· οἱ δ', ὡς πρέσβεις πέπομφεν ὡς βασιλέα[220]· οἱ δ' ἐν Ἰλλυριοῖς πόλεις τειχίζειν· οἱ δὲ, λόγους πλάττοντες ἕκαστος περιερχόμεθα. Ἐγὼ δ' οἶμαι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, νὴ τοὺς θεοὺς, ἐκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμένων, καὶ πολλὰ τοιαῦτα ὀνειροπολεῖν ἐν τῇ γνώμῃ, τήν τ' ἐρημίαν τῶν κωλυσόντων ὁρῶντα, καὶ τοῖς πεπραγμένοις ἐπηρμένον· οὐ μέντοι γε οὐ μὰ Δί' οὕτω προαιρεῖσθαι[221] πράττειν, ὥστε τοὺς ἀνοητοτάτους τῶν παρ' ἡμῖν εἰδέναι, τί μέλλει ποιεῖν ἐκεῖνος· ἀνοητότατοι γάρ εἰσιν οἱ λογοποιοῦντες[222]. Ἀλλ' ἐὰν, ἀφέντες ταῦτ', ἐκεῖνα εἰδῶμεν, ὅτι ἐχθρὸς ἄνθρωπος, καὶ τὰ ἡμέτερα ἡμᾶς ἀποστερεῖ, καὶ χρόνον πολὺν ὕβρικε, καὶ ἅπαντα ὅσα πώποτ' ἠλπίσαμέν τινα πράξειν ὑπὲρ ἡμῶν, καθ' ἡμῶν εὕρηται[223], καὶ τὰ λοιπὰ ἐν ἡμῖν αὐτοῖς ἐστι[224], κἂν μὴ νῦν ἐθέλωμεν ἐκεῖ πολεμεῖν αὐτῷ, ἐνθάδ' ἴσως ἀναγκασθησόμεθα τοῦτο ποιεῖν, ἂν ταῦτα εἰδῶμεν, καὶ τὰ δέοντα ἐσόμεθα ἐγνωκότες, καὶ λόγων ματαίων ἀπηλλαγμένοι[225]· οὐ γὰρ ἅττα ποτ' ἔσται δεῖ σκοπεῖν, ἀλλ' ὅτι φαῦλ', ἂν μὴ προσέχητε τοῖς πράγμασι τὸν νοῦν, καὶ τὰ προσήκοντα ποιεῖν ἐθέλητ', εὖ εἰδέναι[226].

Ἐγὼ μὲν οὖν, οὔτ' ἄλλοτε πώποτε πρὸς χάριν εἰλόμην λέγειν ὅ,τι ἂν μὴ καὶ συνοίσειν ἡμῖν πεπεισμένος ὦ, νῦν τε, ἃ γιγνώσκω, πάνθ' ἁπλῶς, οὐδὲν ὑποστειλάμενος, πεπαῤῥησίασμαι[227]. Ἐβουλόμην δ' ἄν, ὥσπερ ὅτι ὑμῖν συμφέρει τὰ τὰ βέλτιστα ἀκούειν οἶδα, οὕτως εἰδέναι συνοῖσον[228] καὶ τῷ τὰ βέλτιστα εἰπόντι· πολλῷ γὰρ ἂν ῥᾴδιον εἶπον· νῦν δ' ἐπ' ἀῤῥήλοις οὖσι[229] τοῖς ἀπὸ τούτων ἐμαυτῷ γενησομένοις, ὅμως ἐπὶ τῷ συνοίσειν ὑμῖν, ἐὰν πράξητε ταῦτα, πεπεῖσθαι[230], λέγειν αἱροῦμαι. Νικᾷη δ' ὅ,τι πᾶσιν ὑμῖν μέλλει συνοίσειν.

---

214) Ἴδε ἀνωτ. σημ. 108. 215) Τὰς ὁποίας ἔχει νὰ δώσῃ ὁ στρατηγός. 216) Νὰ μὴν ἀκούητε μόνον ὅσα (οἱ ῥήτορες) σᾶς λέγουσιν, ἀλλὰ νὰ βλέπετε καὶ ἀνθρώπους οἱ ὁποῖοι ἦσαν αὐτόπται τῶν περιστάσεων. 217) Πειρατῶν. 218) Προτιμοῦν ν' ἀποθνήσκωσι κριθέντες ἀπὸ σᾶς, παρὰ νὰ ἐκπεθῶσιν εἰς τὸν πόλεμον μὲ τὰ ξενικὰ ταῦτα στρατεύματα.

219) Ὅτι ὁ Φίλιππος συμφώνως μὲ τοὺς Λακ. ἐνεργεῖ τὴν καταστροφὴν τῶν Θηβαίων.

220) Πρὸς τὸν βασιλέα τῆς Περσίας. 221) Οὐκ οἶμαι αὐτὸν προαιρεῖσθαι πράττειν οὕτως ὥστε. 222) Οἱ πλάττοντες τοὺς τοιούτους λόγους. 223) Εὑρέθησαν ἐστραμμένα.

224) Καὶ ὅτι ἡ ἐπιλοιπος ἡ μέλλουσα τύχη μας ἀπὸ ἡμᾶς αὐτοὺς ἐξαρτᾶται.

225) Ἐσόμεθα. 226) Οὐ δεῖ σκοπεῖν ἅττα ἔσται τὰ πράγματα, ἀλλὰ δεῖ εἰδέναι ὅτι ἔχει φαῦλα, εἰ μὴ κτλ. 227) Μετὰ παῤῥησίας εἶρηκα. 228) Οὕτως εἰδέναι ὅτι τὸ ἀκούειν τὰ βέλτιστα συνοίσει, ὠφελήσει τῷ τὰ βέλτιστα εἰπόντι (ἐμοί). 229) Λέγειν ἐπ' ἀῤῥήλοις, μ' ὅλον ὅτι εἶναι ἄδηλα τὰ γενησόμενα ἐμοί, τὰ ἀποτελέσματα τῶν λόγων μου δι' ἐμέ, σημ. ἂν δὲν θέλετε ὀργισθῇ κατ' ἐμοῦ. 230) Ἐπὶ τῷ πεπεῖσθαι (διότι πέποιθα) συνοίσειν ὑμῖν.

Δ'. ΠΛΑΤΩΝΟΣ

άτων Ἀρίσωνος, ὁ πατὴρ τῆς φιλοσοφίας, ἐξ ἐπισήμου οἰκογενείας τῶν Ἀθηνῶν, ἐγεννήθη τὸ 430 π. Χ. Ὀλ. 87, γ'. Διδαχθεὶς δὲ παρὰ τῷ Σωκράτει, ἀπεδήμησε πρὸς ἐντελεστέραν σπουδὴν τῶν ἀνθρώπων εἰς Αἴγυπτον καὶ Σικελίαν, ὅπου ἐξοικειώθη πρὸς Δίωνα τὸν ἐλευθερωτὴν τῶν Συρακουσῶν. Ἐπανελθὼν δὲ εἰς Ἀθήνας, ἐσύστησεν εἰς Ἀκαδημίαν σχολὴν, ἐκ τῆς ὁποίας ἐβλάστησαν αἱ ὀρθότεραι καὶ ὑγιέστεραι τῆς ἀρχαίας φιλοσοφίας ἰδέαι, ἐκ τῆς ὁποίας καὶ αὐτοὶ οἱ τῶν μεταγενεστέρων αἰώνων φιλόσοφοι ἠρύσθησαν μαθήματα ὑψηλά. Ἔγραψε δὲ παμπόλλους διαλόγους περιέχοντας τὰς ἀρχὰς τῆς φιλοσοφίας αὐτοῦ τε καὶ τοῦ διδασκάλου του Σωκράτους, καὶ ἐμφαίνοντας τὸ ἔξοχον τῆς μεγαλοφυΐας του, τὸ βάθος τοῦ νοός του, καὶ τῆς φαντασίας του τὴν λαμπρότητα. Ἀπέθανε δὲ εἰς ἡλικίαν 82 ἐτῶν, καὶ ἐτιμήθη ὑπὸ τῶν συγχρόνων καὶ μεταγενεστέρων του μὲ τὸ ἐπώνυμον ΘΕΙΟΣ.

ΚΡΙΤΩΝ.

Ὁ Σωκράτης, κατηγορηθεὶς ὑπὸ Ἀνύτου καὶ Μελίτου ὅτι εἰσήγαγε νέους θεοὺς καὶ διέφειρε τὴν νεολαίαν, κατεδικάσθη εἰς θάνατον, καὶ ἔμενεν εἰς τὸ δεσμωτήριον μέχρις οὗ ἔλεγεν ἔλθῃ ἡ προσδιωρισμένη ἡμέρα. Ἐν τούτῳ τῷ διαστήματι ὁ ἐπιστήθιος μαθητής του Κρίτων κατώρθωσε νὰ τῷ προμηθεύσῃ μέσα δραπετεύσεως, καὶ ἔρχεται εἰς τὴν φυλακὴν διὰ νὰ τὸν παρακινήσῃ νὰ φύγῃ.

ΣΩΚΡΑΤΗΣ, ΚΡΙΤΩΝ.

Τηνικάδε[1] ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρωῒ ἔτι ἐστί; ΚΡ. Πάνυ μὲν οὖν[2]. ΣΩΚ. Πηνίκα[3] μάλιστα; ΚΡ. Ὄρθρος[4] βαθύς. ΣΩΚ. Θαυμάζω ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι[5]. ΚΡ. Ξυνήθης ἤδη μοί ἐστιν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν[6], καί τι καὶ εὐηργέτηται ὑπ' ἐμοῦ. ΣΩΚ. Ἄρτι δὲ ἥκεις[7], ἢ πάλαι; ΚΡ. Ἐπιεικῶς[8] πάλαι. ΣΩΚ. εἶτα πῶς οὐκ ἤδης ἐπήγειράς με, ἀλλὰ σιγῇ παρακάθησαι; ΚΡ. Οὐ, μὰ τὸν Δία, ὦ Σώκρατες, οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ τε ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι[9]. ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω[10], αἰσθανόμενος ὡς ἡδέως καθεύδεις. Καὶ εἰτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα[11] διάγῃς[12]. Καὶ πολλάκις μὲν δὴ καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμόνισα τοῦ τρόπου[13], πολὺ δὲ μάστα ἐν τῇ νῦν παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πράως φέρεις. ΣΩΚ. Καὶ γὰρ ἄν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον[14] ὄντα,

---

[1]) Τέτοιαν ὥραν, τόσον πρωΐ. [2]) Πρωΐ ἐστι. [3]) Τί ὥρα; [4]) Ἡ πρὶν τοῦ ἐξημερώματος ὥρα. [5]) Νὰ ἀκούσῃ ὅταν ἐκτύπησες τὴν θύραν, καὶ νὰ ἀνοίξῃ. [6]) Ἐμέ. [7]) Ἐνεῷθεν τι παρῳχημένου. [8]) Ἱκανῶς. [9]) Μήτε ἐγὼ δὲν ἤθελα νὰ ἦμαι εἰς ἀγρυπνίαν· διατί νὰ ν προξενήσω εἰς ἐσέ; [10]) Ἀπορῶ διὰ σέ. Εἰς ταύτην τὴν σημασίαν μετὰ γεν. Ἄλλως μεαίνεται. [11]) Ὅσον τὸ δυνατὸν ἡδύτερα. [12]) Ἀντὶ διάγοις κατὰ Κ. Σ. 400 σημ. [13]) Λέγεται: εὐδαιμονίζω σε τόδε, ἢ εὐδαιμονίζω σε τοῦδε (ἕνεκα). Σὲ μακαρίζω διά. [14]) Τὴν ἡλικίαν.

εἰ[45] δεῖ ἤδη τελευτᾶν. ΚΡ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις ξυμφοραῖς ἀλίσκονται, ἀλλ' οὐδὲν αὐτοῖς ἐπιλύεται[46] ἡ ἡλικία τὸ μὴ οὐχὶ[47] ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ. ΣΩΚ. Ἔστι ταῦτα[48]. Ἀλλὰ τί[49] δὴ οὕτω πρωΐ ἀφῖξαι; ΚΡ. Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπὴν οὐ σοί, ὡς ἐμοί φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσι καὶ χαλεπὴν καὶ βαρεῖαν· ἣν ἐγὼ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατα[50] ἂν ἐνέγκαιμι. ΣΩΚ. Τίνα ταύτην[51]; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με[52]; ΚΡ. Οὔ τοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι[53] ἥξειν τήμερον, ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου[54], καὶ καταλιπόντες ἐκεῖ αὐτό. Δῆλον οὖν ἐκ τούτων τῶν ἀγγέλων, ὅτι ἥξει τήμερον, καὶ ἀνάγκη δὲ ἐσαύριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν.

ΣΩΚ. Ἀλλ', ὦ Κρίτων, τύχῃ ἀγαθῇ[55]· εἰ ταύτῃ[56] τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω. Οὐ μέν τοι οἶμαι ἥξειν αὐτὸ τήμερον. ΚΡ. Πόθεν τοῦτο τεκμαίρει; ΣΩΚ. Ἐγώ σοι ἐρῶ. Τῇ γάρ που[57] ὑστεραίᾳ δεῖ με ἀποθνήσκειν ἥ[58] ἢ ἂν ἔλθοι τὸ πλοῖον. ΚΡ. Φασί γέ τοι δὴ[59] οἱ τούτων κύριοι[60]. ΣΩΚ. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας[61] οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας. Τεκμαίρομαι δὲ[62] ἔκ τινος ἐνυπνίου, ὃ ἑώρακα ὀλίγον πρότερον[63] ταύτης τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινι οὐκ[64] ἐγεῖραί με. ΚΡ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον; ΣΩΚ. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα, καλὴ καὶ εὐειδής, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με καὶ εἰπεῖν· ὦ Σώκρατες

Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο[65].

ΚΡ. Ὡς ἄτοπον[66] τὸ ἐνύπνιον, ὦ Σώκρατες. ΣΩΚ. Ἐναργὲς[67] μέν γε, ὡς γ' ἐμοὶ δοκεῖ, ὦ Κρίτων.

3. ΚΡ. Δίαν γε, ὡς ἔοικεν. Ἀλλ', ὦ δαιμόνιε Σώκρατες, ἔτι καὶ νῦν[68] ἐμοὶ πείθου, καὶ σώθητι. Ὡς ἐμοὶ, ἐὰν σὺ ἀποθάνῃς, οὐδεμία ξυμφορὰ ἔστιν ἄλλη[69], ἀλλὰ χωρὶς μὲν τοῦ ἐστερῆσθαι[70] τοιούτου ἐπιτηδείου, οἷον ἐγὼ

45) Ὅτι. 46) Οὐκ ἀπαλλάττει, κωλύει αὐτούς. Τὸ δὲ οὐδὲν ἐλλειπτικῶς ἀντὶ κατ' οὐδέν· ἰσοδυναμεῖ μὲ τὸ Οὐ, καὶ παρήγαγε τὸ ἡμέτερον δέ ν.

47) Ἅττ. αἱ δύω αὗται ἀρνήσεις ἀντὶ μιᾶς, μή. 48) Οὕτως.

49) Τί; ὡς παρ' ἡμῖν, διατί; 50) Περιφρ. ἀντὶ βαρύτατα· ἤθελα φέρει αὐτὴν ὡς ὧν ἐν τοῖς φέρουσι βαρύτατα. 51) Φέρεις ἀγγελίαν. 52) Οἱ Ἀθηναῖοι κατ' ἔτος ἔπεμπον εἰς τὸν ἐν Δήλῳ ναὸν τοῦ Ἀπόλλωνος τὸ πλοῖον τὸ καλούμενον Θεωρίς, νὰ προσφέρῃ θυσίας. Διαρκούσης δὲ τῆς ἀποστολῆς ἦτον νόμος κάνεις νὰ μὴ θανατώνεται εἰς Ἀθήνας. Ἐπειδὴ δὲ ὁ Σωκράτης μίαν ἡμέραν μετὰ τὸν ἀπόπλουν τῆς Θεωρίδος κατεδικάσθη, ἔμεινεν εἰς τὸ δεσμωτήριον μέχρι τῆς ἐπιστροφῆς της. 53) Ὁ Μέν ἀναπαπόδοτος, ὡς πολλάκις μετὰ τὸ οἶμαι καὶ ἄλλα ἀβεβαιότητος δηλωτικά, ὡς εἰ ἔλεγεν. Οἶμαι μέν, οὐκ οἶδα δὲ σαφῶς. 54) Τὸ πρὸς τὸ Αἰγαῖον ἐκτεινόμενον ἀκρωτήριον τῆς Ἀττικῆς. 55) Ἔστω! ὡς παρ' ἡμῖν, μὲ ὥραις καλαῖς! 56) Οὕτω. 57) Τὸ Που ἐξηγεῖται· ἂν δὲν ἀπατῶμαι.

57) Ἡ ἀπόδ. εἰς τὸ Ὑστεραίᾳ, περιέχον συγκριτικὴν ἔννοιαν. Κ. §. 342, σημ. ά.

59) Τοὐλάχιστον εἶναι βέβαιον ὅτι λέγουσι. 60) Οἱ ἕνδεκα λεγόμενοι, οἵτινες ἐπεστάτουν εἰς τὰς καταδίκας. 61) Ἐπὶ ἢ διὰ τῆς ἐπ. 62) Τοῦτο. 63) Πρὶν ἔλθῃς. 64) Ἦν δέοντ. Ὀλίγον ἔλειψε νὰ μ' ἐξυπνίσῃς παράκαιρα. 65) Ἤμαρ, ποιητ. ἡ ἡμέρα. Κέν, ποιητ. ἄν. Τριτάτον, ποιητ. τρίτον. Φθίην, ἀντὶ εἰς Φθίην. Ἐρίβωλος, ἡ ἔχουσα μεγάλας τοὺς βώλας τῆς γῆς. Ἵκοιο Φθίην, ποιητ. εἰς Φθίην. Τὴν τρίτην ἡμέραν θενὰ ἔλθῃς εἰς τὴν Φθίαν. Ὁμ. Ἰλ. Ι'. 363. Διὰ τῆς Φθίας δὲ ἐδῶ ἐννοεῖ τὴν ἄλλην ζωήν. 66) Παράδοξον.

67) Φανερόν τι ἐσήμαινε. 68) Διότι καὶ ἄλλοτε ματαίως ἐποκίμασε νὰ τὸν πείσῃ.

69) Αὕτη εἶναι ἡ μονὴ συμφορὰ δι' ἐμέ, ὅλα τὰ ἄλλα μὲ εἶναι μηδέν. 70) Ἐκτὸς τοῦ ὅτι θέλω στερηθῇ.

οὐδένα μήποτε εὑρήσω, ἔτι δὲ καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ οὐ σαφῶς ἴσασιν, ὡς οἷός τε ὢν σε σώζειν, εἰ ἤθελον ἀναλίσκειν χρήματα, ἀμελήσαιμι[41]. Καί τοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα[42], ἢ δοκεῖν χρήματα περὶ πλείονος ποιεῖσθαι[43] ἢ φίλους; Οὐ γὰρ πείσονται οἱ πολλοί, ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε, ἡμῶν προθυμουμένων. ΣΩΚ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε[44] Κρίτων, οὕτω τῆς τῶν πολλῶν[45] δόξης μέλει; οἱ γὰρ ἐπιεικέστατοι[46], ὧν μᾶλλον ἄξιον φροντίζειν, ἡγήσονται αὐτὰ οὕτω πεπράχθαι, ὥσπερ ἂν πραχθῇ. ΚΡ. Ἀλλ' ὁρᾷς δή, ὅτι ἀνάγκη, ὦ Σώκρατες, καὶ τῆς τῶν πολλῶν δόξης μέλειν. Αὐτὰ δὲ δῆλα[47] τὰ παρόντα νυνί, ὅτι οἷοί τέ εἰσιν οἱ πολλοὶ οὐ τὰ σμικρότατα τῶν κακῶν ἐξεργάζεσθαι, ἀλλὰ σχεδὸν τὰ μέγιστα, ἐάν τις ἐν αὐτοῖς[48] διαβεβλημένος ᾖ. ΣΩΚ. Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τε εἶναι[49] οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί τε ἦσαν[50] καὶ ἀγαθὰ τὰ μέγιστα[51]· καὶ καλῶς ἂν εἶχε νῦν δὲ οὐδέτερα οἷοί τε[52]. Οὔτε γὰρ φρόνιμον, οὔτε ἄφρονα δυνατοὶ ποιῆσαι· ποιοῦσι δὲ τοῦτο, ὅτι ἂν τύχωσιν[53].

ΚΡ. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω. Τάδε δὴ, ὦ Σώκρατες, εἰπέ μοι· ἆρά γε μὴ ἐμοῦ προμηθεῖ[54] καὶ τῶν ἄλλων ἐπιτηδείων, μὴ, ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν[55], ὡς σε ἐνθένδε ἐκκλέψασι[56], καὶ ἀναγκασθῶμεν ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν, ἢ συχνὰ χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; Εἰ γάρ τι τοιοῦτον φοβεῖ, ἔασον αὐτὸ χαίρειν[57]. Ἡμεῖς γάρ που δίκαιοί ἐσμεν[58], σώσαντές σε κινδυνεύειν τοῦτον τὸν κίνδυνον, καὶ ἐὰν δέῃ, ἔτι τούτου μείζω· ἀλλ' ἐμοὶ πείθου, καὶ μὴ ἄλλως ποίει. ΣΩΚ. Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά. ΚΡ. Μὴ τοίνυν ταῦτα φοβοῦ. Καὶ γὰρ οὐδὲ πολὺ ταργύριόν ἐστιν, ὃ θέλουσι λαβόντες τινὲς σῶσαί σε καὶ ἐξαγαγεῖν ἐνθένδε. Ἔπειτα οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας ὡς εὐτελεῖς[59], καὶ οὐδὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου; σοὶ δὲ ὑπάρχει[60] μὲν τὰ ἐμὰ χρήματα, ὡς ἐγῷμαι, ἱκανά· ἔπειτα καὶ, εἴ τι ἐμοῦ κηδόμενος οὐκ οἴει δεῖν ἀναλίσκειν τὰ ἐμὰ, ξένοι οὗτοι[61] ἐνθάδε ἕτοιμοι ἀναλίσκειν. Εἷς δὲ καὶ κεκόμικεν ἐπ' αὐτὸ τοῦτο ἀργύριον ἱκανὸν, Σιμμίας ὁ Θηβαῖος[62]· ἕτοιμος δὲ καὶ Κέβης[63], καὶ ἄλλοι πολλοὶ πάνυ. Ὥς τε, ὅπερ λέγω, μήτε ταῦτα φοβούμενος ἀποκάμῃς[64] σῶσαι σαυτὸν, μήτε ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ[65] δυσχερές σοι γε-

---

41) Ἡ εὐκτικὴ σημαίνει ἐδῶ τὸ ἀδύβατον καὶ ὑποθετικόν. 42) Ὑπόληψις.
43) Προτιμᾶν. 44) Καλέ μου Κρ. 45) Τοῦ πλήθους. 46) Οἱ ἄριστοι καὶ σοφώτατοι. 47) Τὰ παρόντα πράγματα, (δηλ. ἡ καταδίκη σου) δῆλά εἰσιν, ἀντὶ δηλοῦσιν ὅτι. 48) Ἐν μέσῳ αὐτῶν τῶν πολλῶν. 49) Εἰ ὤφελον εἶναι. Εὐκτ. εἴθε νὰ ἦσαν.
50) Διὰ νὰ ἦσαν ἱκανοί. Κ. §. 463, ἵνα, γ'. 51) Ἐξεργάζεσθαι, 52) Εἶσι ποιεῖν.
53) Ὅ,τι τύχῃ, ὅ,τι φθάσουν. 54) Μήπως λαμβάνεις προμήθειαν ἆρά γε περὶ ἐμοῦ.
55) Ἐνοχλήσωσι. 56) Ἡμῖν ὡς ἐκκλέψασι. 57) Ἄφες το νὰ χαθῇ (τὸ φοβεῖσθαι).
58) Ἀντ. ἀντὶ: δίκαιόν ἐστιν ἡμᾶς σώσαντάς σε κτλ. 59) Μικροπρεπεῖς, εὐώνητοι.
60) Ἔχεις σύ. 61) Τὸ Οὗτοι ἀντὶ Ἰδού. 62) Φίλος τοῦ Σωκράτους, συγγράψας 23 φιλοσοφικοὺς διαλόγους μὴ διασωθέντας. 63) Θηβαῖος, μαθητὴς τοῦ Σωκράτους. Εἰς αὐτὸν ἀποδίδεται κοινῶς ὁ Πίναξ τοῦ Κέβητος, ἠθικὴ πραγματεία, ἥτις διεσώθη μέχρις ἡμῶν. 64) Ὡς παρ' ἡμῖν, ἀπαυδήσῃς· ἐδῶ δὲ, παραιτηθῇς τοῦ νὰ σώσῃς.
65) Πλ. Ἀπολογ. Σωκρ. 27.

μέσθω[66], ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν ὅτι χρῶο σεαυτῷ[67]. Πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε ὅποι ἂν ἀφίκῃ, ἀγαπήσουσί σε· ἂν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι[68], οἵ σε περὶ πολλοῦ ποιήσονται[69], καὶ ἀσφαλείαν σοι παρέξονται, ὡς τὲ σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν.

Ἔτι δὲ, ὦ Σώκρατες, οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα, σαυτὸν προδοῦναι, ἐξὸν[70] σωθῆναι· καὶ τοιαῦτα σπεύδειν[71] περὶ σεαυτὸν γενέσθαι, ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσειάν τε καὶ ἔσπευσαν[72], σὲ διαφθεῖραι βουλόμενοι. Πρὸς δὲ τούτοις καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὓς σοι ἐξὸν[70] καὶ ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι οἰχήσει καταλιπών, καὶ, τὸ σὸν μέρος[73], ὅτι ἂν τύχωσι[74], τοῦτο πράξουσι· τεύξονται δὲ, ὡς τὸ εἰκός, τοιούτων οἷά περ εἴωθε γίγνεσθαι ἐν ταῖς ὀρφανίαις περὶ τοὺς ὀρφανούς. Ἢ γὰρ οὐ χρὴ ποιεῖσθαι παῖδας, ἢ ξυνδιαταλαιπωρεῖν καὶ τρέφοντα καὶ παιδεύοντα. Σὺ δέ μοι δοκεῖς τὰ ῥᾳθυμότατα[70] αἱρεῖσθαι. Χρὴ δὲ ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φάσκοντά[75] γε δὴ ἀρετῆς διὰ παντὸς τοῦ βίου ἐπιμελεῖσθαι. Ὡς[77] ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν τῶν σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα τὸ περὶ σὲ[78] ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ[79] πεπρᾶχθαι· καὶ ἡ εἴσοδος[80] τῆς δίκης εἰς τὸ δικαστήριον ὡς εἰσῆλθες[81], ἐξὸν[70] μὴ εἰσελθεῖν[82]· καὶ αὐτὸς ὁ ἀγὼν τῆς δίκης ὡς ἐγένετο[83]· καὶ τὸ τελευταῖον δὴ τοῦτο, ὥσπερ κατάγελως τῆς πράξεως, κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖν[84], οἵτινές σε οὐ διεσώσαμεν, οὐδὲ σὺ σαυτὸν, οἷόν τε ὂν[70] καὶ δυνατὸν, εἴτε καὶ σμικρὸν ἡμῶν ὄφελος ἦν. Ταῦτ' οὖν, ὦ Σώκρατες, ὅρα μὴ ἅμα τῷ κακῷ[85] καὶ αἰσχρὰ ᾖ, σοί τε καὶ ἡμῖν· ἀλλὰ βουλεύου· μᾶλλον δὲ οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι[80]. Μία δὲ βουλή· Τῆς γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι. Εἰ δέ τι περιμενοῦμεν, ἀδύνατον καὶ οὐκέτι οἷόν τε. Ἀλλὰ παντὶ τρόπῳ, ὦ Σώκρατες, πείθου μοι, καὶ μηδαμῶς ἄλλως ποίει.

6. ΣΩΚ. Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά τινος ὀρθότητος εἴη[87]· εἰ δὲ μή, ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα. Σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον, εἴτε μή. Ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ

---

66) Ἂς μὴ σὲ δυσκολεύσῃ. 67) Τί νὰ κάμῃς τὸν ἑαυτόν σου. Εἰς τὴν ἀπολογίαν του εἶπεν· Ἂν μ' ἐξορίσητε, ποῦ νὰ ὑπάγω; Ἂν σεῖς οἱ συμπολῖται μου δὲν μὲ ὑπεφέρατε, θὰ μὲ ὑποφέρωσιν οἱ ξένοι; κτλ. 68) Φίλοι εἰς ξένον τόπον συνδεδεμένοι διὰ σχέσεως φιλοξενίας ἐκαλοῦντο ξένοι. 69) Θέλουσι σὲ περιποιηθῇ. 70) Κ. Ξ. 339, β'. 71) Μεταβ. ἐπισπεύδειν. 72) Τὰ ὁποῖα οἱ ἐχθροί σου ἠμποροῦσαν μόνοι νὰ ἐπισπεύδωσι, καὶ τῷ ὄντι ἐπέσπευσαν. 73) Καθ' ὅσον ἐξαρτᾶται ἀπὸ σέ. 74) Ὅ,τι σύχῃ, εὐτελὲς καὶ ἀγενές τι ἐπιτήδευμα. 75) Ὅτι εἶναι ἀναπαυτικώτερον διὰ σέ, δηλ. νὰ τοὺς ἀφήσῃς μᾶλλον παρὰ νὰ παλαιπωρήσῃς μὲ αὐτούς. 76) Σὲ φάσκοντα. 77) Διότι. 78) Ὅλη αὐτὴ ἡ περὶ σοῦ ὑπόθεσις. 79) Δι' ἀνανδρίαν ἡμ. 80) Ἡ εἰσαγωγή. 81) Κατ' ἄλλους εἰσῆλθεν (ἡ δίκη). 82) Ἂν ἤθελες δηλ. νὰ φύγῃς ἐν καιρῷ. 83) Κατὰ τὸν τρόπον τὸν ὁποῖον ἐγένετο. 84) Μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα, καὶ ἡ εἴσοδος, καὶ ὁ ἀγών, καὶ τὸ δοκεῖν ἡμᾶς διαπεφευγέναι τὸ τελευταῖον τοῦτο (τὸ περὶ τῆς σωτηρίας), ὥσπερ τις κατάγελως τῆς ἡμετέρας πράξεως, πεπρᾶχθαι· ἢ μὴ γραπτέον δοκεῖ ἀντὶ δοκεῖν. Καὶ τότε ὑπάρχουσι δύω διακεκριμέναι φράσεις, διαιρούμεναι διὰ τελείας μετὰ τὸ Ἐγένετο. 85) Οὐ μόνον κακὰ ἀλλὰ καὶ αἰσχρά. 86) Νὰ ἔχῃς ἤδη σχηματισμένην τὴν γνώμην σου, ἀφ' οὗ ἐβουλεύθης προηγουμένως. 87) Ἂν ἦναι κατά τι ὀρθή.

καὶ ἀεὶ τοιοῦτος, οἷος[86] [τῶν ἐμῶν[87]] μηδενὶ ἄλλῳ πεισθῆναι ἢ τῷ λόγῳ, ὃς ἂν μοι λογιζομένῳ βέλτιστος φαίνηται. Τοὺς δὴ λόγους, οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι νῦν ἐκβαλεῖν[88], ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν· ἀλλὰ σχεδόν τι ὁμοίοις φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς προσθεύω καὶ τιμῶ, οὓς περ καὶ πρότερον. Ὧν ἐὰν μὴ βελτίω[89] ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι, ὅτι οὐ μή σοι ξυγχωρήσω[90], οὐδ' ἂν πλείω[91] τῶν νῦν παρόντων ἡ τῶν πολλῶν[92] δύναμις ὥσπερ παῖδας ἡμᾶς μορμολύττηται[93], δεσμούς τε καὶ θανάτους ἐπιπέμπουσα, καὶ χρημάτων ἀφαιρέσεις. Πῶς οὖν ἂν μετριώτατα[94] σκοποίμεθα αὐτά; Εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλάβοιμεν[95], ὃν σὺ λέγεις, τὸν περὶ τῶν δοξῶν, πότερον καλῶς ἐλέγετο ἑκάστοτε[96], ἢ οὔ, ὅτι ταῖς μὲν δεῖ τῶν δοξῶν προσέχειν τὸν νοῦν, ταῖς δὲ οὔ· ἢ πρὶν μὲν δεῖν ἀποθνήσκειν, καλῶς ἐλέγετο, νῦν δὲ καταδῆλος ἄρα ἐγένετο, ὅτι ἄλλως[97] ἕνεκα λόγου[98] ἐλέγετο, ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς. Ἐπιθυμῶ δ' ἔγωγε ἐπισκέψασθαι, ὦ Κρίτων, κοινῇ μετὰ σοῦ, εἴ τι μοι ἀλλοιότερος φανεῖται[99], ἐπειδή γε ὧδε ἔχω[100], ἢ ὁ αὐτός· καὶ ἐάσομεν χαίρειν[101], ἢ πεισόμεθα αὐτῷ. Ἐλέγετο δέ πως, ὡς ἐγῷμαι[102], ἑκάστοτε ὧδε ὑπὸ τῶν οἰομένων τι λέγειν[103], ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον. Ὅτι τῶν δοξῶν, ἃς οἱ ἄνθρωποι δοξάζουσι[104], δέοι τὰς μὲν περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ μή. Τοῦτο, πρὸς θεῶν, ὦ Κρίτων, οὐ δοκεῖ καλῶς σοι[105] λέγεσθαι; σὺ γάρ, ὅσα γε τἀνθρώπεια[106], ἐκτὸς εἰ τοῦ μέλλειν[107] ἀποθνήσκειν αὔριον, καὶ οὐκ ἂν σε παρακρούοι[108] ἡ παροῦσα ξυμφορά. Σκόπει δή. Οὐχ ἱκανῶς[109] δοκεῖ σοι λέγεσθαι, ὅτι οὐ πάσας χρὴ τὰς δόξας τῶν ἀνθρώπων τιμᾶν, ἀλλὰ τὰς μέν[110], τὰς δ' οὔ; οὐδὲ πάντων[111], ἀλλὰ τῶν μέν, τῶν δ' οὔ; τί φῄς; ταῦτα οὐχὶ καλῶς λέγεται; ΚΡ. Καλῶς. ΣΩΚ. Οὐκοῦν τὰς μὲν χρηστὰς τιμᾶν, τὰς δὲ πονηρὰς μή; ΚΡ. Ναί. ΣΩΚ. Χρησταὶ δὲ οὐχ αἱ τῶν φρονίμων; πονηραὶ δὲ αἱ τῶν ἀφρόνων; ΚΡ. Πῶς δ' οὔ;

7. ΣΩΚ. Φέρε δή, πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο[112]; Γυμναζόμενος ἀνὴρ καὶ τοῦτο πράττων[113], πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου, ὃς ἂν τυγχάνοι ἰατρὸς[114] ἢ παιδοτρίβης ὤν; ΚΡ. Ἑνὸς μόνου. ΣΩΚ. Οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους

---

86) Τοιοῦτός εἰμι, οἷος, ἀντὶ ὥστε. 87) Τῶν ἐμῶν οἰκείων, ἢ τῶν διαθέσεων τῆς ψυχῆς μου. 88) Νὰ τοὺς ἀποβάλω. 89) Τινὰ λόγον β. 90) Δὲν θὰ ἐνδώσω εἰς σέ. 91) Κατά. 92) Ἡ τοῦ ὄχλου. 93) Μᾶς παρουσιάζει ὡς μορμολύκεια διὰ νὰ μᾶς τρομάξῃ. 94) Μὲ τὸν καλλίτερον τρόπον καὶ κατὰ γράμμα: μὲ τρόπον μέτριον καὶ ὄχι τόσον κακόν. 97) Ἐπιχειρισθῶμεν νὰ ἐξετάσωμεν. 98) Ἄλλοτε δηλ. ὅτε διελεγόμεθα περὶ δοξῶν, περὶ τῆς κοινῆς γνώμης. 99) Μάτην. 100) Διὰ νὰ γίνηται ὁμιλία. 101) Ἂν ὁ λόγος θὰ μὲ φανῇ διαφέρων. 102) Ἐπειδὴ εἰς τοιαύτην εἶμαι θέσιν, καταδικασμένος δηλ. κτλ. 103) Λύτὸν, κατὰ τὸ ἀποτέλεσμα τῆς διασκέψεως. 103) Ἐγὼ εἶμαι. 105) Τῶν νομιζόντων ὅτι κατά τι ὀρθὸν ἔλεγον. Ἐννοεῖ δὲ τοὺς συνομιλοῦντας μετ' αὐτοῦ μαθητάς τε, ἴσως δὲ καὶ τὸν ἑαυτόν του. 106) Τῶν γνωμῶν ὅσας ἔχουσι περὶ τινος. 107) Δοκεῖ σοι. 108) Κατὰ τὴν τάξιν τῶν ἀνθρωπίνων πραγμάτων. Ἐκτὸς ἂν πάθῃς τι κατὰ θείαν βούλησιν. 109) Τοῦ κινδύνου τοῦ μέλλειν, δὲν ὑποκεισαι εἰς τὸ μ. 110) Δὲν δύναται νὰ πλανήσῃ τὴν κρίσιν σου. 111) Ὀρθῶς 112) Ὑπεν. ναὶ ἡ χρή. 113) Τῶν ἀνθρώπων. 114) Ὅτε διελεγόμεθα περὶ αὐτῶν ἄλλοτε. 115) Ἀνὴρ ὅστις συνηθίζει νὰ γυμνάζηται, ἐνῷ πράττει τοῦτο, προσέχει. 110) Διότι αἱ γυμνασίαι ἐθεωροῦντο ὡς γινόμεναι πρὸς ῥώσιν τοῦ σώματος. Παιδοτρίβης δὲ ὁ προγυμναστής.

καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν; ΚΡ. Δηλαδὴ[117]. ΣΩΚ. Ταύτῃ[118] ἄρα αὐτῷ πρακτέον[119], καὶ γυμναστέον, καὶ ἑδεστέον[120] γε καὶ ποτέον, ᾗ[121] ἂν τῷ ἑνὶ δοκῇ τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι[122] μᾶλλον ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις. ΚΡ. Ἔστι ταῦτα[123]. ΣΩΚ. Εἶεν· ἀπειθήσας δὲ τῷ ἑνὶ, καὶ ἀτιμάσας αὐτοῦ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν καὶ μηδὲν ἐπαΐόντων, ἆρα οὐδὲν κακὸν πείσεται; ΚΡ. Πῶς γὰρ οὔ; ΣΩΚ. Τί δ' ἐστὶ τὸ κακὸν τοῦτο; καὶ ποῖ τείνει, καὶ εἰς τί[124] τῶν τοῦ ἀπειθοῦντος; ΚΡ. Δῆλον ὅτι εἰς τὸ σῶμα. Τοῦτο γὰρ διόλλυσι. ΣΩΚ. Καλῶς λέγεις. Οὐκοῦν καὶ τἄλλα[125], ὦ Κρίτων, οὕτως, ἵνα μὴ πάντα διέωμεν. Καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων, καὶ αἰσχρῶν καὶ καλῶν, καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡμῖν ἐστιν ἡ βουλὴ[126], πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι καὶ φοβεῖσθαι αὐτήν, ἢ τῇ τοῦ ἑνός, εἴτις ἐστὶν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ ξύμπαντας τοὺς ἄλλους, ᾧ[127] εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο[128], τῷ δὲ ἀδίκῳ ἀπώλλυτο; ἢ οὐδέν ἐστι[129] τοῦτο; ΚΡ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες.

8. ΣΩΚ. Φέρε δή, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γιγνόμενον, ὑπὸ τοῦ νοσώδους δὲ διαφθειρόμενον[130], διολέσωμεν, πειθόμενοι μὴ τῇ τῶν ἐπαΐόντων[131] δόξῃ, ἆρα βιωτὸν ἡμῖν ἐστι[132], διεφθαρμένου αὐτοῦ; ἔστι δέ που τοῦτο σῶμα, ἢ οὐχί[133]; ΚΡ. Ναί. ΣΩΚ. Ἆρ' οὖν βιωτὸν ἡμῖν ἐστι μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος; ΚΡ. Οὐδαμῶς. ΣΩΚ. Ἀλλὰ μετ' ἐκείνου[134] ἆρά ἐστιν ἡμῖν βιωτὸν διεφθαρμένου, ὃ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν[135]; ἢ φαυλότερον ἡγούμεθα εἶναι τοῦ σώματος ἐκεῖνο ὅ,τι ποτ' ἐστὶ τῶν ἡμετέρων[136], περὶ ὃ ἥ τε ἀδικία καὶ ἡ δικαιοσύνη ἐστίν; ΚΡ. Οὐδαμῶς. ΣΩΚ. Ἀλλὰ τιμιώτερον; ΚΡ. Πολύ γε. ΣΩΚ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν οὕτω φροντιστέον ὅ,τι ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ,τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς, καὶ αὐτὴ ἡ ἀλήθεια[137]. Ὥστε πρῶτον μὲν ταύτῃ[138] οὐκ ὀρθῶς εἰσηγεῖ, εἰσηγούμενος τὴς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δικαίων καὶ καλῶν καὶ ἀγαθῶν καὶ τῶν ἐναντίων. Ἀλλὰ μὲν δὴ, φαίη γ' ἄν τις, οἷός τέ εἰσιν ἡμᾶς οἱ πολλοὶ ἀποκτιννύναι[139]. ΚΡ. Δῆλα δή καὶ ταῦτα· φαίη γ' ἄν τις, ὦ Σώκρα-

---

117) Προφανῆ εἶναι αὐτὰ ὅπου λέγεις. Βεβαιότατα. 118) Κατὰ τοῦτον τὸν τρόπον.
119) Πρέπει νὰ πράττῃ αὐτός. 120) Πρέπει νὰ τρώγῃ. 121) Ὅπως. 122) Τῷ ἐννοοῦντι.
123) Δηλ. τῷ ἑνὶ κτλ. 124) Μέρος. 125) Εἰς ὅλα τὰ ἄλλα πράγματα. 126) Ἡ σκέψις.
127) Ἑνί. 128) Βελτιοῦται διὰ τῆς δικαιοσύτης. Ἐννοεῖ τὴν ψυχὴν, ὡς τὸ σῶμα βελτιοῖ ἡ γυμναστική. Οἰκειότερος φαίνεται ἐδῶ ὁ ἐνεστώς. Ὁ δὲ παρατατικὸς, ὡς νὰ ἔλεγεν: ἐγίνετο ὅ,τι ὡμιλήσαμεν περὶ αὐτοῦ ἀνωτέρω. 129) Τοῦτο, ὃ λέγω, ἔστιν οὐδέν· ἢ: Οὐκ ἔστι τοῦτο. 130) Ὑγιεινοῦ καὶ νοσώδους, οὐδέτερα ἀντὶ ἀφηρημένων ὑγείας καὶ νόσου.
131) Ὑπερβατὸν ἀντὶ: Τῇ τῶν μὴ ἐπαΐόντων. 132) Ἠμποροῦμεν νὰ ζήσωμεν.
133) Μετὰ τὴν ἐρώτησίν του, φοβούμενος μὴ ἦναι σκοτεινὸς ὁ ὁρισμός του, πρὶν ζητήσῃ ἀποκρισιν ἐρωτᾷ ἂν τὸ ὁποῖον οὕτως ὥρισε δὲν εἶναι τὸ σῶμα. 134) Μετ' ἐκείνου τοῦ ἄλλου πράγματος, τῆς ψυχῆς. 135) Τὸ ἄδικον, τὸ δίκαιον, ὁμοίως ἀντὶ ἡ ἀδικία, ἡ δικαιοσύνη. 136) Τῶν ἐν ἡμίν. 137) Ἡ ἀλήθεια ἐρεῖ. Ἐπαίοντα δὲ ἕνα περὶ δικαίου καὶ ἀδίκου ἐννοεῖ τὸν θεόν. 138) Κατὰ τοῦτο (τὸ μὴ φροντιστέον τῆς τῶν πολλῶν δόξης, ἀλλὰ τῆς τοῦ ἑνὸς ἐκείνου) δὲν προτείνεις ὀρθῶς. 139) Δηλ. πρέπει νὰ φροντίζωμεν περὶ αὐτῶν, διότι ἠμποροῦν νὰ μᾶς φονεύσωσι.

τες. ΣΩΚ. Ἀληθῆ λέγεις. Ἀλλ' ὦ θαυμάσιε, οὗτός γε ὁ λόγος[140] ὃν διεληλύθαμεν, ἔμοιγε δοκεῖ ὅμοιος εἶναι καὶ πρότερον[141]. Καὶ τόνδε[142] ὁ αὖ σκόπει, εἰ ἔτι μένει[143] ἡμῖν, ἢ οὔ· ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν. ΚΡ. Ἀλλὰ μένει. ΣΩΚ. Τὸ δὲ εὖ καὶ καλῶς καὶ δικαίως[144] ὅτι ταὐτόν ἐστι, μένει ἢ οὐ μένει; ΚΡ. Μένει.

9. ΣΩΚ. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι, μὴ ἀφιέντων[145] Ἀθηναίων, ἢ ο�ὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα· εἰ δὲ μή, ἐῶμεν. Ἃς δὲ σὺ λέγεις τὰς σκέψεις[146] περὶ τε χρημάτων ἀναλώσεως καὶ δόξης καὶ παίδων τροφῆς, μή[147] ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ἦ[148] τῶν ῥᾳδίως ἀποκτιννύντων, καὶ ἀναβιωσκομένων γ' ἂν[149], εἰ οἷοί τε ἦσαν, οὐδενὶ ξὺν νῷ[150], τούτων τῶν πολλῶν· ἡμῖν δὲ, ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ[151], μὴ οὐδὲν[152] ἄλλο σκεπτέον ἢ, ἢ, ὅπερ νῦν δὴ ἐλέγομεν, πότερον δίκαια πράξομεν καὶ χρήματα τελοῦντες τούτοις τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσι καὶ χάριτας[153], καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι[154], ἢ τῇ ἀληθείᾳ ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες. Κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ[155] οὐ δέῃ ὑπολογίζεσθαι οὔτ' εἰ ἀποθνήσκειν δεῖ παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτ' ἄλλο ὁτιοῦν πάσχειν[156], πρὸ τοῦ ἀδικεῖν[157]. ΚΡ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώκρατες· ὅρα δὲ τί δρῶμεν. ΣΩΚ. Σκοπῶμεν, ὦ ἀγαθὲ, κοινῇ· καὶ εἴ πῃ ἔχεις ἀντιλέγειν ἐμοῦ λέγοντος, ἀντίλεγε, καί σοι πείσομαι· εἰ δὲ μή, παῦσαι ἤδη, ὦ μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον, ὡς χρὴ ἐνθένδε ἀκόντων Ἀθηναίων ἐμὲ ἀπιέναι. Ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι πεῖσαί σε ταῦτα πράττειν[158], ἀλλὰ μὴ ἄκοντος[159]. Ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς[160] λέγηται, καὶ πειρῶ ἀποκρίνασθαι τὸ ἐρωτώμενον[161], ᾗ ἂν μάλιστα οἴῃ. ΚΡ. Ἀλλὰ πειράσομαι.

10. ΣΩΚ. Οὐδενὶ[162] τρόπῳ φαμὲν ἑκόντας[163] ἀδικητέον εἶναι· ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δ' οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν οὔτε ἀγαθὸν, οὔτε

---

140) Ὁ περὶ τοῦ ἂν πρέπῃ νὰ ἐνδίδῃ τις εἰς τὴν γνώμην τῶν ἐχόντων ἐξουσίαν τοῦ ἀποκτιννύναι. 141) Ἀττικισμ. ἀντὶ Τῷ καὶ πρότερον ῥηθέντι, τῷ προτέρῳ. Ὅτι οὐκ ἐνδοτέον τῇ γνώμῃ τῶν πολλῶν, ἀλλ' ἑνός, τοῦ ἐπαΐοντος. 142) Τὸν λόγον. 143) Ἂν μένῃ ἐν ἰσχύϊ ὡς ἄλλοτε τὸν ἐλέγαμεν. 144) Ζῆν. 145) Ἴσως Ἐφιέντων δηλ. ἐπιτρεπόντων. 146) Τὰς σκέψεις ἅς. Ὅσα ἀνωτέρω ὁ Κρίτων ἐπρότεινε. 147) Σκόπει μή. 148) Εἶναι ὅλα ταῦτα σκέψεις αἱ ὁποῖαι ἀνήκουσιν εἰς τὸν ὄχλον τὸν εὐκόλως καὶ ἀπερισκέπτως φονεύοντα. 149) Τὸν ὄχλον ὅστις εὐχαρίστως ἤθελεν ἀνακαλεῖ εἰς τὴν ζωὴν πολλοὺς ἀφ' ὅσους ἐφόνευσεν ἂν τὸν ἦτον δυνατόν. Δηλοῖ δὲ τὸ ἄσκοπον καὶ ἄστατον τῶν σκέψεων τοῦ ὄχλου. 150) Ἀνοήτως. 151) Οὕτω μᾶς πείθει ὁ λόγος. 152) Μήπως οὐδὲν ἄλλο σκεπτέον ἢ, παρὰ τὸ προειρημένον. 153) Καὶ χάριτας τελοῦντες, ἢ ἄλλο τι ὁμώνυμον τοῦ τελεῖν, τὸ ὁποῖον νὰ λέγηται μετὰ τοῦ χάριτας ὡς τὸ ἐκτίνοντες. 154) Ὁ Κρίτων ἔμελλε νὰ τὸν ἐξάξῃ, ὁ δὲ Σωκρ. νὰ ἐξαχθῇ. 155) Σκόπει μή. 156) Οὔτε εἰ ἄλλο ὁτιοῦν πάσχειν δεῖ. 157) Μήπως οὐ δέῃ ὑπολογίζεσθαι εἰ δὴ ἀποθνήσκειν... πρὸ τοῦ ἀδικεῖν· δηλ. μήπως πρέπει πρῶτον νὰ σκεφθῶμεν ἂν δὲν θὰ πράξωμεν ἄδικα, καὶ ἔπειτα ἂν θ' ἀποθάνωμεν ἢ θὰ πάθωμεν ἄλλο τι. 158) Περὶ πολλοῦ ποιοῦμαι νὰ μὲ πείσῃς σὺ νὰ πράξω αὐτά. 159) Ἐμοῦ. Ἠδύνατο μᾶλλον νὰ μεταχειρισθῇ τὴν αἰτιατικὴν ἄκοντα, συμφωνοῦσαν μὲ τὸ ὑπονοούμενον ἐμὲ, ἀντικείμενον τοῦ πεῖσαι. Ἀλλὰ τῆς τοιαύτης χρήσεως τῆς ἀπολ. γεν. ὑπάρχουσι καὶ ἄλλα παραδείγματα. Θουκ. Ζ' 48. 160) Ὀρθῶς, ἱκανῶς ὥστε νὰ σὲ πείσῃ. 161) Συνηθέστερον: Πρὸς ὅ. 162) Οὐδενὶ ἢ τινί; 163) Ἀντὶ δρατικῆς. Κ. § 384.

καλόν[164]· ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη, ὅπερ καὶ ἄρτι ἐλέγετο; Ἢ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμολογίαι ἐν ταῖσδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσί[165]; καὶ πάλαι, ὦ Κρίτων, ἄρα τηλικοῖδε[166] γέροντες ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι, ἐλάθομεν ἡμᾶς αὐτοὺς[167] παίδων οὐδὲν διαφέροντες[168]; ἢ πάντως μᾶλλον οὕτως ἔχει, ὥσπερ τότε ἡμῖν ἐλέγετο, εἴτε φασὶν[169] οἱ πολλοί, εἴτε μή; Καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα πάσχειν, εἴτε καὶ πραότερα, ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι[170] καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει[171] ὂν παντὶ τρόπῳ; Φαμὲν[172], ἢ οὔ; ΚΡ. Φαμέν. ΣΩΚ. Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν; ΚΡ. Οὐ δῆτα. ΣΩΚ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται· ἐπεὶ δή γε οὐδαμῶς δεῖ ἀδικεῖν. ΚΡ. Οὐ φαίνεται. ΣΩΚ. Τί δαί[173] δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ; ΚΡ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες. ΣΩΚ. Τί δαί· ἀντικακουργεῖν[174] κακῶς πάσχοντα, ὡς οἱ πολλοὶ φασι, δίκαιον, ἢ οὐ δίκαιον; ΚΡ. Οὐδαμῶς. ΣΩΚ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. ΚΡ. Ἀληθῆ λέγεις. ΣΩΚ. Οὔτε ἄρα ἀνταδικεῖν χρὴ, οὔτε κακῶς ποιεῖν σὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν. Καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν[175] ὁμολογῇς. Οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει· οἷς δ' οὕτω δέδοκται, καὶ οἷς μὴ, τούτοις οὐκ ἔστι κοινὴ βουλή[176], ἀλλ' ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα. Σκόπει οὖν δὴ καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς[177] καὶ ξυνδοκεῖ σοι, καὶ ἀρχώμεθα[178] ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος[179] οὔτε τοῦ ἀδικεῖν, οὔτε τοῦ ἀνταδικεῖν, οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς, ἢ ἀρίστασαι καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς; Ἐμοὶ μὲν γὰρ καὶ πάλαι οὕτω, καὶ νῦν ἔτι δοκεῖ· σοὶ δὲ εἴ πῃ ἄλλῃ[180] δέδοκται, λέγε καὶ δίδασκε. Εἰ δὲ ἐμμένεις τοῖς πρόσθεν, τὸ μετὰ τοῦτο[181] ἄκουε. ΚΡ. Ἀλλ' ἐμμένω τε καὶ ξυνδοκεῖ μοι. Ἀλλὰ λέγε. ΣΩΚ. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δὲ ἐρωτῶ· πότερον ἃ ἄν τις ὁμολογήσῃ τῳ, δίκαια ὄντα, ποιητέον ἢ ἐξαπατητέον[182]; ΚΡ. Ποιητέον.

10. ΣΩΚ. Ἐκ τούτων δὴ ἆθρει[183]. Ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πείσαντες[184] τὴν πόλιν, πότερον κακῶς τινας ποιοῦμεν, καὶ ταῦτα, οὓς ἥκιστα δεῖ[185], ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν, ἢ οὔ; ΚΡ. Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς. οὐ γὰρ ἐννοῶ.

---

164) Ἐπαναλαμβάνει τὴν ἀρχὴν τῆς προηγουμένης προτάσεως, διότι αὕτη εἶναι τοῦ λόγου του τὸ κεφάλαιον. 165) Ἀνάλυσις τοῦ Ἐκκέχυνται, ἐξεχύθησαν, ἐχάθησαν.

166) Τόσοι τὴν ἡλικίαν, διότι καὶ ἡλικία ἐκ τοῦ ἥλικος. 167) Ἢ ἐκκεχ. εἰσί, καὶ ἡμεῖς ἐλάθομεν ἡμᾶς αὐτούς. 168) Διότι οὐδὲν σπουδαῖον ἐλέγομεν. 169) Οὕτως ἔχειν.

170) Τῷ ἀδικοῦντι, καὶ οὐχὶ τῷ ἀδικουμένῳ. 171) Οὕτως ἔχει ἢ τυγχάνει. 172) Καταφάσκομεν ἢ ὄχι εἰς τοῦτο; 173) Ἐμφαντικώτερος τοῦ Δέ. Καὶ τί δά. 174) Ἀντὶ κακουργήματος ἀποδίδειν κακούργημα. 175) Παρὰ τὴν γνώμην σου. Θέλει ὥστε ἡ ὁμολογία τοῦ Κρίτωνος νὰ ἦναι ἐντελὴς, διὰ νὰ μὴ τὸν ἀφήσῃ ἔπειτα διεκφυγήν, ἢ νὰ μὴ ἐπανέλθῃ εἰς τὰ ἅπαξ ὁμολογηθέντα. 176) Δὲν σκέπτονται ὁμοίως. 177) Τῆς ἀρχῆς ἣν ἐδέσαμεν ἀνωτέρω, καὶ συνδοκεῖ σοι αὕτη. 178) Προστακτ. Νὰ ἀρχίσωμεν; 179) Βουλευόμενοι ὡς ἔχοντος. Ἐπὶ τῇ ὑποθέσει ὅτι ἔχει. 180) Ἂν ἄλλως πως. 181) Τὰ ἐκ τούτου πορίσματα.

182) Ποιητέον αὐτά, ἢ ἐξαπατητέον αὐτούς; 183) Παρατήρει. Ἴδε τί συμπέρασμα ἐξάγεται. 184) Χωρὶς νὰ πείσωμεν τὴν πόλιν ὅτι πρέπει νὰ ἀπέλθωμεν. 185) Ἐκείνους τοὺς ὁποίους ὀλιγώτερον ἀπὸ κάθε ἄλλον (παντελῶς δὲν) ἔπρεπε νὰ κακοποιήσωμεν.

ΣΩΚ. Ἀλλ' ὧδε σκόπει· εἰ μέλλουσιν[186] ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν, εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο[187], ἐλθόντες οἱ Νόμοι καὶ τὸ Κοινὸν τῆς πόλεως, ἐπιστάντες[188] ἔροιντο· Εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι[189] ἢ τούτῳ τῷ ἔργῳ ᾧ ἐπιχειρεῖς διανοεῖ τούς τε Νόμους ἡμᾶς ἀπολέσαι, καὶ ξύμπασαν τὴν πόλιν, τὸ σὸν μέρος[190]; ἢ δοκεῖ σοι, οἷόν τε ἔτι ἐκείνην τὴν πόλιν εἶναι[191], καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν, ἀλλ' ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνωνται καὶ διαφθείρωνται; Τί ἐροῦμεν, ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; Πολλὰ γὰρ ἄν τις ἔχοι, ἄλλως τε καὶ ῥήτωρ[192], εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι[193]. Ἢ ἐροῦμεν πρὸς αὐτοὺς, ὅτι ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις, καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινε; ταῦτα[194]; ἢ τί ἐροῦμεν; ΚΡ. Ταῦτα νὴ Δία, ὦ Σώκρατες.

12. ΣΩΚ. Τί οὖν; ἂν εἴπωσιν οἱ Νόμοι· Ὦ Σώκρατες, ἦ καὶ ταῦτα[195] ὡμολόγητο ἡμῖν τε καὶ σοί, ἢ ἐμμένειν ταῖς δίκαις αἷς ἂν ἡ πόλις δικάζοι; Εἰ οὖν αὐτῶν θαυμάζοιμεν[196] λεγόντων, ἴσως ἂν εἴποιεν, ὅτι[197], ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου, ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι. Φέρε γὰρ, τί ἐγκαλῶν[198] ἡμῖν καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς, καὶ δι' ἡμῶν ἔλαβε τὴν μητέρα σου ὁ πατὴρ, καὶ ἐφύτευσέ σε; Φράσον οὖν, τούτοις ἡμῶν τοῖς νόμοις τοῖς περὶ τοὺς γάμους μέμφει τι, ὡς οὐ καλῶς ἔχουσιν; Οὐ μέμφομαι, φαίην ἄν.—Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου[199] τροφήν τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν[200] οἱ ἐπὶ τούτῳ τεταγμένοι νόμοι, παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ[201] παιδεύειν; Καλῶς, φαίην ἄν.—Εἶεν. Ἐπειδὴ δὲ ἐγένου[202] τε καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν, πρῶτον μὲν, ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος[203], αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦτο οὕτως ἔχει, ἆρ' ἐξ ἴσου οἴει εἶναί σοι τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, ταῦτα καὶ σὺ ἀντιποιεῖν[204] οἴει δίκαιον εἶναι; Ἢ πρὸς μὲν ἄρα σοι τὸν πατέρα οὐκ ἐξ ἴσου ἦν[205] τὸ δίκαιον καὶ πρὸς δεσπότην (εἴ σοι ὢν ἐτύγχανεν), ὥς τε ἅπερ πά-

---

186) Ἐνῷ μέλλομεν. 187) Ὃ μέλλομεν πράξαι. 188) Οἱ νόμοι ἐπιστάντες, ἀλλὰ καὶ τὸ κοινόν· διότι σημαίνει: οἱ πολῖται. 189) Ἄλλο τι ἔχεις ἐννῷ ἢ ἀπολέσαι; 190) Ὅσον τὸ κατὰ σέ. 191) Σοὶ φαίνεται δυνατὸν, νὰ ὑπάρχῃ ἀκόμη ἐκείνη ἡ πόλις. 192) Μάλιστα ἂν ἦναι ῥήτωρ. 193) Νὰ ἔχωσι κῦρος. 194) Ἐροῦμεν. 195) Ἆρά γε συνωμολογήθησαν μεταξὺ ἡμῶν καὶ σοῦ καὶ ταῦτα τὰ ἀνωτέρω, δηλ. τὸ νὰ ἀκυροῖς τοὺς νόμους ὅταν δὲν σοὶ ἀρέσωσιν, ἢ ἐκ τοῦ ἐναντίου, τὸ νὰ ἐμμένῃς κτλ. Κατὰ δὲ τὸν Κριτικὸν Οὐύλφιον τὸ Ταῦτα ἐννοεῖ τὰ κατωτέρω, ὁ δὲ Ἢ πρέπει νὰ τραπῇ εἰς Ἢ μὴν (πάντως). Εἰπέ μας, συνωμολογήθη μεταξὺ ἡμῶν καὶ σοῦ τὸ νὰ ἐμμένῃς πάντως; 196) Ἀπορῶμεν τί ν' ἀποκριθῶμεν. Τὸ θαυμάζω μετὰ γεν. ἐπὶ κακοῦ, Κ. § 345. β'. σημ. ά. 197) Πλεονάζει ἑπομένης προστακτικῆς, ἀλλ' ἀπαντᾶται οὕτως ἐνίοτε. 198) Ἔγκλημα προσάπτων. 199) Περὶ τοῦ γεννηθέντος. 200) Ἐξ ἡμῶν οἱ τεταγμένοι. 201) Ἡ μουσικὴ περιελάμβανεν ὅλην τὴν παίδευσιν τῆς ψυχῆς, ἡ δὲ γυμναστικὴ ὅλην τὴν τοῦ σώματος. 202) Ἐγεννήθης. 203) Διότι ὁ νόμος εἶναι κύριος τῶν πολιτῶν. 204) Νὰ ποιῇς καὶ σὺ πρὸς ἡμᾶς. 205) Οὐκ ἦν σοι ἐξ ἴσου τὸ δίκαιον πρὸς τὸν πατέρα, δηλ. ὅ,τι εἶναι δίκαιον ἀπὸ μέρους τοῦ πατρὸς πρὸς σὲ δὲν εἶναι καὶ ἀπὸ μέρους σοῦ πρὸς τὸν πατέρα σου.

σχοις, ταῦτα καὶ ἀντιποιεῖν οὔτε κακῶς ἀκούοντα[206] ἀντιλέγειν, οὔτε τυπτόμενον ἀντιτύπτειν, οὔτε ἄλλα τοιαῦτα πολλά· πρὸς δὲ τὴν πατρίδα ἆρα καὶ τοὺς νόμους ἐξέσται σοι, ὥστε ἐάν σε ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι, δίκαιον ἡγούμενοι εἶναι[207], καὶ σὺ δὲ ἡμᾶς τοὺς νόμους καὶ τὴν πατρίδα, καθ' ὅσον δύνασαι, ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ φήσεις, ταῦτα ποιῶν, δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς ἀρετῆς ἐπιμελούμενος; Ἢ οὕτως εἶ σοφὸς[208] ὥς τε λέληθέ σε, ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρίς, καὶ σεμνότερον, καὶ ἁγιώτερον, καὶ ἐν μείζονι μοίρᾳ[210] καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις τοῖς νοῦν ἔχουσι; καὶ σέβεσθαι δεῖ[211] καὶ μᾶλλον ὑπείκειν[212] καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα; καὶ ἢ πείθειν, ἢ ποιεῖν ἃ ἂν κελεύῃ[213]; καὶ πάσχειν ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα[214]; ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι[215]; ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον[216] ἢ ἀποθανούμενον, ποιητέα ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει; καὶ οὐχ ὑπεικτέον, οὐδὲ ἀναχωρητέον, οὐδὲ λειπτέον τὴν τάξιν; ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις τε καὶ ἡ πατρίς; ἢ πείθειν[217] αὐτὴν ᾗ[218] τὸ δίκαιον πέφυκε; βιάζεσθαι δὲ οὐχ ὅσιον[219] οὔτε μητέρα οὔτε πατέρα; πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα; τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς Νόμους ἢ οὔ; ΚΡ. Ἔμοιγε δοκεῖ.

13. ΣΩΚ. Σκόπει τοίνυν, ὦ Σώκρατες (φαῖεν ἂν οἱ Νόμοι), εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι[220] οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς ὃρᾶν, ἃ νῦν ἐπιχειρεῖς. Ἡμεῖς γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων, ὧν οἷοί τε ἦμεν καλῶν σοί τε καὶ τοῖς ἄλλοις πᾶσι πολίταις, ὅμως προαγορεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ[221], ἐπειδὰν δοκιμάσῃ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα, καὶ ἡμᾶς τοὺς Νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι[222] λαβόντα τὰ αὑτοῦ, ἀπιέναι ὅποι ἂν βούληται. Καὶ οὐδεὶς ἡμῶν τῶν Νόμων ἐμποδών ἐστιν οὐδ' ἀπαγορεύει, ἐάν τε τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι (εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις), ἐάν τε μετοικεῖν[223] ἄλλοσέ ποι ἐλθών, ἰέναι ἐκεῖσε ὅποι ἂν βούληται, ἔχων τὰ αὑτοῦ. Ὃς δ' ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν, καὶ τἆλλα[224] τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποιήσειν ταῦτα· καὶ τὸν μὴ πειθόμενον τριχῇ φαμεν ἀδικεῖν ὅτι τε γεννήταις οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείθεσθαι, οὔτε

---

206) Κακολογούμενον, ἐπιπληττόμενον ὑπὸ τοῦ πατρὸς ἢ τοῦ δεσπότου. 207) Τὸ ἀπολλύναι σε. 208) Σὺ ὅστις κατ' ἀλήθειαν ἐπιμελεῖσαι τῆς ἀρετῆς. 209) Τοιοῦτου εἴδως σοφὸς εἶσαι, εἰρων. 210) Ἐν μείζονι μοίρᾳ τιμῆς. 211) Ὅτι σέβ. δεῖ. 212) Τῇ πατρίδι· ἀλλ' ἐνίοτε καὶ πρὸς αἰτίαν. 213) Ἂν δὲν τὴν πείσωμεν. 214) Ἐν ἡσυχίᾳ πάσχειν. 215) Δεῖσθαι (δένεσθαι, δεσμεύεσθαι), ἐὰν ἡ πατρὶς προστάττῃ δεῖσθαι. 216) Ὅπως τρωθῇς. Κ. Σ. 432, ΣΤ'. 217) Λέληθέ σε ὅτι δεῖσε πείθειν. 218) Ὅπως. 219) Ὅτι οὐκ ἔστιν ὅσιον. 220) Σκόπει ὅτι. 221) Διὰ τοῦ πεποιηκέναι ἐξουσίαν τῷ βουλομένῳ τῶν Ἀθηναίων, δηλ. ἀφήσαντες τοῦτο (τὸ ἀπιέναι) εἰς τὴν ἐξουσίαν τῶν βουλομένων ἐκ τῶν Ἀθηναίων. 222) Ἐξεῖναι τῷ βουλομένῳ, ἐπειδὰν δοκιμάσῃ τὰ πράγματα καὶ ἡμᾶς, λαβόντα ἀπιέναι. 223) Ἀποικεῖν, τὸ εἰς πόλιν ἄποικον τῶν Ἀθ. μεταβαίνειν· μετοικεῖν δὲ τὸ εἰς ξένην. 224) Κατὰ τ' ἄλλα.

πείθεται, οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν, προτιθέντων[226] ἡμῶν, καὶ οὐκ ἀγρίως[226] ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλ' ἐφιέντων δυεῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν[227], τούτων οὐδέτερα ποιεῖ.

14. Ταύταις δὴ φαμὲν καὶ σέ, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι[228], εἴπερ ποιήσεις ἃ ἐπινοεῖς· καὶ οὐχ ἥκιστα Ἀθηναίων σέ, ἀλλ' ἐν τοῖς μάλιστα[229]. Εἰ οὖν ἐγὼ εἶποιμι, διὰ τί δή[230]; ἴσως ἄν μου δικαίως καθάπτοιντο, λέγοντες ὅτι ἐν τοῖς μάλιστα[231] Ἀθηναίων ἐγὼ αὐτοῖς[232] ὁμολογηκὼς τυγχάνω ταύτην τὴν ὁμολογίαν[233]. Φαῖεν γὰρ ἄν, Ὅτι, ὦ Σώκρατες, μεγάλα ἡμῖν τούτων τεκμήρια ἐστιν, ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις. Οὐ γὰρ[234] ἄνποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως[235] ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκε· καὶ οὔτ' ἐπὶ θεωρίαν[236] πώποτε ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ[237] ἅπαξ εἰς Ἰσθμὸν[238], οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος· οὔτε ἄλλην ἐποιήσω ἀποδημίαν πώποτε, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι, οὔτε ἐπιθυμία σε ἄλλης πόλεως, οὐδ' ἄλλων νόμων ἔλαβεν εἰδέναι[239]· ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν[240], καὶ ἡ ἡμετέρα πόλις· οὕτω σφόδρα ἡμᾶς ἤρου, καὶ ὡμολόγεις καθ' ἡμᾶς πολιτεύεσθαι· τὰ δὲ ἄλλα[241], καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς πόλεως[242]. Ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν σοι φυγῆς τιμήσασθαι[243], εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι· σὺ δὲ τότε μὲν ἐκαλλωπίζου[244], ὡς οὐκ ἀγανακτῶν, εἰ δέοι τεθνάναι σε, ἀλλ' ἤρου, ὡς ἔφησθα, πρὸ τῆς φυγῆς θάνατον[245]· νῦν δ' οὔτ' ἐκείνους τοὺς λόγους αἰσχύνει, οὔτε ἡμῶν τῶν νόμων ἐντρέπει[246], ἐπιχειρῶν διαφθεῖραι[247]· πράττεις δὲ ἅπερ ἂν δοῦλος ὁ φαυλότατος πράξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς ξυνθήκας τε καὶ τὰς ὁμολογίας, καθ' ἃς ἡμῖν ξυνέθου πολιτεύσεσθαι. Πρῶτον μὲν οὖν ἡμῖν τοῦτ' αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν, φάσκοντές σε ὡμολογηκέναι πολιτεύσεσθαι καθ' ἡμᾶς ἔργῳ ἀλλ' οὐ λόγῳ[248]· ἢ οὐκ ἀληθῆ; Τί φῶμεν πρὸς ταῦτα ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν[249]; ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες. ΣΩΚ. Ἄλλο τι οὖν[250], φαῖεν, ἢ ξυνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς καὶ ὁμολογίας παραβαίνεις; οὐχ ὑπ' ἀνάγκης ὁμολογήσας, οὐδὲ ἀπατηθείς, οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθείς βουλεύσασθαι· ἀλλ' ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἦν σοι[251] ἀπιέναι, εἰ μὴ ἠρέσκομεν ἡμεῖς, μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι. Σὺ δὲ οὔτε Λακεδαίμονα προηροῦ, οὔτε Κρήτην[252], ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖσθαι

---

226) Εἰς τὴν ἐκλογὴν τοῦ ἀφηνόντων. 226) Δεσποτικῶς, ἀποτόμως. 227) Ἃ κελεύομεν. 228) Ὅτι θέλεις εἶσθαι ἔνοχος τῶν κατηγορίων τούτων. 229) Ἐνέξεσθαι σε ἐν τοῖς μάλιστα ἐνεξομένοις, οὐχ ἥκιστα τῶν ἄλλων Ἀθην. 230) Διατί ἐν τοῖς μάλιστα; 231) Ὡμολογηκὼς. 232) Τοῖς νόμοις. 233) Τὸ ποιήσειν ἃ αὐτοὶ κελεύωσιν. ἴδε ἀνωτ. 234) Ἐπεξηγηματικός. 235) Διαφερόντως ἐπεδήμεις, δηλ. ἔμενες εἰς αὐτὴν ἀναποσπάστως περισσότερον ἀπὸ πάντα ἄλλον. 236) Πανήγυριν. 237) Ἐκτός. 238) Εἰς τὴν τελετὴν τῶν Ἰσθμίων. 239) Ὥστε εἰδέναι αὐτούς. 240) Σοὶ ἀρκούσαμεν. 241) Ὡς πρὸς τὰ ἄλλα δέ, ἐκτὸς δὲ τούτου. Ἀλλ' ἴσως ἦτον· Τά τε ἄλλα. 242) Ἐπειδὴ ἡ πόλις σὲ ἤρεσκε. 243) Ἠδύνασο νὰ ζητήσῃς νὰ σὲ καταδικάσουν εἰς φυγὴν καὶ ὄχι εἰς θάνατον. 244) Ἐπροσποιοῦ ὑπερηφάνως, ἐκόμπαζες, ἐκαμάρωνες. 245) Ταῦτα ἔλεγεν εἰς τὴν ἀπολογίαν τω. 246) Φροντίζεις δι' ἡμᾶς. 247) Ἡμᾶς. 248) Ὡμολογηκέναι ἔργῳ. 249) Φῶμεν ἄλλο τι, ἢ ὁμολογῶμεν; 250) Ποιεῖς. 251) Δυνατὸν ἦ ἐπιτετραμμένον. 252) Τῆς Κρήτης ἡ πολιτεία ἦτον ὁ-

οὐδὲ ἄλλην οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων, οὔτε τῶν βαρβαρικῶν· ἀλλ' ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας, ἢ οἱ χωλοί τε καὶ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι. οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς, (οἱ Νόμοι δηλονότι[255]· τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων;) νῦν δὲ δὴ οὐκ ἐμμένεις τοῖς ὡμολογημένοις; ἐμμενεῖς δέ, ἐὰν ἡμῖν γε πείθῃ[256], ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσει, ἐκ τῆς πόλεως ἐξελθών.

15. Σκόπει γὰρ δὴ ταῦτα παραβὰς, καὶ ἑξαμαρτὼν[257] τι τούτων, τί ἀγαθὸν ἐργάσει σαυτὸν, ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ. Ὅτι μὲν γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύγειν, καὶ στερηθῆναι τῆς πόλεως, ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον. Αὐτὸς δὲ πρῶτον μὲν ἐὰν εἰς τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς, ἢ Θήβαζε, ἢ Μεγάραδε[258] (εὐνομοῦνται γὰρ ἀμφότεραι), πολέμιος[259] ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ· καὶ ὅσοι περ κήδονται τῶν αὑτῶν πόλεων, ὑποβλέψονταί σε, διαφθορέα ἡγούμενοι[260] τῶν νόμων· καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν[261], ὥστε δοκεῖν ὀρθῶς τὴν δίκην δικάσαι. ὅστις γὰρ νόμων διαφθορεύς ἐστι, σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι[262]. Πότερον οὖν φεύξει τάς τε εὐνομουμένας πόλεις καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντι ἆρα ἄξιον ἔσται σοι ζῆν[263]; ἢ πλησιάσεις τούτοις, καὶ ἀναισχυντήσεις διαλεγόμενός τινας λόγους, ὦ Σώκρατες, οἵους περ ἐνθάδε[264], ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς ἀνθρώποις, καὶ τὰ νόμιμα καὶ οἱ νόμοι; καὶ οὐκ οἴει ἄσχημον φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα[265]; Οἴεσθαί γε[266] χρή. Ἀλλ' ἐκ μὲν τούτων τῶν πόλεων ἀπαρεῖς[267], ἥξεις δὲ εἰς Θετταλίαν[268] παρὰ τοὺς ξένους τοὺς τοῦ Κρίτωνος· ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία[269]· καὶ ἴσως ἂν ἡδέως σου ἀκούσειεν[270], ὡς γελοίως ἐκ τοῦ δεσμωτηρίου ἀπεδίδρασκες, σκευήν[271] τέ τινα περιθέμενος, ἢ διφθέραν[272] λαβών, ἢ ἄλλα οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι[273] οἱ ἀποδιδράσκοντες, καὶ τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας. Ὅτι δὲ γέρων ἀνὴρ, σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος, ὡς τὸ εἰκὸς, ἐτόλμησας οὕτω γλίσχρως[274] ἐπιθυμεῖν ζῆν, νόμους τοὺς μεγίστους παραβὰς, οὐδεὶς ὅς ἐρεῖ[275]; Ἴσως, ἂν μή τινα λυπῇς· εἰ δὲ μή[276], ἀκούσῃ[275], ὦ Σώκρατες, πολλὰ καὶ ἀνά-

μοια μὲ τὴν τῆς Λακεδαίμονος, διότι καὶ οἱ Κρῆτες ἦσαν Δωριεῖς. [255]) Δῆλον ὅτι οὕτω (τόσον πολλὰ) σ' ἡ πόλις καὶ ἡμεῖς οἱ νόμοι ἠρέσκομέν σοι. [256]) Ἐμμενεῖς ἢ οὐκ ἔσει. [257]) Ἁμαρτὼν κατά τι τούτων. [258]) Ὁ Δὲ μεταταττόμενος εἰς τὴν αἰτ. σημαίνει Εἰς. Μεγάραδε, Θήβαζε, ὅθεν Θήβαζε. [259]) Ὡς πολέμιος, διότι δὲν θέλουν εἶναι εὐχαριστημένοι νὰ σὲ ἔχωσι πολίτην των. [260]) Σέ. [261]) Θέλεις ἐπικυρώσει τὴν γνώμην τῶν δικαστῶν, ὥστε νὰ φαίνωνται. [262]) Αἱ πόλεις βλέπουσι ὅτι εἶσαι διαφθορεὺς τῶν νόμων (διὰ τῆς φυγῆς σου), θὰ πιστεύσουν ὅτι εἶσαι καὶ τῶν νέων διαφθορεύς, ὡς κατηγορήθης. [263]) Τὸ ζῆν ἔσται σοι ἄξιον (λόγου); [264]) Θέλεις μεταχειρισθῇ ἀναισχυντίαν, λέγων λόγους ὁποίους ἔλεγες ἐδῶ, σὺ ὅστις ἔπραξας τὰ ἐναντία τῶν ὅσον ἔλεγες. [265]) Τὰ κατὰ τὸν Σωκράτην. Ἡ ὑπόληψις τοῦ Σ. [266]) Βεβαίως χρὴ οἴεσθαι, φανεῖσθαι κτλ. [267]) Ἀπαίρω, ὑ' ἀναχωρήσῃς (ἰδίως διὰ πλοίου). [268]) Ὁ Κρίτων τῷ εἶχε προτείνει νὰ καταφύγῃ εἰς Θεσσαλίαν παρά τινας φίλους του. [269]) Ἡ πολιτεία τῶν Θεσσαλῶν περιγράφεται πανταχοῦ ὡς λίαν ἄτακτος. [270]) Οἱ Θετταλοὶ ἢ οἱ ξένοι τοῦ Κρ. [271]) Ἐνδυμασίαν. [272]) Γοῦναν. [273]) Νὰ ἐνδύωνται. [274]) Ἐπιμόνως. Γλίσχρος, ὁ κολλώδης. [275]) Δὲν θέλει ὑπάρξει κάνεὶς νὰ σὲ εἰπῇ ταῦτα; [276]) Ἂν ὅμως λυπήσῃς τινά. [276]) Ὁ μέσος μέλλων σημαίνει, θέλεις ἀκούσει διὰ τὸν ἑαυτόν σου.

ξια σαυτοῦ. Ὑπερχόμενος[276] δὴ πάντας ἀνθρώπους βιώσῃ καὶ δουλεύων τί ποιῶν[277]; ἢ εὐωχούμενος ἐν Θετταλίᾳ, ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς Θετταλίαν; Λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς, ποῦ ἡμῖν ἔσονται[278]; Ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς; τί δαί; εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας, ἵνα καὶ τοῦτό σου ἀπολαύωσιν[279]; ἢ τοῦτο μὲν οὔ[280], αὐτοῦ[281] δὲ τρεφόμενοι, σοῦ ζῶντος, βέλτιον θρέψονται καὶ παιδεύσονται[282], μὴ ξυνόντος σου αὐτοῖς; οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ ἐπιμελήσονται αὐτῶν. Πότερον ἐὰν μὲν εἰς Θετταλίαν ἀποδημήσῃς ἐπιμελήσονται, ἐὰν δὲ εἰς Ἅιδου ἀποδημήσῃς, οὐχὶ ἐπιμελήσονται; εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστι τῶν σοι φασκόντων ἐπιτηδείων εἶναι οἴεσθαί γε χρή[283].

Ἀλλ', ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι, μήτε παῖδας περὶ πλείονος ποιοῦ, μήτε τὸ ζῆν, μήτε ἄλλο μηδέν, πρὸ τοῦ δικαίου[284], ἵνα εἰς Ἅιδου ἐλθὼν ἔχῃς ταῦτα πάντα[285] ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν. Οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα[286] πράττοντι ἄμεινον εἶναι, οὐδὲ δικαιότερον, οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί· οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται. Ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς[287], οὐχὶ ὑπ' ἡμῶν τῶν Νόμων, ἀλλ' ὑπ' ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς[288], οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας[289], τὰς σαυτοῦ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβάς, καὶ κακὰ ἐργασάμενος τούτους, οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς, ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοί, οἱ ἐν Ἅιδου Νόμοι, οὐκ εὐμενῶς σε ὑποδέξονται· εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι, τὸ σὸν μέρος[75]. Ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἃ λέγει, μᾶλλον ἢ ἡμεῖς.

Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥσπερ οἱ κορυβαντιῶντες[290] τῶν αὐλῶν δοκοῦσιν ἀκούειν· καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ[291] τούτων τῶν λόγων βομβεῖ, καὶ ποιεῖ μὴ δύνασθαι τῶν ἄλλων ἀκούειν. Ἀλλὰ ἴσθι, ὅσα γε τανῦν ἐμοὶ δοκοῦντα, ἐάν τι λέγῃς παρὰ ταῦτα[292], μάτην ἐρεῖς. Ὅμως μέντοι εἴ τι οἴει πλέον ποιήσειν[293], λέγε. ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω[294] λέγειν. ΣΩΚ. Ἔα τοίνυν, ὦ Κρίτων, καὶ πράττωμεν ταῦτα ταύτῃ[295], ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

---

276) Κολακεύων, φοβούμενος. 277) Θὰ ζήσῃς δουλεύων· τί ποιῶν; διὰ νὰ κάμῃς ἢ καὶ τρυφώσῃς τί ἄλλο παρὰ νὰ εὐωχηθῇς εἰς Θεσσαλίαν. 278) Ποῦ θὰ εἶναι, τί θὰ γίνωσι ἐκεῖνοι οἱ λόγοι σου. 279) Ἀπολαύσωσι παρὰ σοῦ τοῦτο, τὴν ξενιτείαν· ἢ ἀπολαύσωσι χ τοῦτό σου. 280) Οὐκ ἄξεις αὐτοὺς εἰς Θ. 281) Ἐν Ἀθήναις. 282) Μέσ. μέλλ. ἀντὶ παθητ.

283) Πάντως ἐπιμελήσονται, εἴ ἐστί τι ὄφελος παρ' αὐτῶν τῶν φασκόντων εἶναι ἐπιτηδείων σοι. 284) Περὶ πλείονος ποιοῦ πρὸ τοῦ δικαίου, πρατίμα τοῦ δικαίου. 285) Ὅτι οὐ περὶ πλείονος ἐποιήσω. 286) Τὸ ἀποδιδράσκειν. 287) Ἐὰν ἠδικημένος ἀπίῃς.

288) Τῆς εἱρκτῆς πρὸς ἀπόδρασιν. 289) Ἄπει. 290) Οἱ Κορυβάντες ἦσαν ἱερεῖς τῆς Ῥέας ἐν Φρυγίᾳ τελοῦντες ἐνθουσιαστικὰ μυστήρια. Οὗτοι ἐν τῇ ἐκστάσει των ἐνόμιζον ὅτι ἤκουον μουσικὴν θείων αὐλῶν. 291) Ἀττικῶς ἀντὶ: ὁ ἦχος. 292) Ἐάν τι λέγῃς παρὰ ταῦτα, ὅσα εἶναι τὰ νῦν ἐμοὶ δοκοῦντα, μάτην ἐρεῖς. 293) Ἀλλ' ἂν, οὐχ ἧττον νομίζῃς ὅτι λέγων παρὰ ταῦτα, θέλεις κατορθώσῃ τι, λέγε. 294) Δὲν δύναμαι. 295) Οὕτω.

ΠΛΑΤΩΝΟΣ

ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ.

Ὅτι ὁ Σωκράτης δικαζόμενος ἀπελογήθη, κρίνεται ἀναντίῤῥητον, ἐπειδὴ ἀναπολόγητος δὲν ἐδικάζετο κάνείς· ὅτι ὅμως ἡ ἀπολογία του ἐκείνη οὔτε συνετάχθη πρὶν, οὔτε ἦτον ἀπαραλλάκτως τοιαύτη, τοῦτο εἰκάζεται ἐκ τοῦ ἄλλου τοῦ ἀνδρὸς τούτου τρόπου, ὅστις διδασκαλίαν εἶχεν ὅλαν αὐτοῦ τὸν βίον, χωρὶς νὰ γράψῃ ποτέ τι. Πιθανὸν ἄρα φαίνεται ὅτι ὁ μαθητὴς του Πλάτων (καθὼς καὶ ὁ Ξενοφῶν,) συνέταξεν αὐτὴν μετὰ θάνατον αὐτοῦ, ἀπομνημονεύσας ὡς ἔγγιστα τὰ ὑπ' ἐκείνου λεχθέντα. Ὅπως ὅμως ποτ' ἂν ἔχῃ, ἡ ἀπολογία αὕτη, διά τε τὴν μετ' ὀφελείας δεινότητά της, καὶ διότι ἐκθέτει ἐν συνόψει τὸ σύστημα τῆς διδασκαλίας καὶ τὸν τρόπον τῆς ζωῆς τοῦ Σωκράτους, κρίνεται ἀριστούργημα.

Ο,ΤΙ μὲν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, πεπόνθατε ὑπὸ τῶν ἐμῶν κατηγόρων, οὐκ οἶδα· ἔγωγ' οὖν[1] καὶ αὐτὸς ὑπ' αὐτῶν ὀλίγου δεῖν ἐμαυτοῦ ἐπελαθόμην· οὕτω πιθανῶς ἔλεγον. Καίτοι ἀληθές γε, ὡς ἔπος εἰπεῖν, οὐδὲν εἰρήκασι. Μάλιστα δὲ αὐτῶν ἓν ἐθαύμασα τῶν πολλῶν[2] ὧν ἐψεύσαντο, τοῦτο, ἐν ᾧ ἔλεγον ὡς χρὴ εὐλαβεῖσθαι μὴ ὑπ' ἐμοῦ ἐξαπατηθῆτε, ὡς δεινοῦ ὄντος λέγειν. Τὸ γὰρ μὴ αἰσχυνθῆναι ὅτι αὐτίκα ὑπ' ἐμοῦ ἐξελεγχθήσονται ἔργῳ, ἐπειδὰν μηδ' ὁπωστιοῦν φαίνωμαι δεινὸς λέγειν, τοῦτό μοι ἔδοξεν αὐτῶν ἀναισχυντότατον εἶναι· εἰ μὴ ἄρα δεινὸν καλοῦσιν αὐτοὶ λέγειν, τὸν τἀληθῆ λέγοντα. Εἰ μὲν γὰρ τοῦτο λέγουσιν, ὁμολογοίην ἂν ἔγωγε οὐ κατὰ τούτους εἶναι ῥήτωρ. Οὗτοι μὲν οὖν[3], ὥσπερ ἐγὼ λέγω, οὐδὲν ἀληθὲς εἰρήκασιν· ὑμεῖς δέ μου ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν. Οὐ μέντοι μὰ Δία, ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιεπημένους γε λόγους, ὥσπερ οἱ τούτων, ῥήμασί τε καὶ ὀνόμασιν, οὐδὲ κεκοσμημένους, ἀλλ' ἀκούσεσθε εἰκῇ[5] λεγόμενα[6] τοῖς ἐπιτυχοῦσιν ὀνόμασι. Πιστεύω γὰρ δίκαια εἶναι ἃ λέγω, καὶ μηδεὶς ὑμῶν προσοκνησάτω ἄλλως[7]. Οὐδὲ γὰρ ἂν δήπου πρέποι, ὦ ἄνδρες, τῇδε τῇ ἡλικίᾳ, ὥσπερ μειρακίῳ, πλάττοντι λόγους εἰς ὑμᾶς εἰσιέναι. Καὶ μέντοι καὶ πάνυ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο ὑμῶν δέομαι καὶ παρίεμαι[8]· ἐὰν διὰ τῶν αὐτῶν λόγων ἀκούητέ μου ἀπολογουμένου, δι' ὧνπερ εἴωθα λέγειν καὶ ἐν ἀγορᾷ καὶ ἐπὶ τῶν τραπεζῶν[9], ἵνα[10] ὑμῶν οἱ πολλοὶ ἀκηκόασι, καὶ ἄλλοθι, μήτε θαυμάζειν, μήτε θορυβεῖν τούτου ἕνεκα. Ἔχει γὰρ οὑτωσί[11]· νῦν ἐγὼ πρῶτον ἐπὶ δικαστηρίου ἀναβέβηκα[12], ἔτη γεγονὼς πλείω

[1]) Ἐλαττωτ. Ὅσον διά. [2]) Ἐκ τῶν πολλ. [3]) Ὑμᾶς. [4]) Αἰτιολογικός. [5]) Ὅπως τύχῃ, ἀφελῶς, ἀνεπιτηδεύτως. [6]) Πράγματα. [7]) Εἰπεῖν με ἂν, ἡ Γενέσθαι ἂν τὸ πρᾶγμα. [8]) Ἐξαιτοῦμαι. [9]) Εἰς τὰ καταστήματα τῶν τραπεζιτῶν, ὅπου συνηθροίζοντο συνήθως οἱ πλουσιώτεροι καὶ ἐγκριτώτεροι τῶν πολιτῶν καὶ τῶν ξένων· ὅθεν καὶ ὁ Θεόφραστος εἰς τοὺς Χαρακτῆράς του λέγει ὅτι ὁ μικροφιλότιμος συνειθίζει. . . « Καὶ τῆς » ἀγορᾶς πρὸς τὰς τραπέζας προσφοιτᾶν ». [10]) Ὅπου. [11]) Τὸ πρᾶγμα. [12]) Ἴσως διότι τὰ κυριώτερα καὶ ἀρχαιότερα δικαστήρια τῶν Ἀθηνῶν ἔκειντο περὶ τὴν ἀκρόπολιν.

ἢ ἑβδομήκοντα. Ἀτεχνῶς[15] οὖν ξένως ἔχω[16] τῆς ἐνθάδε λέξεως. Ὥσπερ οὖν ἄν, εἰ τῷ ὄντι ξένος ἐτύγχανον ὤν, ξυνεγιγνώσκετε ὁήπου ἄν μοι, εἰ ἐν ἐκείνῃ τῇ φωνῇ τε καὶ τῷ τρόπῳ ἔλεγον, ἐν οἷς περ ἐτεθράμμην· καὶ δὴ καὶ νῦν τοῦτο ὑμῶν δέομαι, δίκαιον, ὡς γ' ἐμοὶ δοκῶ, τὸν μὲν τρόπον τῆς λέξεως ἐᾶν (ἴσως μὲν γάρ τι χείρων, ἴσως δὲ βελτίων ἂν εἴη)· αὐτὸ δὲ τοῦτο σκοπεῖν, καὶ τούτῳ τὸν νοῦν προσέχειν, εἰ δίκαια λέγω, ἢ μή. Δικαστοῦ μὲν γὰρ αὕτη ἀρετή, ῥήτορος δὲ τἀληθῆ λέγειν.

Πρῶτον μὲν οὖν δίκαιός εἰμι[17] ἀπολογήσασθαι, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ πρῶτά μου ψευδῆ κατηγορημένα, καὶ πρὸς τοὺς πρώτους κατηγόρους, ἔπειτα δὲ πρὸς τὰ ὕστερον καὶ τοὺς ὑστέρους. Ἐμοῦ γὰρ πολλοὶ κατήγοροι γεγόνασι πρὸς ὑμᾶς, καὶ πάλαι πολλὰ ἤδη ἔτη[18], καὶ οὐδὲν ἀληθὲς λέγοντες· οὓς ἐγὼ μᾶλλον φοβοῦμαι ἢ τοὺς ἀμφὶ Ἄνυτον, καίπερ ὄντας καὶ τούτους δεινούς· ἀλλ' ἐκεῖνοι δεινότεροι, ὦ ἄνδρες, οἱ ὑμῶν τοὺς πολλοὺς ἐκ παίδων παραλαμβάνοντες, ἔπειθόν τε καὶ κατηγόρουν ἐμοῦ οὐδὲν ἀληθές· ὡς ἔστι τις Σωκράτης, ἀνὴρ σοφὸς, τά τε μετέωρα[19] φροντιστὴς καὶ τὰ ὑπὸ γῆς πάντα ἀνεζητηκώς, καὶ τὸν ἥττω λόγον κρείττω[18] ποιῶν· οὗτοι, ὦ ἄνδρες Ἀθηναῖοι, ταύτην τὴν φήμην κατασκεδάσαντες, οἱ δεινοὶ εἰσί μου κατήγοροι. Οἱ γὰρ ἀκούοντες ἡγοῦνται τοὺς ταῦτα[19] ζητοῦντας οὐδὲ θεοὺς νομίζειν[20]. Ἔπειτά εἰσιν οὗτοι οἱ κατήγοροι πολλοὶ καὶ πολὺν ἤδη χρόνον κατηγορηκότες· ἔτι δὲ καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ λέγοντες πρὸς ὑμᾶς, ἐν ᾗ ἂν μάλιστα ἐπιστεύσατε, παῖδες ὄντες ἔνιοι ὑμῶν καὶ μειράκια[21], ἀτεχνῶς ἐρήμην[22] κατηγοροῦντες, ἀπολογουμένου οὐδενός. Ὃ δὲ πάντων ἀλογώτατον, ὅτι οὐδὲ τὰ ὀνόματα οἷόν τε αὐτῶν[23] εἰδέναι καὶ εἰπεῖν· πλὴν εἴ τις κωμῳδοποιός[24] τυγχάνει ὤν. Ὅσοι δὲ φθόνῳ καὶ διαβολῇ χρώμενοι ὑμᾶς ἀνέπειθον, οἱ δὲ καὶ αὐτοὶ πεπεισμένοι ἄλλους πείθοντες[25], οὗτοι πάντες ἀπορώτατοί[26] εἰσιν. Οὐδὲ γὰρ ἀναβιβάσασθαι οἷόν τ' ἐστὶν αὐτῶν ἐν-

---

15) Τῷ ὄντι, κατὰ γράμμα, μὴ τὸ ἐκλάθητε ὑπερβολήν. 16) Ξένος εἰμὶ, ἄπειρος, τοῦ δικανικοῦ ὕφους. 17) Δίκαιον ἐστὶν ἐμὲ ἀπολογ., φράσις συνηθεστάτη. 18) Ἐλλειπτ. τῆς Κατά, ἢ τοῦ Εἰσίν. 17) Καὶ ἐδῶ ἐλλείπει πρόθεσις, ἢ Περί. Μετέωρα δὲ τὰ ἐν οὐρανοῖς ἢ περὶ τὴν ἀτμοσφαῖραν φαινόμενα· ἴδε καὶ κατωτέρω. 18) Τὸν ἄδικον δίκαιον· ἴδε κατωτέρω. 19) Τὰ εἰρημένα, τὰ περὶ μετεώρων δηλ. καὶ τῶν ὑπὸ γῆν κτλ. 20) Παλαιὰ πρόληψις τῶν ἀμαθῶν, οἱ ὁποῖοι νομίζουν τὰς τῆς φύσεως ἐρεύνας ἔργον διαβολικόν, καὶ τοὺς περὶ αὐτὰς σπουδάζοντας ἀλλοτρίους τῆς περὶ θεὸν εὐσεβείας! ἐν ᾧ ἐκ τοῦ ἐναντίου, ὅσῳ πλειότερον καὶ ἀκριβέστερόν τις ἐρευνᾷ τὰ μυστήρια τῆς φύσεως, τόσῳ λογικώτερον καὶ εἰλικρινέστερον ἀνυψοῦται πρὸς τὴν λατρείαν τοῦ πάντων δημιουργοῦ. 21) Ἑπομένως εὐκόλως πειθόμενοι καὶ ἀπατώμενοι. 22) Ἀπαράλλακτα, καθὼς οἱ κατηγοροῦντες τοὺς δικαζομένους (κατ') ἐρήμην (δίκην). 25) Τῶν κατηγόρων μου. 24) Ὑπαινίττεται τὸν Ἀριστοφάνην, ὅστις τὸν εἶχε σατυρίσῃ εἰς τὸ δρᾶμά του τὰς Νεφέλας, παρασταθείσας τὸ β'. ἔτος τῆς πδ'. Ὀλυμπιάδος, δηλ. 22 σχεδὸν ἔτη πρὸ τῆς ἐποχῆς καθ' ἣν ὑποτίθεται ἐκφωνηθεῖσα ἡ ἀπολογία αὕτη. Οἱ στίχοι δὲ τοῦ ποιητοῦ, οἱ ἀναφερόμενοι κυρίως εἰς τὰ ὑπὸ τοῦ Σωκράτους λεγόμενα ἐνταῦθα, εἶνε οἱ ἑξῆς·

» Εἶναι παρ' αὐτοῖς (τοῖς περὶ τὸν Σωκράτην) φασιν ἄμφω τὼ λόγω,
» Τὸν κρείττον' ὅς τις ἐστί, καὶ τὸν ἥττονα.
» Τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα,
» Νικᾶν λέγοντά φασι τἀδικώτερα ».

25) Οἱ δὲ πείθοντες ἄλλους, (ὄντες, διότι εἶνε) καὶ αὐτοὶ πεπεισμένοι: καθ' ὑπερβατόν, ἢ μᾶλλον διὰ τὴν φυσικὴν τῆς ἰδέας τάξιν· πρῶτον γάρ τις πείθει ἑαυτὸν καὶ ἔπειτα τοὺς ἄλλους. 26) Ἀπορεῖ ποῦ νὰ τοὺς εὕρῃ τις, ἄπιαστοι.

ταυτοῦ οὐδὲ ἐλέγξαι οὐδένα, ἀλλ' ἀνάγκη ἀτεχνῶς ὥσπερ σκιαμαχεῖν ἀπολογούμενόν τε[87] καὶ ἐλέγχειν, μηδενὸς ἀποκρινομένου. Ἀξιώσατε[88] οὖν καὶ ὑμεῖς, ὥσπερ ἐγὼ λέγω, διττούς μου κατηγόρους γεγονέναι, ἑτέρους μὲν τοὺς ἄρτι κατηγορήσαντας, ἑτέρους δὲ τοὺς πάλαι, οὓς ἐγὼ λέγω· καὶ οἰήθητε δεῖν πρὸς ἐκείνους πρώτους με ἀπολογήσασθαι. καὶ γὰρ ὑμεῖς ἐκείνων πρότερον ἠκούσατε κατηγορούντων, καὶ πολὺ μᾶλλον ἢ τῶνδε τῶν ὕστερον. Εἶεν. Ἀπολογητέον δή, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐπιχειρητέον ὑμῶν ἐξελέσθαι τὴν διαβολήν, ἣν ὑμεῖς ἐν πολλῷ χρόνῳ ἔχετε, ταύτην ἐν οὕτωσὶ ὀλίγῳ χρόνῳ. Βουλοίμην μὲν οὖν ἂν τοῦτο οὕτω γενέσθαι[89], εἴ τι καὶ ἄμεινον καὶ ὑμῖν καὶ ἐμοί, καὶ πλέον τί με ποιῆσαι[90] ἀπολογούμενον· οἶμαι δὲ αὐτὸ χαλεπὸν εἶναι, καὶ οὐ πάνυ με λανθάνει οἷόν ἐστιν. Ὅμως δὲ τοῦτο μὲν ἴτω, ὅπῃ τῷ θεῷ φίλον· τῷ δὲ νόμῳ πειστέον[91] καὶ ἀπολογητέον.

Ἀναλάβωμεν οὖν ἐξ ἀρχῆς, τίς ἡ κατηγορία ἐστίν, ἐξ ἧς ἡ ἐμὴ διαβολὴ γέγονεν, ᾗ δὴ καὶ πιστεύων Μέλιτός με ἐγράψατο τὴν γραφὴν ταύτην. εἶεν. Τί δὴ λέγοντες διέβαλλον οἱ διαβάλλοντες; ὥσπερ οὖν κατηγόρων τὴν ἀντωμοσίαν[92] δεῖ ἀναγνῶναι αὐτῶν. «Σωκράτης ἀδικεῖ καὶ περι» εργάζεται ζητῶν τά τε ὑπὸ γῆς καὶ τὰ ἐπουράνια[93], καὶ » τὸν ἥττω λόγον κρείττω ποιῶν, καὶ ἄλλους ταῦτα διδά» σκων». Τοιαύτη τίς ἐστι· τοιαῦτα γὰρ εἴωρᾶτε καὶ αὐτοὶ ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ[94], Σωκράτην τινὰ ἐκεῖ περιφερόμενον, φάσκοντά τε ἀεροβατεῖν[95], καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα, ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε σμικρὸν περὶ[96] ἐπαΐω. Καὶ οὐχ ὡς ἀτιμάζων λέγω τὴν τοιαύτην ἐπιστήμην, εἴ τις περὶ τῶν τοιούτων σοφός ἐστι, μήπως ἐγὼ ὑπὸ Μελίτου τοσαύτας δίκας φεύγοιμι· ἀλλὰ γάρ μοι τῶν τοιούτων, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν μέτεστι· μάρτυρας δ' αὐ ὑμῶν πολλοὺς παρέχομαι, καὶ ἀξιῶ ὑμᾶς ἀλλήλους διδάσκειν τε καὶ φράζειν, ὅσοι ἐμοῦ πώποτε ἀκηκόατε διαλεγομένου· πολλοὶ δὲ ὑμῶν οἱ τοιοῦτοί εἰσι. Φράζετε οὖν ἀλλήλοις, εἰ πώποτε. ἢ σμικρὸν, ἢ μέγα ἤκουσέ τις ὑμῶν ἐμοῦ περὶ τῶν τοιούτων διαλεγομένου· καὶ ἐκ τούτου γνώσεσθε ὅτι τοιοῦτ' ἐστὶ καὶ τἆλλα περὶ ἐμοῦ ἃ οἱ πολλοὶ λέγουσιν.

Ἀλλὰ γὰρ οὐδὲ τούτων οὐδέν ἐστιν· οὐδὲ γ' εἴ τινος ἀκηκόατε[97], ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους, καὶ χρήματα πράττομαι, οὐδὲ τοῦτο ἀληθές. Ἐπεὶ καὶ τοῦτό γέ μοι δοκεῖ καλὸν εἶναι, εἴτις οἷός τ' εἴη παιδεύειν ἀνθρώπους, ὥσπερ Γοργίας ὁ Λεοντῖνος, καὶ Πρόδικος ὁ Κεῖος, καὶ Ἱππίας

---

87) Ὁ τε κανονικώτερον ἔπρεπε νὰ κῆται πρὸ τῆς μετοχῆς. 88) Ἐκλάβετε ὡς βέβαιον (ὡς ἄξίωμα τρόπον τινὰ) παρδλ. σημ. 108. 89) Ὡς εἶπον, ἐξελέσθαι δηλ. τὴν διαβολὴν κτλ. 90) Κατορθῶσαί τι, ὅ ἐστιν ἀθωωθῆναι. 91) Διότι ὁ νόμος κανένα δὲν κατεδίκαζεν ἀναπολόγητον. 92) Ἴδε περὶ Ἀντωμοσίας, Διωμοσίας καὶ Προωμοσίας τὰ λεξικά· ἐδῶ Ἀντωμοσία εἶνε τὸ Ἔγγραφον τῆς κατηγορίας, καθὼς λέγομεν τώρα. 93) Τὰ ὁποῖα ἀνωτέρω ὠνόμασε μετέωρα. 94) Ἡ κατηγορία, ἡ ἀντωμοσία τῶν κατηγόρων μου. 95) Ἴδε τὰς Νεφέλας τοῦ Ἀριστοφάνους στίχ. 221 καὶ καθεξῆς. Τὸ δὲ Περιφερόμενον ἠμπορεῖ νὰ ἑρμηνευθῇ διασυρομενον, παριστανώμενον (εἰσαγόμενον) ἐπὶ γέλωτι. Τὴν ἰδίαν λέξιν μετεχειρίσθη καὶ ὁ Λιλιανὸς (βιβλ. Β'. κεφ. 13): «Περιφερόμενα τοίνυν ἐν τῇ σκηνῇ τοῦ Σωκράτους, καὶ ὀνομαζομένου πολλάκις κτλ.». 96) Εἶνε ἡ ἰδία λέξις τοῦ Ἀριστοφάνους. 97) Ὧν. . περὶ (καὶ) ὑπερβατὸν καὶ ἀναστροφὴν) ἀντὶ Περὶ ὧν. 98) (ἐννοεῖται) Λέγοντος.

ὁ Πλεῖος· τούτων γὰρ ἕκαστος, ὦ ἄνδρες, οἷός τ' ἐστὶν, ἰὼν εἰς ἑκάστην τῶν πόλεων, τοὺς νέους, οἷς ἔξεστι τῶν ἑαυτῶν πολιτῶν προῖκα ξυνεῖναι ᾧ ἂν βούλωνται, τούτους πείθουσι[39], τὰς ἐκείνων[40] ξυνουσίας ἀπολιπόντας, σφίσι ξυνεῖναι χρήματα διδόντας, καὶ χάριν προσειδέναι. Ἐπεὶ καὶ ἄλλος ἀνὴρ ἐστι Πάριος ἐνθάδε σοφὸς, ὃν ἐγὼ ἠσθόμην ἐπιδημοῦντα· ἔτυχον γὰρ προσελθὼν ἀνδρὶ, ὃς τετελέκει χρήματα σοφισταῖς πλείω ἢ ξύμπαντες οἱ ἄλλοι, Καλλίᾳ τῷ Ἱππονίκου. Τοῦτον οὖν ἀνηρόμην (ἐστὸν γὰρ αὐτῷ δύο υἱέε)· Ὦ Καλλία, ἦν δ' ἐγὼ, εἰ μέν σου τὼ υἱέε πώλω ἢ μόσχω ἐγενέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λαβεῖν, καὶ μισθώσασθαι, ὃς ἔμελλεν αὐτὼ καλὼ κἀγαθὼ ποιήσειν τὴν προσήκουσαν ἀρετήν· ἦν δ' ἂν οὗτος ἢ τῶν ἱππικῶν τις ἢ τῶν γεωργικῶν· νῦν δ' ἐπειδὴ ἀνθρώπω ἐστόν, τίνα αὐτοῖν ἐν νῷ ἔχεις ἐπιστάτην λαβεῖν; τίς τῆς τοιαύτης ἀρετῆς, τῆς ἀνθρωπίνης τε καὶ πολιτικῆς ἐπιστήμων ἐστίν; οἶμαι γάρ σε ἐσκέφθαι διὰ τὴν τῶν υἱέων κτῆσιν[41]. Ἔστι τις, ἔφην ἐγὼ, ἢ οὔ; Πάνυ γε, ἦ δ' ὅς. Τίς, ἦν δ' ἐγὼ, καὶ ποδαπός; καὶ πόσου διδάσκει; Εὔηνος[42], ἔφη, ὦ Σώκρατες, Πάριος, πέντε μνῶν. Καὶ ἐγὼ τὸν Εὔηνον ἐμακάρισα, εἰ ὡς ἀληθῶς ἔχει ταύτην τὴν τέχνην, καὶ οὕτως ἐμμελῶς[43] διδάσκει. Ἐγὼ γοῦν καὶ αὐτὸς ἐκαλλυνόμην τε καὶ ἡβρυνόμην[44] ἄν, εἰ ἠπιστάμην ταῦτα· ἀλλ' οὐ γὰρ[45] ἐπίσταμαι, ὦ ἄνδρες Ἀθηναῖοι.

Ὑπολάβοι οὖν ἄν τις ἴσως· Ἀλλ', ὦ Σώκρατες, τὸ σὸν τί ἐστι πρᾶγμα[46]; πόθεν αἱ διαβολαί σοι αὗται γεγόνασιν; Οὐ γὰρ δήπου, σοῦ γε οὐδὲν τῶν ἄλλων περιττότερον πραγματευομένου, ἔπειτα τοσαύτη φήμη τε καὶ λόγος γέγονεν, εἰ μή τι ἔπραττες ἀλλοῖον ἢ οἱ πολλοί. Λέγε οὖν ἡμῖν, τί ἐστιν, ἵνα μὴ καὶ ἡμεῖς περὶ σοῦ αὐτοσχεδιάζωμεν. Ταυτί μοι δοκεῖ δίκαια λέγειν ὁ λέγων· κἀγὼ ὑμῖν πειράσομαι ἀποδεῖξαι, τί ποτ' ἐστὶ τοῦτο, ὃ ἐμοὶ πεποίηκε[47] τό, τε ὄνομα καὶ τὴν διαβολήν. Ἀκούετε δή· καὶ ἴσως μὲν δόξω τισὶν ὑμῶν παίζειν· εὖ μέντοι ἴστε, πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐρῶ. Ἐγὼ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, δι' οὐδὲν ἀλλ' ἢ διὰ σοφίαν τινὰ τοῦτο τὸ ὄνομα ἔσχηκα. Ποίαν δὴ σοφίαν ταύτην; ἥπερ ἐστὶν ἴσως ἀνθρωπίνη σοφία· τῷ ὄντι γὰρ κινδυνεύω ταύτην εἶναι σοφός· οὗτοι δὲ τάχ' ἄν, οὓς ἄρτι ἔλεγον, μείζω τινὰ ἢ κατ' ἄνθρωπον σοφίαν σοφοὶ εἶεν, ἢ οὐκ ἔχω, ὅ,τι λέγω· οὐ γὰρ δὴ ἔγωγε αὐτὴν ἐπίσταμαι· ἀλλ' ὅστις φησί, ψεύδεταί τε καὶ ἐπὶ δια-

---

39) Ὁ Ἐρρῖκος στέφανος διώρθου Πείθειν τὸ Πείθουσι, καθὼς τῷ ὄντι τὸ ἀπαιτεῖ ἡ συνθήκη τοῦ λόγου· ἀλλ' οἱ Γερμανοὶ ἐκδόται ὑπερασπίσθησαν τὸ κείμενον ὡς ἔχει, ἐκλαδόντες τὸ Οἷός τε ἐστιν, ὡς ἐντελῶς ἀνεξάρτητον παρεμπίπτουσαν πρότασιν. Καὶ τῷ ὄντι τὰ τοιαῦτα δὲν εἶνε οὔτε ἓν οὔτε δύο εἰς τὸν Πλάτωνα ἢ τοὺς λοιποὺς τῶν ἀρίστων. 40) Τῶν ἑαυτῶν πολιτῶν. 41) Διότι ἀντὶ πώλων καὶ μόσχων, υἱοὺς κέκτησαι.

42) Δύω ποιηταὶ Παρίους ὑπὸ τὸ αὐτὸ τοῦτο ὄνομα ἀναφέρει ὁ Ἐρατοσθένης· φαίνεται δέ, ὅτι ὁ περὶ οὗ ὁ λόγος ἐνταῦθα εἶνε ὁ νεώτερος, εἰς τὸν ὁποῖον ἀποδίδεται καὶ τὸ γνωστότατον ἐκεῖνο δίστιχον· « Κἦν με φάγῃς ἐπὶ ῥίζαν κτλ. » 43) Ὁ Γάλλος μεταφραστὴς Θυρῶτος ἀνέγνω, φαίνεται, Εὐτελῶς ἀντὶ Ἐμμελῶς. 44) Ἐννοεῖται ὅτι ὅλα ταῦτα εἶνε ἡ συνήθης τοῦ Σωκράτους εἰρωνεία. 45) Παρατηρητέα ἡ δύναμις τοῦ Ἀλλὰ ᾗ τοῦ Γάρ, καὶ σημειωτέον ὅτι ὅλα τὰ τοιαῦτα εἶνε κατ' ἔλλειψιν λέξεων συνυπακουομένων π. χ. Ἀλλ' (οὐ καλλύνομαι νῦν οὐδ' ἀβρύνομαι·) οὐ γὰρ ἐπίστ. κτλ. 47) Καθὼς καὶ κοινῶς λέγομεν· τί πρᾶγμα εἶναι αὐτὸ τὸ ἐδικόν σε! 47) Ἐπροξένησεν, ἔκαμε ν' ἀποκτήσω. Ἀπαρέλλακτα μεταχειρίζονται καὶ οἱ Γάλλοι τὸ faire.

βολῇ τῇ ἐμῇ λέγει. Καί μοι, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θορυβήσητε μηδέν, ἂν δόξω τι ὑμῖν μέγα λέγειν. οὐ γὰρ ἐμὸν ἐρῶ τὸν λόγον, ὃν ἂν λέγω, ἀλλ' εἰς ἀξιόχρεων ὑμῖν τὸν λέγοντα ἀνοίσω. Τῆς γὰρ ἐμῆς, εἰ δή τις ἐστὶ σοφία καὶ οἵα, μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς. Χαιρεφῶντα γὰρ ἴστε δήπου· οὗτος ἐμὸς ἑταῖρος ἦν ἐκ νέου, καὶ ὑμῶν τῷ πλήθει[48] ἑταῖρός τε, καὶ ξυνέφυγε τὴν φυγὴν ταύτην[49], καὶ μεθ' ὑμῶν κατῆλθε. Καὶ ἴστε δὴ οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅτι ὁρμήσειε. Καὶ δήποτε καὶ εἰς Δελφοὺς ἐλθὼν ἐτόλμησε τοῦτο μαντεύσασθαι· καὶ, ὅπερ λέγω, μὴ θορυβῆτε, ὦ ἄνδρες. Ἤρετο γὰρ δή, εἴ τις ἐμοῦ εἴη σοφώτερος. Ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι[50]. Καὶ τούτων πέρι ὁ ἀδελφὸς ὑμῖν αὐτοῦ οὑτοσὶ μαρτυρήσει, ἐπειδὴ ἐκεῖνος τετελεύτηκε.

Σκέψασθε δή, ὧν ἕνεκα ταῦτα λέγω· μέλλω γὰρ ὑμᾶς διδάξειν, ὅθεν μοι ἡ διαβολὴ γέγονε. Ταῦτα γὰρ ἐγὼ ἀκούσας, ἐνεθυμούμην οὑτωσί. Τί ποτε[51] λέγει ὁ θεός; καὶ τί ποτε αἰνίττεται; ἐγὼ γὰρ δὴ οὔτε σμικρὸν ξύνοιδα ἐμαυτῷ σοφὸς ὤν· τί οὖν ποτε λέγει, φάσκων ἐμὲ σοφώτατον εἶναι; οὐ γὰρ δήπου ψεύδεταί γε· οὐ γὰρ θέμις αὐτῷ. Καὶ πολὺν μὲν χρόνον ἠπόρουν, τί ποτε λέγει· ἔπειτα μόλις πάνυ ἐπὶ ζήτησιν αὐτοῦ[52] τοιαύτην τινὰ ἐτραπόμην. Ἦλθον ἐπί τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς ἐνταῦθα[53], εἴπερ που, ἐλέγξων τὸ μαντεῖον, καὶ ἀποφανῶν τῷ χρησμῷ, ὅτι οὑτοσὶ ἐμοῦ σοφώτερός ἐστι· σὺ δ' ἐμὲ ἔφησθα. Διασκοπῶν[54] οὖν τοῦτον (ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν, ἦν δέ τις τῶν πολιτικῶν, πρὸς ὃν ἐγὼ σκοπῶν τοιοῦτόν τι ἔπαθον, ὦ ἄνδρες Ἀθηναῖοι·) καὶ διαλεγόμενος[55] αὐτῷ, ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολλοῖς ἀνθρώποις, καὶ μάλιστα ἑαυτῷ, εἶναι δ' οὔ[56]. Κἄπειτα ἐπειρώμην αὐτῷ δεικνύναι, ὅτι οἴοιτο μὲν εἶναι σοφός, εἴη δ' οὔ. Ἐντεῦθεν οὖν τούτῳ τε ἀπηχθόμην, καὶ πολλοῖς τῶν παρόντων. Πρὸς ἐμαυτὸν δ' οὖν ἀπιὼν ἐλογιζόμην[57], ὅτι τούτου μὲν τοῦ ἀνθρώπου ἐγὼ σοφώτερός εἰμι· κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος οὐδὲν καλὸν οὐδ' ἀγαθὸν εἰδέναι, ἀλλ' οὗτος μὲν οἴεταί τι εἰδέναι, οὐκ εἰδώς· ἐγὼ δέ, ὥσπερ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι[57]. Ἔοικα γοῦν τούτου γε σμικρῷ τινι αὐτῷ τούτῳ σοφώτερος εἶναι, ὅτι, ἃ μὴ οἶδα, οὐδὲ οἴομαι εἰδέναι. Ἐντεῦθεν ἐπ' ἄλλον ἰὼν τῶν ἐκείνου δοκούντων σοφωτέρων εἶναι· καί μοι ταὐτὰ ταῦτα ἔδοξε· καὶ ἐνταῦθα[58] κἀκείνῳ καὶ ἄλλοις πολλοῖς ἀπηχθόμην.

---

[48]) Τοῖς πολλοῖς, τῷ δήμῳ, δημοκρατικός. [49]) Τὴν ἐπὶ τῶν 30 τυράννων, ὅτε ὀλίγοι μέτρια καὶ δίκαια φρονοῦντες εἶχον ἀφῆσαι τὴν πόλιν· ἐπανῆλθον δὲ ἔπειτα, δηλαδὴ μετὰ τρία ἔτη, τὸ δ', ἔτος τῆς 94 Ὀλυμπιάδος, καὶ πρὸ ἑνὸς ἔτους τῆς δίκης τοῦ Σωκράτους· ὅθεν τὸ Ταύτην, ὡς ἐπὶ νεαροῦ εἰσέτι τοῦ συμβάντος, ἔχει προσφυέστατα.

[50]) Τὸν χρησμὸν τοῦτον ἀναφέρει ὁλόκληρον ὁ Σχολιαστὴς τοῦ Ἀριστοφάνους (Νεφ. σελ. 67): « Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης, ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος ». συνήθως ᾄδεται τὸ τελευταῖον μόνον τοῦ χρησμοῦ μέρος. [51]) Τί ἆρα γε; ὡς ἂν τί;

[52]) Τοῦ χρησθέντος ὑπὸ τοῦ θεοῦ [53]) Ἐν τούτῳ τῷ πράγματι, τῇ πρὸς τὸν σοφὸν παραθέσει ἐμαυτοῦ. [54]) Εὐθεῖα ἀπόλυτος, τὴν ὁποίαν ἀπαράλλακτα ἐκφράζομεν καὶ εἰς τὸ τετριμμένον ὕφος: παρατηρῶν(τάς) τον λοιπὸν καὶ ὁμιλῶν(τας) μαζῇ του, μὲ ἔφανε ὁ ἄνθρωπος ὅτι κτλ. [55]) Εἰς πόσους ἠμπορεῖ (ἀλήμωνω!) νὰ ἐφαρμοσθῇ ἡ δηκτικωτάτη αὕτη καὶ ἁπλουστάτη ἔκφρασις τοῦ φιλοσόφου. [56]) Ἀπιὼν οὖν ἐλογιζόμην πρὸς ἐμαυτόν.

[57]) Εἰδέναι. [58]) Καὶ τότε (καὶ εἰς αὐτὴν τὴν συνδιάλεξιν) ἐπίσης.

Μετὰ ταῦτα οὖν ἤδη ἐφεξῆς ἦα (αἰσθανόμενος μὲν, καὶ λυπούμενος, καὶ δεδιὼς ὅτι ἀπηχθανόμην· ὅμως δὲ ἀναγκαῖον ἐδόκει εἶναι τὸ τοῦ θεοῦ περὶ πλείστου ποιεῖσθαι, καὶ ἰέναι, σκοποῦντι τὸν χρησμὸν τί λέγει) ἐπὶ ἅπαντας τοὺς τι δοκοῦντας εἰδέναι. καὶ νὴ τὸν Κύνα[59], ὦ ἄνδρες Ἀθηναῖοι, (δεῖ γὰρ πρὸς ὑμᾶς τἀληθῆ λέγειν) ἦ μὴν ἐγὼ ἔπαθόν τι τοιοῦτον· οἱ μὲν μάλιστα εὐδοκιμοῦντες ἔδοξάν μοι ὀλίγου δεῖν τοῦ πλείστου ἐνδεεῖς εἶναι, ζητοῦντι κατὰ τὸν θεόν[60]· ἄλλοι δὲ, δοκοῦντες φαυλότεροι, ἐπιεικέστεροι εἶναι[61] ἄνδρες πρὸς τὸ φρονίμως ἔχειν. Δεῖ δὴ ὑμῖν τὴν ἐμὴν πλάνην[62] ἐπιδεῖξαι, ὥσπερ πόνους[63] τινὰς πονοῦντος, ἵνα μοι καὶ ἀνέλεγκτος[64] ἡ μαντεία γένοιτο. Μετὰ γὰρ τοὺς πολιτικοὺς ἦα ἐπὶ τοὺς ποιητὰς, τούς τε τῶν τραγῳδιῶν καὶ τοὺς τῶν διθυράμβων καὶ τοὺς ἄλλους, ὡς ἐνταῦθα ἐπ' αὐτοφώρῳ καταληψόμενος ἐμαυτὸν ἀμαθέστερον ἐκείνων ὄντα. Ἀναλαμβάνων οὖν αὐτῶν τὰ ποιήματα, ἃ μοι ἐδόκει μάλιστα πεπραγματεῦσθαι[65] αὐτοῖς, διηρώτων ἂν[66] αὐτοὺς τί λέγοιεν, ἵν' ἅμα τι καὶ μανθάνοιμι παρ' αὐτῶν. Αἰσχύνομαι οὖν ὑμῖν εἰπεῖν, ὦ ἄνδρες, τἀληθῆ· ὅμως δὲ ῥητέον. Ὡς ἔπος γὰρ εἰπεῖν, ὀλίγου[67] αὐτῶν ἅπαντες οἱ παρόντες ἂν βέλτιον ἔλεγον περὶ ὧν αὐτοὶ ἐπεποιήκεσαν. Ἔγνων οὖν αὖ καὶ περὶ τῶν ποιητῶν ἐν ὀλίγῳ τοῦτο, ὅτι οὐ σοφίᾳ ποιοῖεν, ἃ ποιοῖεν, ἀλλὰ φύσει τινὶ, καὶ ἐνθουσιάζοντες, ὥσπερ οἱ θεομάντεις καὶ οἱ χρησμῳδοί. καὶ γὰρ οὗτοι λέγουσι μὲν πολλὰ καὶ καλὰ, ἴσασι δὲ οὐδὲν ὧν λέγουσι. τοιοῦτόν τί μοι ἐφάνησαν πάθος καὶ οἱ ποιηταὶ πεπονθότες· καὶ ἅμα ἠσθόμην αὐτῶν διὰ τὴν ποίησιν οἰομένων καὶ τἆλλα σοφωτάτων εἶναι ἀνθρώπων, ἃ[68] οὐκ ἦσαν. Ἀπῄειν οὖν καὶ ἐντεῦθεν, τῷ αὐτῷ οἰόμενος περιγεγονέναι, ᾧπερ καὶ τῶν πολιτικῶν.

Τελευτῶν οὖν ἐπὶ τοὺς χειροτέχνας ἦα. ἐμαυτῷ γὰρ ξυνῄδειν οὐδὲν ἐπισταμένῳ, ὡς ἔπος εἰπεῖν τούτους δέ γ' ἤδειν ὅτι εὑρήσοιμι πολλὰ καὶ καλὰ ἐπισταμένους. Καὶ τούτου μὲν οὐκ ἐψεύσθην, ἀλλ' ἠπίσταντο ἃ ἐγὼ οὐκ ἠπιστάμην, καί μου ταύτῃ σοφώτεροι ἦσαν. Ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, ταὐτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα, ὅπερ καὶ οἱ ποιηταὶ καὶ οἱ ἀγαθοὶ δημιουργοί[69]· διὰ τὸ τὴν τέχνην καλῶς ἐξεργάζεσθαι, ἕκαστος ἠξίου καὶ τἆλλα τὰ μέγιστα σοφώτατος εἶναι· καὶ αὐτῶν αὕτη ἡ πλημμέλεια ἐκείνην τὴν σοφίαν[70] ἀπέκρυπτεν. Ὥστε με καὶ αὐτὸν ἀνερωτᾶν ὑπὲρ τοῦ χρη-

---

59) Ὅρκος τοῦ Ῥαδαμάνθυος, εἰσαχθεὶς πρὸς ἀποφυγὴν τοῦ κατὰ Διὸς καὶ τῶν ἄλλων θεῶν ἐκ τοῦ προχείρου ὀμνύειν. Κύων δὲ, κατά τινας εἶνε ὁ Κυνοκέφαλος θεὸς τῶν Αἰγυπτίων Ἄνουβις. Εὑρίσκεται δὲ καὶ Νὴ τὸν χῆνα, καὶ Νὴ τὴν κάπαριν, καὶ ἄλλα παρόμοια, καθὼς καὶ τώρα ὀμνύουν οἱ ἁπλοῖ· Μὰ τὸ ψωμί· ἴδε τὰ εἰς τὸν Πλάτωνα σχόλια τοῦ Ruhnken, σελ. 5. 60) Ἡ αὐτὴ φράσις σώζεται ἐκ παρ' ἡμῖν· νὰ μιλήσωμεν κατὰ Θεόν, λέγουν οἱ ἁπλοῖ, δηλαδὴ καθὼς θέλει (διατάττει) ὁ Θεός. 61) Ἔδοξάν μοι. 62) Περιπλάνησιν. 63) Ἆθλους ὁποίοι οἱ τοῦ Ἡρακλέους κτλ. 64) Ἀνώτερα παντὸς ἐλέγχου (πάσης ἀναιρέσεως). 65) Τὰ πλέον ἐπεξειργασμένα (ἐπιτετηδευμένα), τεχνικώτερα. 66) Ἂν δὲν ἦτον τὸ ἀμέσως ἐπιφερόμενον Ἅμα, ἴσως ἠδύνατό τις, τῇ ἀληθείᾳ, νὰ προτείνῃ διόρθωσιν τοῦ Ἂν (ὁ ὁποῖος, μ' ὅλα τὰ πολλὰ καὶ σοφὰ τῶν γραμματικῶν, δὲν ἔχει χώραν ἐδῶ) διὰ τοῦ Ἅμ'. 67) Συνήθης ἔλλειψις τοῦ Δεῖν. Τὸ δὲ Λύτῶν συγκριτικὴ τοῦ Βέλτιον. 68) (Περὶ ἃ ἠαθ') ἃ οὐκ ἦσαν (σοφώτατοι). 69) Ἡ φυσικὴ σύνταξις ἦτον: Καὶ οἱ ἀγαθοὶ γὰρ δημιουργοὶ ταὐτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα, ὅπερ καὶ οἱ ποιηταί. 70) Τὴν προειρημένην, τὴν τοῦ ἐπίστασθαι δηλ. ἃ ἐγὼ οὐκ ἠπιστάμην.

σμοῦ[74], πότερα δεξαίμην ἂν οὕτως ὥσπερ ἔχω ἔχειν, μήτε τι σοφὸς ὢν τὴν ἐκείνων σοφίαν, μήτε ἀμαθὴς τὴν ἀμαθίαν, ἢ ἀμφότερα ἃ ἐκεῖνοι ἔχουσιν ἔχειν. Ἀπεκρινάμην οὖν ἐμαυτῷ καὶ τῷ χρησμῷ, ὅτι μοι λυσιτελεῖ, ὥσπερ ἔχω ἔχειν.

Ἐκ ταύτης ἤδη τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαὶ μὲν ἀπέχθειαί μοι γεγόνασι, καὶ οἷαι[75] χαλεπώταται καὶ βαρύταται· ὥστε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γεγονέναι· ὄνομα δὲ τοῦτο λέγεσθαι σοφὸς εἶναι. Οἴονται γάρ με ἑκάστοτε οἱ παρόντες, ταῦτα αὐτὸν[75a] εἶναι σοφόν, ἃ ἂν ἄλλον ἐξελέγξω[75b]· τὸ δὲ[76] κινδυνεύει, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι, καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶν ἢ οὐδενός· καὶ φαίνεται τοῦτ' οὐ λέγειν τὸν Σωκράτην[76a], προσκεχρῆσθαι δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ παράδειγμα ποιούμενος· ὥσπερ ἂν[76b] εἴποι· ὅτι οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός ἐστιν, ὅστις, ὥσπερ Σωκράτης, ἔγνωκεν, ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν. Ταῦτ' οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν περιΐων ἐπιζητῶ καὶ ἐρευνῶ, κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἄν τινα οἰῶμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν, ἐνδείκνυμαι, ὅτι οὐκ ἔστι σοφός, καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας, οὔτε τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου, οὔτε τῶν οἰκείων· ἀλλ' ἐν πενίᾳ μυρίᾳ εἰμὶ διὰ τὴν τοῦ θεοῦ λατρείαν[77].

Πρὸς δὲ τούτοις, οἱ νέοι μοι ἑπακολουθοῦντες, οἷς μάλιστα σχολή ἐστιν, οἱ τῶν πλουσιωτάτων[78], αὐτόματοι, χαίρουσιν ἀκούοντες ἐξελεγχομένων τῶν ἀνθρώπων· καὶ αὐτοὶ πολλάκις ἐμὲ μιμοῦνται, εἶτα ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν. Κἄπειτα, οἶμαι, εὑρίσκουσι πολλὴν ἀφθονίαν οἰομένων μὲν εἰδέναι τι ἀνθρώπων, εἰδότων δὲ ἢ ὀλίγα ἢ οὐδέν. Ἐντεῦθεν οὖν οἱ ὑπ' αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, οὐκ αὐτοῖς· καὶ λέγουσιν, ὡς Σωκράτης τίς ἐστι μιαρώτατος, καὶ διαφθείρει τοὺς νέους· καὶ ἐπειδάν τις αὐτοὺς ἐρωτᾷ, ὅ,τι ποιῶν, καὶ ὅ,τι διδάσκων, ἔχουσι μὲν οὐδὲν εἰπεῖν, ἀλλ' ἀγνοοῦσιν· ἵνα δὲ μὴ δοκῶσιν ἀπορεῖν, τὰ κατὰ πάντων τῶν φιλοσοφούντων πρόχειρα ταῦτα λέγουσιν, ὅτι τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς ζητεῖ, καὶ θεοὺς μὴ νομίζει, καὶ τὸν ἥττω λόγον κρείττω ποιεῖ· τὰ γὰρ ἀληθῆ, οἶμαι, οὐκ ἂν ἐθέλοιεν λέγειν, ὅτι κατάδηλοι γίγνονται προσποιούμενοι μὲν εἰδέναι, εἰδότες δὲ οὐδέν. Ἅτε οὖν, οἶμαι, φιλότιμοι ὄντες καὶ σφοδροὶ καὶ πολλοί, καὶ ξυντεταγμένως[79] καὶ πιθανῶς λέγοντες περὶ ἐμοῦ, ἐμπεπλήκασιν ὑμῶν τὰ ὦτα, καὶ πάλαι καὶ νῦν σφοδρῶς διαβάλλοντες. Ἐκ τούτων καὶ Μέλιτός μοι ἐπέθετο καὶ Ἄνυτος καὶ Λύκων· Μέλιτος μὲν, ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος· Ἄνυτος δὲ, ὑπὲρ τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν· Λύκων δὲ ὑπὲρ τῶν ῥητόρων. Ὥστε, ὅπερ ἐγὼ ἀρχόμενος ἔλεγον, θαυμά-

---

74) Ὡς ἐκ προσώπου τοῦ χρησμοῦ. 75) Καὶ (τοιαῦται) ἀπέχθειαι οἷαι (εἰσὶν αἱ) χαλεπώταται καὶ βαρύταται 75a) Ἐμέ. 75b) Μὴ ὄντα (ἢ Μὴ εἶναι) τοιοῦτον. 76) Ἀντὶ: (κατὰ) τοῦτο δέ. 76a) Τὸ κείμενον ἐκβίθη ἐσφαλμένον ἐνταῦθα. Ἡ φυσικωτέρα διόρθωσις εἶνε ἡ ἀνωτέρω· ἡ δὲ ἔννοια· Καὶ φαίνεται (ὁ θεὸς) οὐ λέγειν τοῦτο (εἶναι) τὸν Σωκράτην, (σ.φρὸν δηλαδή). 76b) Ὁ Ἀν ἀντὶ τοῦ Ἐάν. 77) Θεραπείαν, ὑπηρεσίαν. 78) Ἀπεξήγησις τοῦτο τοῦ προηγουμένου. 79) Διορθοῦσί τινες Ξυντεταμένως· ἀλλ' οὐδεμία διορθώσεως ἀνάγκη.

ζοιμ' ἄν, εἰ οἷός τ' εἴην ἐγὼ ὑμῶν ταύτην τὴν διαβολὴν ἐξελέσθαι ἐν οὕτως ὀλίγῳ χρόνῳ, οὕτω πολλὴν γεγονυῖαν. Ταῦτά ἐστιν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τἀληθῆ καὶ ὑμᾶς, οὔτε μέγα οὔτε σμικρὸν ἀποκρυψάμενος ἐγὼ λέγω, οὐδὲ ὑποστειλάμενος. Καί τοι οἶδα σχεδόν, ὅτι τοῖς αὐτοῖς[80] ἀπεχθάνομαι· ὃ καὶ τεκμήριον, ὅτι ἀληθῆ λέγω, καὶ ὅτι αὕτη ἐστὶν ἡ διαβολὴ ἡ ἐμή, καὶ τὰ αἴτια ταῦτά ἐστι· καὶ ἐάν τε νῦν, ἐάν τε αὖθις ζητήσητε ταῦτα, οὕτως εὑρήσετε. Περὶ μὲν οὖν ὧν οἱ πρῶτοί μου κατήγοροι κατηγόρουν, αὕτη ἔστω ἱκανὴ ἡ ἀπολογία πρὸς ὑμᾶς.

Πρὸς δὲ Μέλιτον, τὸν ἀγαθὸν καὶ φιλόπολιν, ὥς φησι, καὶ τοὺς ὑστέρους, μετὰ ταῦτα πειράσομαι ἀπολογήσασθαι. Αὖθις γὰρ δὴ, ὥσπερ τούτων ἑτέρων ὄντων κατηγόρων, λάβωμεν αὖ τὴν τούτων ἀντωμοσίαν. Ἔχει δὲ ὧδέ πως· Σωκράτη φησὶν ἀδικεῖν, τούς τε νέους διαφθείροντα, καὶ θεοὺς, οὓς ἡ πόλις νομίζει, οὐ νομίζοντα, ἕτερα δὲ δαιμόνια καινά[81]. Τὸ μὲν δὴ ἔγκλημα τοιοῦτόν ἐστι· τούτου δὲ τοῦ ἐγκλήματος ἓν ἕκαστον ἐξετάσωμεν. Φησὶ γὰρ δὴ τοὺς νέους ἀδικεῖν με διαφθείροντα. Ἐγὼ δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικεῖν φημι Μέλιτον, ὅτι σπουδῇ χαριεντίζεται[82], ῥᾳδίως[83] εἰς ἀγῶνας καθιστὰς ἀνθρώπους, περὶ πραγμάτων προσποιούμενος σπουδάζειν καὶ κηδεσθαι, ὧν οὐδὲν πώποτε τούτῳ ἐμέλησεν. Ὡς δὲ τοῦτο οὕτως ἔχει, πειράσομαι καὶ ὑμῖν ἐπιδεῖξαι.

Καί μοι δεῦρο, ὦ Μέλιτε, εἰπέ· Ἄλλο τι ἢ[84] περὶ πλείστου ποιεῖ ὅπως ὡς βέλτιστοι οἱ νεώτεροι ἔσονται; — Ἔγωγε. — Ἴθι δὴ νῦν εἰπὲ τούτοις, τίς αὐτοὺς βελτίους ποιεῖ; δῆλον γὰρ ὅτι οἶσθα, μέλον[85] γέ σοι. Τὸν μὲν γὰρ διαφθείροντα ἐξεύρων, ὡς φῂς, ἐμὲ εἰσάγεις τουτοισὶ καὶ κατηγορεῖς· τὸν δὲ δὴ βελτίους ποιοῦντα, ἴθι, εἰπὲ καὶ μήνυσον αὐτοῖς τίς ἐστιν. Ὁρᾷς, ὦ Μέλιτε, ὅτι σιγᾷς, καὶ οὐκ ἔχεις εἰπεῖν; καίτοι οὐκ αἰσχρόν σοι δοκεῖ εἶναι, καὶ ἱκανὸν τεκμήριον οὗ δὴ ἐγὼ λέγω, ὅτι σοι οὐδὲν μεμέληκεν[86]; Ἀλλ' εἰπὲ, ὦ ἀγαθὲ, τίς αὐτοὺς ἀμείνους ποιεῖ; — Οἱ νόμοι. — Ἀλλ' οὐ τοῦτο ἐρωτῶ, ὦ βέλτιστε, ἀλλὰ τίς ἄνθρωπος, ὅστις πρῶτον καὶ αὐτὸ τοῦτο οἶδε, τοὺς νόμους; — Οὗτοι, ὦ Σώκρατες, οἱ δικασταί. — Πῶς λέγεις, ὦ Μέλιτε; οἷόν τε τοὺς νέους παιδεύειν οἷοί τέ εἰσι καὶ βελτίους ποιεῖν; — Μάλιστα. — Πότερον ἅπαντες; ἢ οἱ μὲν αὐτῶν, οἱ δ' οὔ; — Ἅπαντες. — Εὖγε, νὴ τὴν Ἥραν, λέγεις, καὶ πολλὴν ἀφθονίαν τῶν ὠφελούντων[87]. Τί δὲ δή; οἷόν τε οἱ ἀκροαταὶ βελτίους ποιοῦσιν, ἢ οὔ; — Καὶ οὗτοι. — Τί δὲ οἱ βουλευταί; — Καὶ οἱ βουλευταί. — Ἀλλ' ἆρα, ὦ Μέλιτε, μὴ οἱ ἐν τῇ ἐκκλησίᾳ ἐκκλησιασταὶ[88] διαφθείρουσι τοὺς νεωτέρους; ἢ κἀκεῖνοι βελτίους ποιοῦσιν ἅπαντες; — Καὶ ἐκεῖνοι. — Πάντες ἄρα, ὡς ἔοικεν, Ἀθηναῖοι κα-

80) Πρὸς αὐτοὺς τούτους. 81) (Ἐνν.) Νομίζοντα. Ἡ ἀντωμοσία δὲ αὕτη, κατὰ τὸν Διογένη Λαέρτιον, ὅστις καὶ τὴν ἀναφέρει αὐτολεξεί, ἐσώζετο μέχρι τῶν ἡμερῶν του (κατὰ τὸν Β'. αἰῶνα ἀπὸ Χριστοῦ), εἰς τὸ Ἀθήνησι Μητρῷον. 82) Ἀστεΐζεται εἰς πράγματα σπουδαῖα, ἢ Ἀστεΐζεται ἐν γνώσει. 83) Χωρὶς τύψιν συνειδότος. 84) Ἡ φράσις συνήθης παρὰ τοῖς Ἀττικοῖς εἰς τὰς ἐρωτήσεις. Ἔχει δέ, καθὼς ὅλαι αἱ τοιαῦται, ἔλλειψιν ἀναπληρουμένην οὕτω. Τί ἄλλο περὶ πλείστου ποιῇ, ἢ (περὶ πλείστα ποιῇ) ὅπως κτλ. 85) Εὐθεῖα ἀπόλυτος: Ἀφ' οὗ σὲ μέλει, φροντίζεις περὶ τούτων. 86) Ἐπεξήγησις τοῦ Οὗ ἐγὼ λέγω.
87) Δέγεις εἶναι. 88) Οἱ συγκροτοῦντες τὴν ἐκκλησίαν τοῦ δήμου.

λοὺς κἀγαθοὺς ποιοῦσι, πλὴν ἐμοῦ. Ἐγὼ δὲ μόνος διαφθείρω· οὕτω λέγεις; —Πάνυ σφόδρα ταῦτα λέγω.—Πολλήν γέ μου κατέγνωκας ἀτυχίαν. Καί μοι ἀπόκριναι· ἦ καὶ περὶ ἵππους οὕτω σοι δοκεῖ ἔχειν; οἱ μὲν βελτίους ποιοῦντες αὐτοὺς ἅπαντες ἄνθρωποι[89] εἶναι, εἷς δέ τις ὁ διαφθείρων; ἢ τοὐναντίον τούτου πᾶν, εἷς μέν τις ὁ βελτίους γε οἷός τε ὢν ποιεῖν, ἢ πάνυ ὀλίγοι, οἱ ἱππικοί· οἱ δὲ πολλοί, ἐάν περ ξυνῶσι καὶ χρῶνται ἵπποις, διαφθείρουσιν; οὐχ οὕτως ἔχει, ὦ Μέλιτε, καὶ περὶ ἵππων καὶ τῶν ἄλλων ἁπάντων ζώων; Πάντως δήπου, ἐάν τε σὺ καὶ Ἄνυτος μὴ φῆτε, ἐάν τε φῆτε. πολλὴ γὰρ ἂν τις εὐδαιμονία εἴη περὶ τοὺς νέους, εἰ εἷς μὲν μόνος αὐτοὺς διαφθείρει, οἱ δὲ ἄλλοι ὠφελοῦσιν. Ἀλλὰ γάρ, ὦ Μέλιτε, ἱκανῶς ἐπιδείκνυσαι ὅτι οὐδεπώποτε ἐφρόντισας τῶν νέων· καὶ σαφῶς ἀποφαίνεις τὴν σαυτοῦ ἀμέλειαν, ὅτι οὐδέν σοι μεμέληκε περὶ ὧν ἐμὲ εἰσάγεις.

Ἔτι δ' ἡμῖν, εἰπέ, ὦ πρὸς Διὸς Μέλιτε, πότερόν ἐστιν οἰκεῖν ἄμεινον ἐν πολίταις χρηστοῖς, ἢ πονηροῖς; ὦ τᾶν, ἀπόκριναι. οὐδὲν γάρ τοι χαλεπὸν ἐρωτῶ· οὐχ οἱ μὲν πονηροὶ ἀεί κακόν τι ἐργάζονται τοὺς ἀεὶ ἐγγυτάτω ἑαυτῶν ὄντας, οἱ δ' ἀγαθοὶ ἀγαθόν τι;—Πάνυ γε.—Ἔστιν οὖν ὅστις βούλεται ὑπὸ τῶν ξυνόντων βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; ἀπόκριναι, ὦ ἀγαθέ. καὶ γὰρ ὁ νόμος κελεύει ἀποκρίνεσθαι· ἔστι βούλεται βλάπτεσθαι;—Οὐ δῆτα.—Φέρε δὴ πότερον ἐμὲ εἰσάγεις δεῦρο ὡς διαφθείροντα τοὺς νέους, καὶ τούτους πονηροτέρους ποιοῦντα, ἑκόντα ἢ ἄκοντα;—Ἑκόντα ἔγωγε.—Τί δῆτα, ὦ Μέλιτε, τοσοῦτον σὺ ἐμοῦ σοφώτερος εἶ, τηλικούτου ὄντος τηλικόσδε ὤν[90], ὥστε εὖ μὲν ἔγνωκας, ὅτι οἱ μὲν κακοὶ κακόν τι ἐργάζονται ἀεὶ τοὺς μάλιστα πλησίον ἑαυτῶν, οἱ δὲ ἀγαθοὶ ἀγαθόν τι· ἐγὼ δὲ δὴ εἰς τοσοῦτον ἀμαθίας ἥκω, ὥστε καὶ τοῦτο ἀγνοῶ, ὅτι ἐάν τινα μοχθηρὸν ποιήσω τῶν ξυνόντων, κινδυνεύσω κακόν τι λαβεῖν ὑπ' αὐτοῦ; ὥστε τοῦτο τοσοῦτον κακὸν ἑκὼν ποιῶ, ὡς φῄς σύ; ταῦτα ἐγώ σοι οὐ πείθομαι, ὦ Μέλιτε, οἶμαι δὲ οὐδὲ ἄλλων ἀνθρώπων οὐδένα· ἀλλὰ ἢ οὐ διαφθείρω, ἢ διαφθείρω ἄκων. Ὥστε σύ γε κατ' ἀμφότερα ψεύδει. Εἰ δὲ ἄκων διαφθείρω, τῶν τοιούτων[91] καὶ ἀκουσίων ἁμαρτημάτων οὐ δεῦρο νόμος εἰσάγειν ἐστίν, ἀλλ' ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν. Δῆλον γὰρ ὅτι, ἐὰν μάθω, παύσομαι[92] ὅγε ἄκων ποιῶ. Σὺ δὲ ξυγγενέσθαι μέν μοι καὶ διδάξαι ἔφυγες, καὶ οὐκ ἠθέλησας· δεῦρο δὲ εἰσάγεις, οἷ νόμος ἐστὶν εἰσάγειν τοὺς κολάσεως δεομένους, ἀλλ' οὐ μαθήσεως. Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μὲν δῆλον ἤδη ἐστὶν ὃ ἐγὼ ἔλεγον, ὅτι Μελίτῳ τούτῳ οὔτε μέγα οὔτε σμικρὸν πώποτε ἐμέλησεν.

Ὅμως δὲ δὴ λέγε ἡμῖν, πῶς με φῂς διαφθείρειν, ὦ Μέλιτε, τοὺς νεωτέρους; ἢ δῆλον ὅτι κατὰ τὴν γραφήν, ἣν ἐγράψω, θεοὺς διδάσκοντα μὴ νομίζειν, οὓς ἡ πόλις νομίζει, ἕτερα δὲ δαιμόνια καινά; οὐ ταῦτα λέγεις ὅτι διδάσκων διαφθείρω;—Πάνυ μὲν οὖν σφόδρα[93] ταῦτα λέγω.—Πρὸς αὐτῶν τοίνυν, ὦ Μέλιτε, τούτων τῶν θεῶν, ὧν νῦν ὁ λόγος ἐστίν, εἰπὲ ἔτι

89) (Δοκοῦσιν) εἶναι. 90) Τόσον γέροντος ἐμοῦ, τόσον νέος σύ. 91) (Ἕνεκα) τῶν τοιούτων. 92) Παύσομαι (ποιῶν τοῦτο) ὅγε ἄκ. κτλ. 93) Πάνυ σφόδρα, ὑπερβολὴ ἐπιτάσεως, ὡς καὶ ἀνωτέρω.

σαφέστερον καὶ ἐμοὶ καὶ τοῖς ἀνδράσι τουτοισί· ἐγὼ γὰρ οὐ δύναμαι μαθεῖν· πότερον λέγεις, διδάσκειν με νομίζειν εἶναί τινας θεούς· (καὶ αὐτὸς ἄρα νομίζω εἶναι θεούς, καὶ οὐκ εἰμὶ τοπαράπαν ἄθεος, οὐδὲ ταύτῃ[96] ἀδικῶ), οὐ μέντοι οὓς περ γε ἡ πόλις, ἀλλ' ἑτέρους, καὶ τοῦτ' ἔστιν ὃ μοι ἐγκαλεῖς, ὅτι ἑτέρους· ἢ παντάπασί με φῂς οὔτε αὐτὸν νομίζειν θεούς, τούς τε ἄλλους ταῦτα διδάσκειν; — Ταῦτα λέγω, ὡς τοπαράπαν οὐ νομίζεις θεούς. — Ὦ θαυμάστε Μέλιτε, ἵνατί ταῦτα λέγεις; οὐδὲ ἥλιον, οὐδὲ σελήνην ἄρα νομίζω εἶναι θεούς, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι; — Μὰ Δί', ὦ ἄνδρες δικασταί· ἐπεὶ τὸν μὲν ἥλιον, λίθον φασὶν εἶναι, τὴν δὲ σελήνην, γῆν. — Ἀναξαγόρου οἴει κατηγορεῖν, ὦ φίλε Μέλιτε· καὶ οὕτω καταφρονεῖς τῶνδε, καὶ οἴει αὐτοὺς ἀπείρους γραμμάτων εἶναι, ὥστε οὐκ εἰδέναι, ὅτι τὰ Ἀναξαγόρου βιβλία τοῦ Κλαζομενίου γέμει τούτων τῶν λόγων, καὶ δὴ καὶ οἱ νέοι ταῦτα παρ' ἐμοῦ μανθάνουσιν, ἃ ἔξεστιν ἐνίοτε, εἰ πάνυ πολλοῦ, δραχμῆς ἐκ τῆς ὀρχήστρας[97] πριαμένους, Σωκράτους καταγελᾶν, ἐὰν προσποιῆται ἑαυτοῦ εἶναι, ἄλλως τε καὶ οὕτως ἄτοπα ὄντα. Ἀλλ', ὦ πρὸς Διός, οὑτωσί σοι δοκῶ οὐδένα νομίζειν θεὸν εἶναι; — Οὐ μέντοι μὰ Δία, οὐδ' ὁπωστιοῦν. — Ἄπιστος[98] γ' εἶ, ὦ Μέλιτε, καὶ ταῦτα, ὡς ἐμοὶ δοκεῖς, σαυτῷ. Ἐμοὶ μὲν γὰρ δοκεῖ οὗτοσί, ὦ ἄνδρες Ἀθηναῖοι, πάνυ εἶναι ὑβριστὴς καὶ ἀκόλαστος, καὶ ἀτεχνῶς τὴν γραφὴν ταύτην ὕβρει τινὶ καὶ ἀκολασίᾳ καὶ νεότητι γράψασθαι. Ἔοικε γὰρ ὥσπερ αἴνιγμα ξυντιθέντι, καὶ διαπειρωμένῳ· « Ἆρα γνώσεται Σωκράτης ὁ σοφὸς ὃτι[99] ἐμοῦ χαριεντιζομένου, καὶ ἐναντία ἐμαυτῷ λέγοντος; ἢ ἐξαπατήσω αὐτὸν καὶ τοὺς ἄλλους τοὺς ἀκούοντας; » οὗτος γὰρ ἐμοὶ φαίνεται τὰ ἐναντία λέγειν αὐτὸς αὑτῷ ἐν τῇ γραφῇ, ὥς περ ἂν εἰ εἶπον· Ἀδικεῖ Σωκράτης θεοὺς οὐ νομίζων, ἀλλὰ θεοὺς νομίζων· καίτοι τοῦτό ἐστι παίζοντος.

Ξυνεπισκέψασθε δή, ὦ ἄνδρες, ἧ μοι φαίνεται ταῦτα λέγειν· σὺ δὲ ἡμῖν ἀπόκριναι, ὦ Μέλιτε· ὑμεῖς δέ, ὅπερ κατ' ἀρχὰς ὑμᾶς παρῃτησάμην, μέμνησθέ μοι μὴ θορυβεῖν, ἐὰν ἐν τῷ εἰωθότι τρόπῳ τοὺς λόγους ποιῶμαι. Ἔστιν ὅστις ἀνθρώπων, ὦ Μέλιτε, ἀνθρώπεια μὲν νομίζει πράγματα εἶναι, ἀνθρώπους δὲ οὐ νομίζει; Ἀποκρινέσθω, ὦ ἄνδρες, καὶ μὴ ἄλλα καὶ ἄλλα θορυβείτω. Ἔσθ' ὅστις ἵππους μὲν οὐ νομίζει, ἱππικὰ δὲ πράγματα; ἢ αὐλητὰς μὲν οὐ νομίζει, αὐλητικὰ δὲ πράγματα; Οὐκ ἔστιν, ὦ ἄριστε ἀνδρῶν, εἰ μὴ σὺ βούλει ἀποκρίνασθαι, ἐγώ σοι λέγω καὶ τοῖς ἄλλοις τουτοισί. Ἀλλὰ τὸ ἐπὶ τούτῳ ἀπόκριναι, ἔσθ' ὅστις δαιμόνια μὲν νομίζει πράγματα εἶναι, δαίμονας δὲ οὐ νομίζει; — Οὐκ ἔστιν[98]. — Ὡς ὤκνησας· ὅτι μόλις ἀπεκρίνω ὑπὸ τουτωνί ἀναγκαζόμενος. Οὐκοῦν δαιμόνια μὲν[99] φῂς με καὶ νομίζειν καὶ διδάσκειν, εἴτ' οὖν καινὰ εἴτε παλαιά, ἀλ-

---

[96]) Κατὰ τοῦτο, ταύτῃ (τῇ ὁδῷ). [97]) Δῆλον ἂν ἐννοῇ ὀρχήστραν τὴν τοῦ θεάτρου ἢ ἄλλο μέρος οὕτω καλούμενον, ὅπου ἦσαν βιβλιοπωλεῖα. [98]) Ἀνάξιος πίστεως, ἀπίστευτος· κἀνεὶς δέν σε πιστεύει, ἀλλ' οὔτε σὺ αὐτὸς πιστεύεις ὅσα λέγεις. [97]) Δῆθεν, τάχα σοφός. [98]) Γποτίθησιν ἀποκριθέντα τοῦτο τὸν Μέλιτον, καὶ ἐπιφέρει τὸ Ὡς ὤκνησας, πόσον ἄρτησες, πόσον ἐβυσκολεύθης ν' ἀποκριθῇς! [99]) Ὁ Μὲν ἔχει ἀνταποδοτικὸν τὸν Εἰ δὲ κ δαιμόνια νομίζω· ἡ δὲ ἐρώτησις, κάλλιον νὰ ἐτίθῃ μετὰ τὸ διδάσκειν· καὶ τὸ Εἴτ' οὖν καινὰ, εἴτε παλαιὰ, ἀλλ' οὖν δαιμ , νὰ ἐπενεχθῇ ὡς ἐπανάληψις.

λ' οὖν δαιμόνιά γε νομίζω, κατὰ τὸν σὸν λόγον καὶ ταῦτα καὶ διωμόσω ἐν τῇ ἀντιγραφῇ[100]. εἰ δὲ καὶ δαιμόνια νομίζω, καὶ δαίμονας ὅπου πολλὴ ἀνάγκη νομίζειν με ἐστίν. Οὐχ οὕτως ἔχει; — Ἔχει δή. (Τίθημι γάρ σε ὁμολογοῦντα, ἐπειδὴ οὐκ ἀποκρίνῃ). Τοὺς δὲ δαίμονας οὐχὶ ἢ τοι θεούς γε ἡγούμεθα εἶναι, ἢ θεῶν παῖδας; Φῄς, ἢ οὔ; — Πάνυ γε. — Οὐκοῦν εἴπερ δαίμονας ἡγοῦμαι, ὡς σὺ φῄς, εἰ μὲν θεοί τινές εἰσιν οἱ δαίμονες, τοῦτ' ἂν εἴη ὃ ἐγὼ φημί σε αἰνίττεσθαι καὶ χαριεντίζεσθαι, θεοὺς οὐχ ἡγούμενον φάναι με θεοὺς αὖ ἡγεῖσθαι πάλιν[101], ἐπειδήπερ γε δαίμονας ἡγοῦμαι· εἰ δ' αὖ οἱ δαίμονες θεῶν παῖδές εἰσι νόθοι τινές, ἢ ἐκ Νυμφῶν, ἢ ἔκ τινων ἄλλων[102], ὧν δὴ καὶ λέγονται, τίς ἂν ἀνθρώπων θεῶν μὲν παῖδας ἡγοῖτο εἶναι, θεοὺς δὲ μή; Ὁμοίως γὰρ ἂν ἄτοπον εἴη, ὥσπερ ἂν εἴ τις ἵππων μὲν παῖδας ἡγοῖτο ἢ καὶ ὄνων, τοὺς ἡμιόνους, ἵππους δὲ καὶ ὄνους μὴ ἡγοῖτο εἶναι. Ἀλλ', ὦ Μέλιτε, οὐκ ἔστιν ὅπως σὺ ταῦτα[103] οὐχὶ ἀποπειρώμενος ἡμῶν ἐγράψω τὴν γραφὴν ταύτην, ἢ ἀπορῶν ὅ,τι ἐγκαλοῖς ἐμοὶ ἀληθὲς ἀδίκημα. Ὅπως[104] δὲ σύ τινα πείθοις ἂν καὶ σμικρὸν νοῦν ἔχοντα ἀνθρώπων, ὡς τοῦ αὐτοῦ ἀνδρός ἐστι καὶ δαιμόνια καὶ θεῖα ἡγεῖσθαι, καὶ αὖ τοῦ αὐτοῦ, μήτε δαίμονας μήτε θεοὺς μήτε ἥρωας, οὐδεμία μηχανή ἐστιν. Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μὲν ἐγὼ οὐκ ἀδικῶ κατὰ τὴν Μελίτου γραφήν, οὐ πολλῆς μοι δοκεῖ εἶναι[105] ἀπολογίας· ἀλλὰ ἱκανὰ καὶ ταῦτα.

Ὃ δὲ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι πολλή μοι ἀπέχθεια γέγονε καὶ πρὸς πολλούς, εὖ ἴστε ὅτι ἀληθές ἐστι. Καὶ τοῦτ' ἔστιν ὃ ἐμὲ αἱρήσει, ἐάν περ αἱρῇ, οὐ Μέλιτος οὐδὲ Ἄνυτος, ἀλλ' ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος· ἃ δὴ πολλοὺς καὶ ἄλλους καὶ[106] ἀγαθοὺς ἄνδρας ἥρηκεν, οἶμαι δὲ καὶ αἱρήσει· οὐδὲν δὲ δεινὸν μὴ ἐν ἐμοὶ στῇ[107]. Ἴσως δ' ἂν εἴποι τις· Εἶτ' οὐκ αἰσχύνῃ, ὦ Σώκρατες, τοιοῦτον ἐπιτήδευμα ἐπιτηδεύσας, ἐξ οὗ κινδυνεύεις νυνὶ ἀποθανεῖν; Ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λόγον ἀντείποιμι. Ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι[108] ἄνδρα ὅτου τι καὶ σμικρὸν ὄφελός ἐστιν· ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅ,τι ἂν πράττῃ, πότερον δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ. Φαῦλοι γὰρ ἂν, τῷ γε σῷ λόγῳ, εἶεν τῶν ἡμιθέων ὅσοι ἐν Τροίᾳ τετελευτήκασιν, οἵτε ἄλλοι καὶ ὁ τῆς Θέτιδος υἱός· ὃς τοσοῦτον τοῦ κινδύνου κατεφρόνησε, παρὰ τὸ αἰσχρόν τι ὑπομεῖναι, ὥστε, ἐπειδὴ εἶπεν ἡ μήτηρ αὐτῷ προθυμουμένῳ Ἕκτορα ἀποκτεῖναι, θεὸς οὖσα, οὑτωσί πως, ὡς ἐγὼ οἶμαι· Ὦ παῖ, εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον, καὶ Ἕκτορα ἀποκτενεῖς, αὐτὸς ἀποθανῇ· « Αὐτίκα γάρ τοι, φησί, μετ' Ἕκτορα πότμος ἑτοῖμος[109] » ὁ δὲ, τοῦτ' ἀκούσας, τοῦ μὲν θανάτου καὶ τοῦ κινδύνου ὠλιγώρησε, πολὺ δὲ μᾶλλον δείσας τὸ ζῆν κακὸς ὢν, καὶ τοῖς φίλοις μὴ τιμωρεῖν, Αὐτίκα, φησί, τεθναίην, τὴν δίκην ἐπιθεὶς τῷ ἀδικοῦντι,

---

100) Ἴδε περὶ τούτων τὰ Λεξικά. 101) Τὸ φάναι με, θεοὺς οὐχ ἡγούμενον, θεοὺς αὖ ἡγεῖσθαι πάλιν, τοῦτ' ἂν εἴη ὃ κτλ., τὸ δὲ Αὖ πάλιν, ἐκ παραλλήλου. 102) Θνητῶν γυναικῶν δηλονότι. 103) Τὸ ταῦτα ἐλλειπτικῶς προθέσεως εἰς τὸ Ἀποπειρώμενος. 104) Τὸ Ὅπως ἀντὶ τοῦ Πῶς. 105) Ἔργον. 106) Ὁ δεύτερος οὗτος Καὶ συνάπτει τὸ Πολλοὺς πρὸς τὸ Ἀγαθούς. 107) Ἀττικῶς τὸ Ἐνὸν Στῇ ἔχει συνυπακουομένου ὑποκειμένου τὸ πληθυντικὸν Ταῦτα ἅ. 108) Τὸν τοῦ ζῆν ἢ τεθνάναι κίνδυνον ὑφορᾶν. 109) Ἰλ. Σ. 96.

ἵνα μὴ ἐνθάδε μένω καταγέλαστος παρὰ νηυσὶ κορωνίσιν, ἄχθος ἀρούρης. Μὴ αὐτὸν οἴει φροντίσαι θανάτου καὶ κινδύνου; Οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀληθείᾳ· οὗ ἂν τις ἑαυτὸν τάξῃ, ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπὸ ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, μήτε θάνατον, μήτε ἄλλο τι μηδὲν πρὸ τοῦ αἰσχροῦ.

Ἐγὼ οὖν δεινὰ ἂν εἶην εἰργασμένος, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ὅτε μέν με οἱ ἄρχοντες[110] ἔταττον, οὓς ὑμεῖς εἵλεσθε ἄρχειν μου, καὶ ἐν Ποτιδαίᾳ, καὶ ἐν Ἀμφιπόλει, καὶ ἐπὶ Δηλίῳ, τότε μὲν οὐ ἐκεῖνοι ἔταττον, ἔμενον ὥσπερ καὶ ἄλλος τις, καὶ ἐκινδύνευον ἀποθανεῖν· τοῦ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με δεῖν ζῆν, καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα δὴ[111] φοβηθείς, ἢ θάνατον, ἢ ἄλλο ὁτιοῦν πρᾶγμα, λείποιμι[112] τὴν τάξιν. Δεινὸν μέντ' ἂν εἴη, καὶ ὡς ἀληθῶς τότ' ἄν με δικαίως εἰσάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι, ἀπειθῶν τῇ μαντείᾳ, καὶ δεδιὼς θάνατον, καὶ οἰόμενος σοφὸς εἶναι οὐκ ὤν. Τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι, μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. Οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον, οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν δεδιάσι δ', ὡς εὖ εἰδότες ὅτι μέγιστον τῶν κακῶν ἐστι. Καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη[113] ἡ ἐπονειδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; Ἐγὼ δὲ, ὦ ἄνδρες, τούτῳ[114] καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων· καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν[115], ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου, οὕτω καὶ οἶομαι οὐκ εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ τὸ ἀπειθεῖν τῷ βελτίονι καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα. Πρὸ οὖν τῶν κακῶν ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φοβήσομαι, οὐδὲ φεύξομαι. Ὥστε οὐδὲ εἴ με νῦν ὑμεῖς ἀφίετε, Ἀνύτῳ ἀπιστήσαντες, ὃς ἔφη ἢ τὴν ἀρχὴν οὐ δεῖν ἐμὲ δεῦρο εἰσελθεῖν, ἢ ἐπειδὴ εἰσῆλθον οὐχ οἷόν τ' εἶναι τὸ μὴ ἀποκτεῖναί με λέγων πρὸς ὑμᾶς, ὡς εἰ διαφευξοίμην, ἤδη ἂν ὑμῶν οἱ υἱεῖς ἐπιτηδεύοντες ἃ Σωκράτης διδάσκει, πάντες παντάπασι διαφθαρήσοιντο· εἰ μοι πρὸς ταῦτα εἴποιτε, Ὦ Σώκρατες, νῦν μέν Ἀνύτῳ οὐ πεισόμεθα, ἀλλ' ἀφιεμέν σε, ἐπὶ τούτῳ μέντοι, ἐφ' ᾧτε μηκέτι ἐν ταύτῃ τῇ ζητήσει διατρίβειν, μηδὲ φιλοσοφεῖν· ἐὰν δὲ ἁλῷς ἔτι τοῦτο πράττων, ἀποθανῇ· εἰ οὖν με, ὅπερ εἶπον, ἐπὶ τούτοις ἀφίοιτε, εἴποιμ' ἂν ὑμῖν· Ὅτι ἐγὼ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἀσπάζομαι μὲν καὶ φιλῶ, πείσομαι δὲ τῷ θεῷ μᾶλλον ἢ ὑμῖν[116]· καὶ ἕωσπερ ἂν ἐμπνέω καὶ οἷός τε ὦ, οὐ μὴ παύσομαι φιλοσοφῶν, καὶ ὑμῖν παρακελευόμενός τε καὶ ἐνδεικνύμενος ὅτῳ ἂν ἀεὶ ἐντυγ-

---

110) Οὗτοι ἦσαν οἱ στρατηγοὶ Καλλίας, Κλέων καὶ Ἱπποκράτης. Τὴν ἀνδρίαν δὲ τοῦ Σωκράτους εἰς ταύτας τὰς τρεῖς μάχας διηγοῦνται ὅλοι τῶν τότε συμβάντων οἱ ἱστορικοί. 111) Ὁ Δὲ ἐμφαντικὸς ἀντὶ τοῦ Δή. 112) Κατ' εὐκτικὴν τοῦτο, καθὸ ὑποθετικόν· ἐνῷ τὸ Ἔμενον, ὡς βέβαιον, καθ' ὁριστικήν, καίτοι ἀπὸ τοῦ αὐτοῦ μορίου ἀμφότερα τοῦ Εἰ. 113) Τὸ Αὕτη ἡ ἐπονειδ., ὡς ἐπεξήγησις προσδιοριστικὴ τοῦ Ἀμαθία.

114) Ὅ ἐρεῖ παρακατιών, ὅτι οὐκ εἰδὼς ἱκανῶς κτλ. 115) Φαίην εἶναι. 116) Ἀπαράλλακτα ἀπεκρίθησαν καὶ οἱ Ἀπόστολοι εἰς τοὺς Ἰουδαίους, ὅταν τοὺς παρήγγελλον Μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ (τῷ τοῦ Χριστοῦ): α Πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις.

χάνω ὑμῶν, λέγων οἷά περ εἴωθα· Ὅτι, ὦ ἄριστε ἀνδρῶν, Ἀθηναῖος ὤν, πόλεως τῆς μεγίστης καὶ εὐδοκιμωτάτης εἰς σοφίαν καὶ ἰσχύν, χρημάτων μὲν οὐκ αἰσχύνῃ ἐπιμελούμενος, ὅπως σοι ἔσται ὡς πλεῖστα, καὶ δόξης καὶ τιμῆς, φρονήσεως δὲ καὶ ἀληθείας, καὶ τῆς ψυχῆς ὅπως ὡς βελτίστη ἔσται, οὐκ ἐπιμελῇ, οὐδὲ φροντίζεις; καὶ ἐάν τις ὑμῶν ἀμφισβητήσῃ, καὶ φῇ ἐπιμελεῖσθαι, οὐκ εὐθὺς ἀφήσω αὐτὸν, οὐδ' ἄπειμι, ἀλλ' ἐρήσομαι αὐτὸν καὶ ἐξετάσω καὶ ἐλέγξω· καὶ ἐάν μοι μὴ δοκῇ κεκτῆσθαι ἀρετὴν, φάναι δὲ[117], ὀνειδιῶ, ὅτι τὰ πλείστου ἄξια περὶ ἐλαχίστου ποιεῖται, τὰ δὲ φαυλότερα, περὶ πλείονος. Ταῦτα καὶ νεωτέρῳ καὶ πρεσβυτέρῳ ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω, καὶ ξένῳ καὶ ἀστῷ· μᾶλλον δὲ τοῖς ἀστοῖς, ὅσῳ μοι ἐγγυτέρω ἐστὲ γένει. Ταῦτα γὰρ κελεύει ὁ θεός, εὖ ἴστε· καὶ ἐγὼ οἶμαι οὐδέν πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν. Οὐδὲν γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι ἢ πείθων ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους μήτε σωμάτων ἐπιμελεῖσθαι, μήτε χρημάτων πρότερον, μήτε ἄλλου τινὸς οὕτω σφόδρα, ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται· λέγων ὅτι οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς τὰ χρήματα, καὶ τἆλλα τἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα, καὶ ἰδίᾳ καὶ δημοσίᾳ. Εἰ μὲν οὖν ταῦτα λέγων διαφθείρω τοὺς νέους, ταῦτα ἂν εἴη βλαβερά· εἰ δέ τίς μέ φησιν ἄλλα λέγειν ἢ ταῦτα, οὐδὲν λέγει. Πρὸς ταῦτα[118] φαίην ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, ἢ πείθεσθε Ἀνύτῳ, ἢ μή, καὶ ἢ ἀφίετέ με ἢ μή· ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα, οὐδ' εἰ μέλλω πολλάκις τεθνάναι.

Μὴ θορυβεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλὰ ἐμμείνατέ μοι οἷς ἐδεήθην ὑμῶν, μὴ θορυβεῖν ἐφ' οἷς ἂν λέγω, ἀλλ' ἀκούειν. καὶ γάρ, ὡς ἐγὼ οἶμαι, ὀνήσεσθε ἀκούοντες. Μέλλω γὰρ οὖν ἄττα ἐρεῖν ὑμῖν καὶ ἄλλα, ἐφ' οἷς ἴσως βοήσεσθε· ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. Εὖ γὰρ ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε, τοιοῦτον ὄντα οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς αὐτούς. Ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλιτος, οὔτε Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιντο. Οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. Ἀποκτείνοιεν μέντ' ἂν ἴσως ἢ ἐξετάσειεν ἢ ἀτιμάσειεν· ἀλλὰ ταῦτα οὗτος ἴσως οἴεται καὶ ἄλλος τίς που μεγάλα κακά· ἐγὼ δὲ οὐκ οἶομαι, ἀλλὰ πολὺ μᾶλλον ποιεῖν ἃ οὗτος νῦν ποιεῖ, ἄνδρα ἀδίκως ἐπιχειρεῖν ἀποκτιννύναι. Νῦν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοῦ δέω ἐγὼ ὑπὲρ ἐμαυτοῦ ἀπολογεῖσθαι, ὡς τις ἂν οἴοιτο, ἀλλ' ὑπὲρ ὑμῶν, μὴ ἐξαμάρτητε περὶ τὴν τοῦ θεοῦ δόσιν ὑμῖν[119], ἐμοῦ καταψηφισάμενοι. Ἐὰν γάρ με ἀποκτείνητε, οὐ ῥᾳδίως ἄλλον τοιοῦτον εὑρήσετε, ἀτεχνῶς (εἰ καὶ γελοιότερον[120] εἰπεῖν) προσκείμενον τῇ πόλει ὑπὸ τοῦ θεοῦ, ὥσπερ ἵππῳ μεγάλῳ μὲν καὶ γενναίῳ, ὑπὸ μεγέθους δὲ νωθεστέρῳ, καὶ δεομένῳ ἐγείρεσθαι ὑπό μύωπός τινος· οἷον δή μοι δοκεῖ ὁ θεὸς ἐμὲ τῇ πόλει προστεθεικέναι τοιοῦτόν τινα, ὃς ὑμᾶς ἐγείρων καὶ

---

117) Κεκτῆσθαι. 118) Ἐπὶ τῇ βάσει τούτων, ὧν εἶπον. 119) Ἡ δοτικὴ συντακτικὴ τοῦ Δόσιν, καθὼς καὶ ἀνωτέρω εἶπε: Τὴν ἐμὴν τῷ Θεῷ ὑπηρεσίαν. Πολλάκις γὰρ τὰ ὀνόματα συντάσσονται ὁμοιοπτώτως τοῖς ῥήμασιν ἀφ' ὧν παράγονται. 120) Διότι παραβάλλει ἑαυτὸν μὲν μύωπι (ἀλογόμυιᾳ), τὴν δὲ πόλιν ἵππῳ. Αἱ δὲ λέξεις Προσκείμενον, Προστεθειμέναι, Προσκαθίζων, ὅλαι προσφυεῖς εἰς τὸ ἔντομον τοῦτο, καθὼς καὶ τὸ Κρούσαντες, μὲ ἓν κτύπημα μονον τῆς χειρὸς εἰμπορεῖτε νὰ μὲ φονεύσετε.

πείθων, καὶ ἀνειδίζων ἕνα ἕκαστον, οὐδὲν πώποτε τὴν ἡμέραν ὅλην πανταχοῦ προσκαθίζων τοιοῦτος οὖν ἄλλος οὐ ῥᾳδίως ὑμῖν γενήσεται, ὦ ἄνδρες. Ἀλλ' ἐὰν ἐμοὶ πείθησθε, φείσεσθέ μου. Ὑμεῖς δ' ἴσως τάχ' ἂν ἀχθόμενοι, ὥσπερ οἱ νυστάζοντες ἐγειρόμενοι, κρούσαντες ἂν με, πειθόμενοι Ἀνύτῳ, ῥᾳδίως ἂν ἀποκτείναιτε· εἶτα τὸν λοιπὸν χρόνον καθεύδοντες διατελοῖτε ἄν, εἰ μή τινα ἄλλον ὑμῖν ὁ θεὸς ἐπιπέμψειε, κηδόμενος ὑμῶν. Ὅτι δ' ἐγὼ τυγχάνω ὢν τοιοῦτος οἷος ὑπὸ τοῦ θεοῦ τῇ πόλει δεδόσθαι, ἐνθένδε ἂν καταμάθοιτε. οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ τῶν μὲν ἐμαυτοῦ ἀπάντων ἠμεληκέναι, καὶ ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων τοσαῦτα ἤδη ἔτη, τὸ δὲ ὑμέτερον[121] πράττειν ἀεί, ἰδίᾳ ἑκάστῳ προσιόντα, ὥσπερ πατέρα ἢ ἀδελφὸν πρεσβύτερον, πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς. Καὶ εἰ μέντοι τι ἀπὸ τούτων ἀπέλαυον, καὶ μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην, εἶχεν ἄν τινα λόγον· νῦν δὲ ὁράτε δὴ καὶ αὐτοί, ὅτι οἱ κατήγοροι, τἆλλα πάντα οὕτως ἀναισχύντως κατηγοροῦντες, τοῦτό γε οὐχ οἷοί τ' ἐγένοντο ἀπαναισχυντῆσαι, παρασχόμενοι μάρτυρα, ὡς ἐγὼ ποτέ τινα ἢ ἐπραξάμην μισθὸν ἢ ᾔτησα. Ἱκανόν γάρ, οἶμαι, ἐγὼ παρέχομαι τὸν μάρτυρα ὡς ἀληθῆ λέγω, τὴν πενίαν.

Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι, ὅτι δὴ ἐγὼ ἰδίᾳ μὲν ταῦτα ξυμβουλεύω περιὼν καὶ πολυπραγμονῶν, δημοσίᾳ δὲ οὐ τολμῶ ἀναβαίνων εἰς τὸ πλῆθος τὸ ὑμέτερον ξυμβουλεύειν τῇ πόλει. Τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοί θεῖόν τι καὶ δαιμόνιον γίγνεται [φωνή] ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλητος ἐγράψατο. Ἐμοὶ δὲ τοῦτό ἐστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη· ἣ ὅταν γένηται, ἀεί ἀποτρέπει με τούτου ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε. Τοῦτό ἐστιν ὅ μοι ἐναντιοῦται, τὰ πολιτικὰ πράττειν. Καὶ παγκάλως δέ μοι δοκεῖ ἐναντιοῦσθαι. Εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ πάλαι ἐπεχείρησα πράττειν τὰ πολιτικὰ πράγματα, πάλαι ἂν ἀπολώλειν, καὶ οὔτ' ἂν ὑμᾶς ὠφελήκειν οὐδέν, οὔτ' ἂν ἐμαυτόν. Καί μοι μὴ ἄχθεσθε λέγοντι τἀληθῆ. Οὐ γάρ ἐστιν ὅστις ἀνθρώπων σωθήσεται, οὔτε ὑμῖν οὔτε ἄλλῳ οὐδενὶ πλήθει γνήσιος ἐναντιούμενος, καὶ διακωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι· ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν.

Μεγάλα δ' ἔγωγε ὑμῖν τεκμήρια παρέξομαι τούτων, οὐ λόγους, ἀλλ', ὃ ὑμεῖς τιμᾶτε, ἔργα. Ἀκούσατε δή μοι τὰ ξυμβεβηκότα, ἵνα εἰδῆτε ὅτι οὐδ' ἂν ἑνὶ ὑπεικάθοιμι παρὰ τὸ δέον δείσας θάνατον· μὴ ὑπείκων δὲ ἅμα καὶ ἅμ'[122] ἂν ἀπολοίμην. Ἐρῶ δὲ ὑμῖν φορτικὰ μὲν καὶ δικανικά[123], ἀληθῆ δὲ. Ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἄλλην μὲν ἀρχὴν οὐδεμίαν πώποτε ἦρξα ἐν τῇ πόλει, ἐβούλευσα[124] δὲ· καὶ ἔτυχεν ἡμῶν ἡ φυλὴ Ἀντιοχὶς πρυτα-

---

[121]) Ἔργον. [122]) Τὸ ἅμα ἐπαναλαμβανόμενον δηλοῖ τὸ ἄμεσον τοῦ ὀλέθρου.

[123]) Καὶ ὁ Λουκιανὸς εἰς τὸ Ἐνύπνιον ἡνωσε τὰς δύο ταύτας λέξεις, τῶν ὁποίων ἡ δευτέρα σημαίνει κυρίως τὸ μεγαλοποιεῖν καὶ τὰ παραμικρότερα, κατὰ τὸν τρόπον τῶν δικηγόρων.

[124]) Ἐχρημάτισα βουλευτής.

νεύουσα[126], ὅτε ὑμεῖς τοὺς δέκα στρατηγοὺς, τοὺς οὐκ ἀνελομένους[127] τοὺς ἐκ τῆς ναυμαχίας[128], ἐβουλεύσασθε ἀθρόους κρίνειν[127a], παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ χρόνῳ πᾶσιν ὑμῖν ἔδοξε[128]. Τότ' ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην ὑμῖν μηδὲν ποιεῖν παρὰ τοὺς νόμους, καὶ ἐναντία ἐψηφισάμην· καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι με[129] καὶ ὑπάγειν τῶν ῥητόρων, καὶ ὑμῶν κελευόντων καὶ βοώντων, μετὰ τοῦ νόμου καὶ τοῦ δικαίου ὤμην μᾶλλόν με δεῖν διακινδυνεύειν, ἢ μεθ' ὑμῶν γενέσθαι μὴ δίκαια βουλευομένων, φοβηθέντα δεσμὸν ἢ θάνατον. Καὶ ταῦτα μὲν ἦν ἔτι δημοκρατουμένης τῆς πόλεως· ἐπειδὴ δὲ ὀλιγαρχία ἐγένετο, οἱ Τριάκοντα αὖ μεταπεμψάμενοί με πέμπτον αὐτὸν εἰς τὴν Θόλον[130] προσέταξαν ἀγαγεῖν ἐκ Σαλαμῖνος Λέοντα τὸν Σαλαμίνιον[131], ἵνα ἀποθάνοι, οἷα δὴ καὶ ἄλλοις ἐκεῖνοι πολλοῖς πολλὰ προσέταττον, βουλόμενοι ὡς πλείστους ἀναπλῆσαι αἰτιῶν[132]. Τότε μέντοι ἐγὼ οὐ λόγῳ ἀλλ' ἔργῳ αὖ ἐνεδειξάμην, ὅτι ἐμοὶ μὲν θανάτου μέλει (εἰ μὴ ἀγροικότερον ἦν εἰπεῖν[133]) οὐδὲ ὀτιοῦν· τοῦ δὲ μηδὲν ἄδικον μηδ' ἀνόσιον ἐργάζεσθαι, τούτου δὲ τὸ πᾶν μέλει. Ἐμὲ γὰρ ἐκείνη ἡ ἀρχὴ[134] οὐκ ἐξέπληξεν οὕτως ἰσχυρὰ οὖσα, ὥστε ἄδικόν τι ἐργάσασθαι· ἀλλ' ἐπειδὴ ἐκ τῆς Θόλου ἐξήλθομεν, οἱ μὲν τέτταρες ᾠχοντο εἰς Σαλαμῖνα καὶ ἦγαγον Λέοντα, ἐγὼ δὲ ᾠχόμην ἀπιὼν οἴκαδε. Καὶ ἴσως ἂν διὰ ταῦτα ἀπέθανον, εἰ μὴ ἡ ἀρχὴ διὰ ταχέων κατελύθη[135]. Καὶ τούτων ὑμῖν ἔσονται πολλοὶ μάρτυρες.

Ἆρ' οὖν με οἴεσθε τοσάδε ἔτη διαγενέσθαι, εἰ ἔπραττον τὰ δημόσια, καὶ, πράττων ἀξίως ἀνδρὸς ἀγαθοῦ, ἐβοήθουν τοῖς δικαίοις καὶ, ὥσπερ χρή, τοῦτο περὶ πλείστου ἐποιούμην; Πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι· οὐδὲ γὰρ ἂν ἄλλος ἀνθρώπων οὐδείς[136]. Ἀλλ' ἐγὼ διὰ παντὸς τοῦ βίου, δημοσίᾳ τε εἴ πού τι ἔπραξα, τοιοῦτος φανοῦμαι, καὶ ἰδίᾳ ὁ αὐτὸς οὗτος, οὐδενὶ πώποτε ξυγχωρήσας οὐδὲν παρὰ τὸ δίκαιον οὔτε ἄλλῳ οὔτε τούτων οὐδενί, οὓς δὴ οἱ διαβάλλοντες ἐμέ φασιν ἐμοὺς μαθητὰς εἶναι· ἐγὼ δὲ διδάσκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἰ δέ τις ἐμοῦ λέγοντος, καὶ τὰ ἐμαυτοῦ πράττοντος, ἐπιθυμεῖ ἀκούειν, εἴτε νεώτερος, εἴτε πρεσβύτερος, οὐδενὶ πώποτε ἐφθόνησα. Οὐδὲ χρήματα μὲν λαμβάνων διαλέγομαι, μὴ λαμβάνων δέ, οὔ· ἀλλ' ὁμοίως καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾶν· καὶ ἐάν τις βούληται, ἀποκρινόμενος ἀκούει ὧν ἂν λέγω· καὶ τούτων ἐγὼ, εἴτε τις χρηστὸς γίγνεται, εἴτε μή, οὐκ ἂν δικαίως τὴν αἰτίαν ὑπέχοιμι, ὧν μήτε ὑπεσχόμην μηδενὶ[137] μηδὲν πώποτε μάθημα, μήτε ἐδίδαξα. Εἴ δέ τίς

---

[126]) Ἴδε τὰ Λεξικά. [127]) Ἡ λέξις κυρίως ἐπὶ τῶν ἀποθνησκόντων εἰς τὰς μάχας, τοὺς ὁποίους ἦτον ἔγκλημα νὰ ἐγκαταλείψωσιν ἀπάφους. [127a]) Τῆς ἐν Ἀργινούσαις, ἴδε τὸν Ξενοφῶντα κτλ. [128]) Τοῦτο ὁ Ξενοφῶν (Ἑλλην. Α'. 7.) ἐκφράζει διὰ τοῦ « μιᾷ ψήφῳ ἅπαντας κρίνειν, καὶ « οὐ δίχα ἕκαστον ». [129]) Τὸ ἴδιον λέγει καὶ ὁ Ξενοφῶν: « Καὶ οὐ πολλῷ χρόνῳ ὕστερον μετέμελε τοῖς Ἀθηναίοις ». [129]) Ἴδε τὰ Λεξικά. [130]) Εἰς τὸ Πρυτανεῖον. [131]) Πλούσιος μετοικήσας ἐκ Σαλαμῖνος εἰς Ἀθήνας, καὶ φυγὼν πάλιν ἐκεῖ ἐπὶ τῶν 30. [132]) Αὐτὸ εἶνε τὸ Γαλλ. **compromettre**. [133]) Διότι ἡ καύχησις ἐν γίνει καὶ περιαυτολογία ὑποθέτει ἔλλειψιν ἀναστροφῆς. [134]) Ἡ τῶν 30. [135]) Τέσσαρα μόνα ἔτη διῆρκεσεν ἡ ἀρχὴ τῶν 30. [136]) (Ἔνν.) Διεγένετο ταῦτα ποιῶν. [137]) Τούτων .... ὧν μηδενὶ πώποτε μήτε ὑπεσχόμην διδάξαι, μήτε ἐδίδαξα: Ἡ δοτικὴ, ἀποδιδομένη εἰς τὸ Ὑπεσχόμην, φέρεται καὶ πρὸς τὸ Ἐδίδαξα, ἀλλὰ κατ' αἰτιατικήν: σχῆμα λόγου σύνηθες.

φησι παρ' ἐμοῦ πώποτε ἢ μαθεῖν ἢ ἀκοῦσαι ἰδίᾳ ὅ,τι μὴ καὶ οἱ ἄλλοι πάντες, εὖ ἴστε ὅτι οὐκ ἀληθῆ λέγει.

Ἀλλὰ τί δήποτε μετ' ἐμοῦ χαίρουσί τινες πολὺν χρόνον διατρίβοντες, ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι· πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐγὼ εἶπον, ὅτι ἀκούοντες χαίρουσιν ἐξεταζομένοις[138] τοῖς οἰομένοις μὲν εἶναι σοφοῖς, οὖσι δ' οὔ· ἔστι γὰρ οὐκ ἀηδές. Ἐμοὶ δὲ τοῦτο, ὡς ἐγὼ φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ πράττειν, καὶ ἐκ μαντείων[139], καὶ ἐξ ἐνυπνίων, καὶ παντὶ τρόπῳ ὅπερ τίς ποτε καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν[140] προσέταξε πράττειν. Ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀληθῆ ἐστι καὶ εὐεξέλεγκτα. Εἰ γὰρ ὃν ἐγὼ τῶν νεωτέρων τοὺς μὲν διαφθείρω, τοὺς δὲ διέφθαρκα, χρὴ δήπου, εἴγε τινὲς αὐτῶν πρεσβύτεροι γενόμενοι ἔγνωσαν ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακόν ποτέ τι ξυνεβούλευσα, νυνὶ αὐτοὺς ἀναβαίνοντας ἐμοῦ κατηγορεῖν καὶ τιμωρεῖσθαι· εἰ δὲ μὴ αὐτοὶ ἤθελον, τῶν οἰκείων τινὰς τῶν ἐκείνων, πατέρας καὶ ἀδελφοὺς καὶ ἄλλους τοὺς προσήκοντας, εἴπερ ὑπ' ἐμοῦ κακόν τι ἐπεπόνθεισαν οἱ οἰκεῖοι αὐτῶν, νῦν μεμνῆσθαι καὶ τιμωρεῖσθαι. Πάντως δὲ πάρεισι πολλοὶ αὐτῶν ἐνταυθοῖ, οὓς ἐγὼ ὁρῶ· πρῶτον μὲν Κρίτων οὑτοσί, ἐμὸς ἡλικιώτης καὶ δημότης, Κριτοβούλου τοῦδε πατήρ· ἔπειτα Λυσανίας ὁ Σφήττιος, Αἰσχίνου τούτου πατήρ· ἔτι δ' Ἀντιφῶν ὁ Κηφισιεὺς οὑτοσί, Ἐπιγένους πατήρ· ἄλλοι τοίνυν οὗτοι, ὧν οἱ ἀδελφοὶ ἐν ταύτῃ τῇ διατριβῇ[141] γεγόνασι, Νικόστρατος ὁ Ζωτίδου, ἀδελφὸς Θεοδότου (καὶ ὁ μὲν[142] Θεόδοτος τετελεύτηκεν, ὥστε οὐκ ἂν ἐκεῖνός γε αὐτοῦ καταδεηθείη)· καὶ Πάραλος ὅδε ὁ Δημοδόκου, οὗ ἦν Θεάγης ἀδελφός· ὅδε τε Ἀδείμαντος ὁ Ἀρίστωνος, οὗ ἀδελφὸς οὑτοσὶ Πλάτων· καὶ Αἰαντόδωρος, οὗ Ἀπολλόδωρος ἀδελφός· καὶ ἄλλους πολλοὺς ἔγωγ' ἔχω ὑμῖν εἰπεῖν, ὧν τινα ἐχρῆν μάλιστα μὲν ἐν τῷ ἑαυτοῦ λόγῳ παρέχεσθαι Μέλιτον μάρτυρα[143]· εἰ δὲ τότε ἐπελάθετο, νῦν παρασχέσθω (ἐγὼ παραχωρῶ[144]), καὶ λεγέτω εἴ τι ἔχει τοιοῦτον. Ἀλλὰ τούτου πᾶν τοὐναντίον, εὑρήσετε, ὦ ἄνδρες, πάντας ἐμοὶ βοηθεῖν ἑτοίμους, τῷ διαφθείροντι, τῷ κακὰ ἐργαζομένῳ τοὺς οἰκείους αὐτῶν, ὡς φασι Μέλιτος καὶ Ἄνυτος. Αὐτοὶ μὲν γὰρ οἱ διεφθαρμένοι τάχ' ἂν λόγον ἔχοιεν βοηθοῦντες· οἱ δὲ ἀδιάφθαρτοι, πρεσβύτεροι ἤδη ἄνδρες, οἱ τούτων προσήκοντες, τίνα ἄλλον λόγον ἔχουσι βοηθοῦντες ἐμοί, ἀλλ' ἢ τὸν ὀρθόν τε καὶ δίκαιον, ὃν[145] ξυνίσασι Μελίτῳ μὲν ψευδομένῳ, ἐμοὶ δὲ ἀληθῆ λέγοντι; Εἶεν δή, ὦ ἄνδρες· ἃ μὲν ἐγὼ ἔχοιμ' ἂν ἀπολογεῖσθαι, σχεδόν τί ἐστι ταῦτα, καὶ ἄλλα ἴσως τοιαῦτα.

Τάχα δ' ἄν τις ὑμῶν ἀγανακτήσειεν, ἀναμιμνησθεὶς ἑαυτοῦ, εἰ ὁ μὲν καὶ ἐλάττω τουτουὶ τοῦ ἀγῶνος ἀγῶνα ἀγωνιζόμενος δεδέηταί τε καὶ ἱκέτευσε[146] τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων, παιδία τε αὐτοῦ ἀναβιβασάμε-

---

138) Ἡ δοτικὴ ἐλλειπτικὴ προθέσεως διὰ τὸ Χαίρουσι. 139) Ἄλλων παρὰ τὴν τοῦ Ἀπόλλωνος. 140) Ὁ Καὶ, ἐνδοτικός· ἔστω καὶ ὁτιδήποτε· ἡ ἐπιτατικὸς τῆς ἀοριστίας.
141) Τῇ μετ' ἐμοῦ. 142) Ὁ Μὲν ἀναπόδοτος· ἐννοεῖται δέ· οἱ δὲ λοιποὶ ζῶσι.
143) Ἡ αἰτιατικὴ Τινὰ ἐκ τρίτου τοῦ παρέχεσθαι, Μέλιτον δ' ἐκ πρώτου, καὶ Μάρτυρα ἐκ τετάρτου. 144) Αὐτῷ τοῦ ἐμοῦ ὕδατος. 145) Καθ' ὃν ἡ Περὶ ὃν. 146) Τὰ παρακλήσεως σημαντικὰ ῥήματα ἐκ παραλλήλου πολλάκις παρὰ τοῖς ἀττικοῖς ῥήτορσι.

νος, ἵνα ὅτι μάλιστα ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλους πολλούς· ἐγὼ δὲ οὐδὲν ἄρα τούτων ποιήσω, καὶ ταῦτα, κινδυνεύων, ὡς ἂν δόξαιμι[147], τὸν ἔσχατον κίνδυνον. Τάχ' ἂν οὖν τις ταῦτα ἐννοήσας, αὐθαδέστερον ἂν πρός με σχοίη, καὶ ὀργισθεὶς αὐτοῖς τούτοις, θεῖτο ἂν μετ' ὀργῆς τὴν ψῆφον. Εἰ δή τις ὑμῶν οὕτως ἔχει (οὐκ ἀξιῶ μὲν ἔγωγε, εἰ δ' οὖν[148]), ἐπιεικῆ ἂν μοι δοκῶ πρὸς τοῦτον λέγειν, λέγων, ὅτι Ἐμοί, ὦ ἄριστε, εἰσί μέν πού τινες καὶ οἰκεῖοι. καὶ γάρ, τοῦτο αὐτὸ τὸ τοῦ Ὁμήρου, οὐδ' ἐγὼ ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης[149] πέφυκα, ἀλλ' ἐξ ἀνθρώπων· ὥστε καὶ οἰκεῖοί μοί εἰσι, καὶ υἱεῖς γε, ὦ ἄνδρες Ἀθηναῖοι, τρεῖς[150]· εἷς μὲν μειράκιον ἤδη· δύο δὲ παιδία· ἀλλ' ὅμως οὐδένα αὐτῶν δεῦρο ἀναβιβασάμενος, δεήσομαι ὑμῶν ἀποψηφίσασθαι. Τί δή, οὖν οὐδὲν τούτων ποιήσω; οὐκ αὐθαδιαζόμενος, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' ὑμᾶς ἀτιμάζων· ἀλλ' εἰ μὲν θαρραλέως ἐγὼ ἔχω πρὸς θάνατον, ἢ μή, ἄλλος λόγος· πρὸς δ' οὖν δόξαν καὶ ἐμοί, καὶ ὑμῖν, καὶ ὅλως τῇ πόλει, οὔ μοι δοκεῖ καλὸν εἶναι ἐμὲ τούτων οὐδὲν ποιεῖν, καὶ τηλικόνδε[151] ὄντα, καὶ τοῦτο τοὔνομα ἔχοντα· εἴτ' οὖν ἀληθὲς εἴτ' οὖν ψεῦδος, ἀλλ' οὖν δεδογμένον[152] γέ ἐστι, τὸν Σωκράτην διαφέρειν τινὶ τῶν πολλῶν ἀνθρώπων. Εἰ οὖν ὑμῶν οἱ δοκοῦντες διαφέρειν εἴτε σοφίᾳ, εἴτε ἀνδρίᾳ, εἴτε ἄλλῃ ἡτινιοῦν ἀρετῇ, τοιοῦτοι ἔσονται, αἰσχρὸν ἂν εἴη· οἷουσπερ ἐγὼ πολλάκις ἑώρακά τινας, ὅταν κρίνωνται, δοκοῦντας μέν τι εἶναι, θαυμάσια[153] δὲ ἐργαζομένους, ὡς δεινόν τι οἰομένους πείσεσθαι εἰ ἀποθανοῦνται, ὥσπερ ἀθανάτων ἐσομένων, ἐὰν ὑμεῖς αὐτοὺς μὴ ἀποκτείνητε· οἳ ἐμοὶ δοκοῦσιν αἰσχύνην τῇ πόλει περιάπτειν, ὥστ' ἄν τινα καὶ τῶν ξένων ὑπολαβεῖν ὅτι οἱ διαφέροντες Ἀθηναίων εἰς ἀρετήν, οὓς αὐτοὶ ἑαυτῶν ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς ἄλλαις τιμαῖς προκρίνουσιν, οὗτοι γυναικῶν οὐδὲν διαφέρουσι. Ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε ὑμᾶς χρὴ ποιεῖν τοὺς δοκοῦντας καὶ ὀπητιοῦν εἶναι, οὔτ' ἂν ἡμεῖς ποιῶμεν, ὑμᾶς ἐπιτρέπειν· ἀλλὰ τοῦτο αὐτὸ ἐνδείκνυσθε, ὅτι πολὺ μᾶλλον καταψηφιεῖσθε τοῦ τὰ ἐλεεινὰ ταῦτα δράματα εἰσάγοντος καὶ καταγέλαστον τὴν πόλιν ποιοῦντος, ἢ τοῦ ἡσυχίαν ἄγοντος.

Χωρὶς δὲ τῆς δόξης, ὦ ἄνδρες, οὐδὲ δίκαιον δοκεῖ εἶναί μοι δεῖσθαι τοῦ δικαστοῦ, οὐδὲ δεόμενον ἀποφεύγειν, ἀλλὰ διδάσκειν καὶ πείθειν. Οὐ γὰρ ἐπὶ τούτῳ κάθηται ὁ δικαστής, ἐπὶ τῷ καταχαρίζεσθαι τὰ δίκαια, ἀλλ' ἐπὶ τῷ κρίνειν ταῦτα· καὶ ὀμώμοκεν οὐ χαριεῖσθαι οἷς ἂν δοκῇ αὐτῷ, ἀλλὰ δικάσειν κατὰ τοὺς νόμους. Οὐκοῦν χρὴ οὔτε ἡμᾶς ἐθίζειν ὑμᾶς ἐπιορκεῖν, οὔθ' ὑμᾶς ἐθίζεσθαι· οὐδέτεροι γὰρ ἂν ἡμῶν εὐσεβοῖεν. Μὴ οὖν ἀξιοῦτέ με, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα δεῖν πρὸς ὑμᾶς πράττειν, ἃ μήτε ἡγοῦμαι καλὰ εἶναι, μήτε δίκαια, μήτε ὅσια, μάλιστα μὲν πάντως[154], νὴ Δία μέν τοι καὶ ἀσεβείας φεύγοντα ὑπὸ Μελίτου τουτουί. Σαφῶς γὰρ ἂν εἰ πείθοιμι

---

147) Ὡς ἂν ἔδοξέ τις περὶ ἐμοῦ. 148) Δὲν τὸ πιστεύω μέν, ἐὰν δὲ καθ' ὑπόθεσιν τύχῃ. (παρβλ. σημ. 28). 149) Ὀδυσ. Τ, 163. 150) Λαμπροκλῆς, Σωφρονίσκος καὶ Μενέξενος. 151) Τόσον προβεβηκότα τῇ ἡλικίᾳ. 152) Τοῦτο ἐξηγεῖ τὸ (καὶ ἐξηγεῖται ὑπὸ τοῦ) ἀνωτέρω δόξαν. 153) Κινοῦνται εἰς θαυμασμὸν διὰ τὴν αἰσχρότητά των. 154) Τὸ πάντως ἴδε σημείωσιν, εἰς πᾶσαν περίστασιν.

ὑμᾶς καὶ τῷ δεῖσθαι βιαζοίμην ἀμωμοκότας, θεοὺς ἂν διδάσκοιμι μὴ ἡγεῖσθαι ὑμᾶς εἶναι· καὶ ἀτεχνῶς ἀπολογούμενος κατηγορεῖην ἂν ἐμαυτοῦ ὡς θεοὺς οὐ νομίζω. Ἀλλὰ πολλοῦ δεῖ οὕτως ἔχειν· νομίζω τε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς οὐδεὶς τῶν ἐμῶν κατηγόρων, καὶ ὑμῖν ἐπιτρέπω καὶ τῷ θεῷ κρῖναι περὶ ἐμοῦ ὅπῃ μέλλει ἐμοί τε ἄριστα εἶναι καὶ ὑμῖν[155].

Τὸ μὲν οὖν μὴ ἀγανακτεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τούτῳ τῷ γεγονότι, ὅτι μου κατεψηφίσασθε, ἄλλα τέ μοι πολλὰ ξυμβάλλεται καὶ οὐκ ἀνέλπιστόν μοι γέγονε τὸ γεγονὸς τοῦτο· ἀλλὰ πολὺ μᾶλλον θαυμάζω ἑκατέρων τῶν ψήφων τὸν γεγονότα ἀριθμόν. Οὐ γὰρ ᾤμην ἔγωγε οὕτω παρ' ὀλίγον ἔσεσθαι[156], ἀλλὰ παρὰ πολύ· Νῦν δέ, ὡς ἔοικεν, εἰ τρεῖς μόναι μετέπεσον τῶν ψήφων, ἀπεπεφεύγειν ἄν[157]. Μέλιτον μὲν οὖν, ὡς ἐμοὶ δοκῶ, καὶ νῦν ἀποπέφευγα, καὶ οὐ μόνον ἀποπέφευγα, ἀλλὰ καὶ παντὶ δῆλον τοῦτό γε, ὅτι εἰ μὴ ἀνέβη Ἄνυτος καὶ Λύκων κατηγορήσοντες ἐμοῦ, κἂν ὤφλε χιλίας δραχμὰς, οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων[158].

Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. Εἶεν. Ἐγὼ δὲ δή τίνος[159] ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι, ἢ δῆλον ὅτι τῆς ἀξίας. Τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτίσαι[160], ὅ,τι μαθὼν[161] ἐν τῷ βίῳ οὐχ ἡσυχίαν ἦγον, ἀλλ' ἀμελήσας ὥνπερ οἱ πολλοὶ[162], χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρατηγιῶν καὶ δημηγοριῶν, καὶ τῶν ἄλλων ἀρχῶν καὶ ξυνωμοσιῶν καὶ στάσεων τῶν ἐν τῇ πόλει γιγνομένων, ἡγησάμενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέστερον εἶναι ἢ ὥστε εἰς ταῦτα ἰόντι σώζεσθαι[163], ἐνταῦθα μὲν οὐκ ἦια οἷ ἐλθὼν μήτε ὑμῖν μήτε ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος εἶναι, ἐπὶ δὲ τὸ ἰδίᾳ ἕκαστον ἰὼν εὐεργετεῖν τὴν μεγίστην εὐεργεσίαν, ὡς ἐγὼ φημι, ἐνταῦθα ἦια[164]· ἐπιχειρῶν ἕκαστον ὑμῶν πείθειν μὴ πρότερον μήτε τῶν ἑαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι, πρὶν ἑαυτοῦ ἐπιμεληθείη, ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος ἔσοιτο· μήτε τῶν τῆς πόλεως[164a], πρὶν αὐτῆς τῆς πόλεως[165]· τῶν τε ἄλλων οὕτω κατὰ τὸν αὐτὸν τρόπον ἐπιμελεῖσθαι. Τί οὖν εἰμι ἄξιος παθεῖν, τοιοῦτος ὤν; ἀγαθόν τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δή γε κατὰ τὴν ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθε· καὶ ταῦτά γε, ἀγαθὸν τοιοῦτον, ὅ,τι ἂν πρέποι ἐμοί. Τί οὖν πρέπει ἀνδρὶ πένητι, εὐεργέτῃ, δεομένῳ ἄγειν σχολὴν ἐπὶ τῇ ὑμε-

---

155) Ἐδῶ τελειόνει ἡ καθαυτὸ ἀπολογία τοῦ Σωκράτους. Τὰ δὲ λοιπὰ ὑποτίθενται λεχθέντα ὑπ' αὐτοῦ, μετὰ τὴν διαψήφισιν τῶν δικαστῶν. 156) Τὸν ἀριθμὸν αὐτῶν.

157) Ἐκ τοῦ Διογένους Λαερτίου μανθάνομεν ὅτι οἱ δικασταὶ τοῦ Σωκράτους ἦσαν **556**, ἐξ ὧν οἱ **281** ἐψηφηφόρησαν κατά, οἱ δὲ **275** ὑπὲρ αὐτοῦ· ὥστε τῷ ὄντι, ἐὰν τρεῖς μόναι ψῆφοι προσετίθεντο εἰς ταύτας, ἤθελον γένη ἀμφοτέρων ἀνὰ **278**, καὶ οὕτως, ἰσοψηφίας οὔσης, ἀπελύετο. 158) Δηλ. κατὰ τὸν νόμον ἔπρεπε νὰ ᾖνε αἱ κατὰ τοῦ Σωκράτους ψῆφοι **333**, ὥστε ἕκαστος τῶν τριῶν κατηγόρων νὰ λάβῃ τὸ ἓν πέμπτον τοῦ ὅλου ἐνῷ, κατὰ τὸν ἀνωτέρω ἐκτεθέντα ἀριθμὸν, δὲν ἔλαβεν ἕκαστος εἰμὴ **97** μόνας ψήφους.

159) Ἐννοεῖται, Ποινῆς ἢ Τιμῆς. 160) Τὸ μὲν παθεῖν διὰ τὰς σωματικὰς ποινάς· τὸ δὲ ἀποτίσαι διὰ τὰς χρηματικάς. Περὶ δὲ τοῦ Τιμᾶσθαι καὶ Ἀντιτιμᾶσθαι ἴδε τὰ Λεξικά. 161) Τὸ Μαθὼν κεῖται ἴσως διὰ τὸ εὐφημότερον, ἀντὶ τοῦ Παθών. Τὸ δὲ Ὅ,τι παθὼν κατήντησε νὰ ἔχῃ δύναμιν ἁπλοῦ μορίου, τοῦ Ὅτι. 162) Ἐπιμέλονται· τὰ δημηγοριῶν εἶνε κατὰ διόρθωσιν ἀντὶ τοῦ εἰς ἄλλας ἐκδόσεις Δημιουργιῶν.

163) Παράβαλε τὰ προειρημένα σελ. **201**. 164) **18—19**. Ἰὼν ἦια ἐπὶ τὸ εὐεργετεῖν ἕκαστον ἰδίᾳ τὴν μεγίστην εὐεργεσίαν. 164a) Μηδὲν ἐπιμελεῖσθαι.

165) Ἐπιμεληθείη.

τέρα παρακελεύσει[166]; οὐκ ἔσθ' ὅτι μᾶλλον, ὦ ἄνδρες Ἀθηναῖοι, πρέπει οὕτως, ὡς τὸν τοιοῦτον ἄνδρα ἐν Πρυτανείῳ σιτεῖσθαι· πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν ἵππῳ ἢ ξυνωρίδι ἢ ζεύγει[167] νενίκηκεν Ὀλυμπιάσιν. Ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν εἶναι, ἐγὼ δὲ εἶναι· καὶ ὁ μὲν τροφῆς οὐδὲν δεῖται, ἐγὼ δὲ δέομαι. Εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, τῆς ἐν Πρυτανείῳ σιτήσεως.

Ἴσως οὖν ὑμῖν, καὶ ταυτὶ λέγων, παραπλησίως δοκῶ λέγειν ὥσπερ περὶ τοῦ οἴκτου καὶ τῆς ἀντιβολήσεως, ἀπαυθαδιαζόμενος. Τὸ δὲ οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοιοῦτον, ἀλλὰ τοιόνδε μᾶλλον. Πέπεισμαι ἐγὼ ἑκὼν εἶναι[168] μηδένα ἀδικεῖν ἀνθρώπων· ἀλλὰ ὑμᾶς τοῦτο οὐ πείθω. ὀλίγον γὰρ χρόνον ἀλλήλοις διειλέγμεθα. Ἐπεί, ὡς ἐγῷμαι, εἰ ἦν ὑμῖν νόμος, ὥσπερ καὶ ἄλλοις ἀνθρώποις, περὶ θανάτου μὴ μίαν μόνον ἡμέραν κρίνειν, ἀλλὰ πολλάς, ἐπείσθητε ἂν· νῦν δὲ οὐ ῥᾴδιον ἐν χρόνῳ ὀλίγῳ μεγάλας διαβολὰς ἀπολύεσθαι. Πεπεισμένος δ' ἐγὼ μηδένα ἀδικεῖν, πολλοῦ δέω ἐμαυτόν γε ἀδικήσειν, καὶ κατ' ἐμαυτοῦ ἐρεῖν αὐτὸς ὡς ἄξιός εἰμι τοῦ[168a] κακοῦ, καὶ τιμήσεσθαι τοιούτου τινὸς ἐμαυτῷ. Τί δείσας; ἦ[169] μὴ πάθω τοῦτο, οὗ Μέλιτός μοι τιμᾶται (ὃ φημι οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν ἐστιν), ἀντὶ τούτου δὴ ἕλωμαί τι ὧν εὖ οἶδ' ὅτι κακῶν ὄντων, τούτου τιμησάμενος[170]; πότερον, δεσμοῦ; καὶ τί με δεῖ ζῆν ἐν δεσμωτηρίῳ, δουλεύοντα τῇ ἀεὶ καθισταμένῃ ἀρχῇ[171], τοῖς Ἕνδεκα; ἀλλὰ χρημάτων; καὶ δεδέσθαι ἕως ἂν ἐκτίσω; ἀλλὰ ταὐτόν μοί ἐστιν[172] ὅπερ δὴ νῦν ἔλεγον· οὐ γὰρ ἔχει μοι χρήματα ὁπόθεν ἐκτίσω. Ἀλλὰ δὴ φυγῆς τιμήσομαι; ἴσως γὰρ ἄν μοι τούτου τιμήσαιτε. Πολλὴ μέν τ' ἂν με φιλοψυχία ἔχοι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ οὕτως ἀλόγιστός εἰμι, ὥστε μὴ δύνασθαι λογίζεσθαι, ὅτι ὑμεῖς μέν, ὄντες πολῖταί μου, οὐχ οἷοί τ' ἐγένεσθε ἐνεγκεῖν τὰς ἐμὰς διατριβὰς καὶ τοὺς λόγους, ἀλλ' ὑμῖν βαρύτεραι γεγόνασι καὶ ἐπιφθονώτεραι[173], ὥστε ζητεῖτε αὐτῶν νυνὶ ἀπαλλαγῆναι, ἄλλοι δὲ ἆρα αὐτὰς οἴσουσι ῥᾳδίως· πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι. Καλὸς[174] οὖν ἂν μοι ὁ βίος εἴη, ἐξελθόντι τηλικῶδε ἀνθρώπῳ, ἄλλην ἐξ ἄλλης πόλεως ἀμειβομένῳ καὶ ἐξελαυνομένῳ ζῆν. Εὖ γὰρ οἶδ' ὅτι, ὅπῃ ἂν ἔλθω, λέγοντος ἐμοῦ, ἀκροάσονται οἱ νέοι, ὥσπερ ἐνθάδε. Κἂν μὲν τούτους ἀπελαύνω, οὗτοί με αὐτοὶ ἐξελῶσι, πείθοντες τοὺς πρεσβυτέρους· ἐὰν δὲ μὴ ἀπελαύνω, οἱ τούτων πατέρες τε καὶ οἰκεῖοι, δι' αὐτοὺς τούτους.

Ἴσως οὖν ἄν τις εἴποι· Σιγῶν τε καὶ ἡσυχίαν ἄγων, ὦ Σώκρατες, οὐχ

---

166) Πρὸς τὸ παρακελεύεσθαι (παρακινεῖν εἰς ἀρετὴν) ὑμᾶς. 167) Ἵππος σημαίνει τὸν πρὸς ἱππασίαν ἵππον, τὸν κέλητα· ξυνωρὶς τὸ ὑπὸ δύω ἵππων συρόμενον ἅρμα· ζεῦγος δὲ τὸ ὑπὸ τριῶν ἢ τεσσάρων τέθριππον. 168) Φράσις συνήθης, ἀντὶ τοῦ Ἑκουσίως.

168a) Ἴσως γραπτέον Του, ἐγκλιτικῶς, ἀντὶ Τινος. 169) Ἡ φράσις ἐνομίσθη ἐσφαλμένη, καὶ διορθώθη πολλαχῶς. Ἀλλ' εἶνε μόνον ἐλλιπὴς καὶ ἀναπληροῦται οὕτος. Τί δείσας (ἀδικήσω ἐμαυτὸν κτλ.), ἢ (δείσας) μὴ πάθω τοῦτο κτλ. 170) Περινενοημένη καὶ διὰ τοὺς ἀττικισμοὺς της δυσκολοσύντακτος, εἰ καὶ ἄλλως σαφὴς, φράσις. 171) Τοῖς ἑκάστοτε διοριζομένοις εἰς τὴν θέσιν τὴν λεγομένην Τῶν Ἑνδεκα. 172) Τὸ ἴδιον θὰ ἦναι ᾧ τότε δι' ἐμέ, διότι πάλιν εἰς τὴν φυλακὴν θὰ ἐγκαταβιώσω μὴ ἔχων χρήματα νὰ πληρώσω.

175) Τὸ πλῆρες ἦτον Βαρύτεραι καὶ ἐπιφθονώτεραι ἢ ὥστε ἐνεγκεῖν ὑμᾶς αὐτάς.

174) Εἰρωνικῶς.

οἷός τ' ἔσῃ ἡμῖν ἐξελθὼν ζῆν; Τοῦτ' δή ἐστι πάντων χαλεπώτατον παῖσαί τινας ὑμῶν. Ἐάν τε γὰρ λέγω ὅτι τῷ θεῷ ἀπειθεῖν τοῦτ' ἔστι, καὶ διὰ τοῦτ' ἀδύνατον ἡσυχίαν ἄγειν, οὐ πείσεσθέ μοι ὡς εἰρωνευομένῳ· ἐάν τ' αὖθις λέγω ὅτι καὶ τυγχάνει μέγιστον ἀγαθὸν ὂν ἀνθρώπῳ τοῦτο, ἑκάστης ἡμέρας περὶ ἀρετῆς τοὺς λόγους ποιεῖσθαι, καὶ τῶν ἄλλων περὶ ὧν ὑμεῖς ἐμοῦ ἠκούετε διαλεγομένου, καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος (ὁ δὲ ἀνεξέταστος βίος, οὐ βιωτὸς ἀνθρώπῳ), ταῦτα δ' ἔτι ἧττον πείσεσθέ μοι λέγοντι. Τὰ δὲ ἔχει μὲν οὕτως ὡς ἐγὼ φημι, ὦ ἄνδρες, πείθειν δὲ οὐ ῥᾴδια. Καὶ ἐγὼ ἅμ' οὐκ εἴθισμαι ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός. Εἰ μὲν γὰρ ἦν μοι χρήματα, ἐτιμησάμην ἂν χρημάτων ὅσα ἔμελλον ἐκτίσειν· οὐδὲν γὰρ ἂν ἐβλάβην· νῦν δὲ[476]... οὐ γάρ ἐστιν· εἰ μὴ ἄρα ὅσον ἂν ἐγὼ δυναίμην ἐκτῖσαι, τοσούτου βούλεσθέ μοι τιμήσαι. Ἴσως δ' ἂν δυναίμην ἐκτῖσαι ὑμῖν που μνᾶν ἀργυρίου· τοσούτου οὖν τιμῶμαι. Πλάτων δὲ ὅδε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Κρίτων καὶ Κριτόβουλος καὶ Ἀπολλόδωρος κελεύουσί με τριάκοντα μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι. Τιμῶμαι οὖν τοσούτου· ἐγγυηταὶ δ' ὑμῖν ἔσονται τοῦ ἀργυρίου οὗτοι ἀξιόχρεῳ[476].

Οὐ πολλοῦ γ' ἕνεκα[477] χρόνου, ὦ ἄνδρες Ἀθηναῖοι, ὄνομα ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδορεῖν, ὡς Σωκράτην ἀπεκτονήκατε, ἄνδρα σοφόν. Φήσουσι γὰρ δή με σοφὸν εἶναι, εἰ καὶ μὴ εἰμί, οἱ βουλόμενοι ὑμῖν ὀνειδίζειν. Εἰ γοῦν περιεμείνατε ὀλίγον χρόνον, ἀπὸ τοῦ αὐτομάτου ἂν ὑμῖν τοῦτο ἐγένετο, ἐμὲ τεθνάναι δή[478]. Ὁρᾶτε γὰρ δὴ εἰς τὴν ἡλικίαν, ὅτι πόρρω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς. Λέγω δὲ τοῦτο οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ἐμοῦ καταψηφισαμένους θάνατον· λέγω δὲ καὶ τόδε πρὸς τοὺς αὐτοὺς τούτους. Ἴσως με οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀπορίᾳ λόγων ἑαλωκέναι τοιούτων οἷς ἂν ὑμᾶς ἔπεισα, εἰ ᾠμην δεῖν ἅπαντα ποιεῖν καὶ λέγειν ὥστε ἀποφυγεῖν τὴν δίκην· πολλοῦ γε δεῖ. Ἀλλ' ἀπορίᾳ μὲν ἑάλωκα, οὐ μέντοι λόγων, ἀλλὰ τόλμης καὶ ἀναισχυντίας, καὶ τοῦ μὴ ἐθέλειν λέγειν πρὸς ὑμᾶς τοιαῦτα, οἷα ὑμῖν μὲν ἥδιστ' ἂν ἦν ἀκούειν, θρηνοῦντός μου καὶ ὀδυρομένου, καὶ ἄλλα ποιοῦντος καὶ λέγοντος πολλὰ καὶ ἀνάξια ἐμοῦ, ὡς ἐγὼ φημι· οἷα δὴ καὶ εἴθισθε ὑμεῖς τῶν ἄλλων ἀκούειν. Ἀλλ' οὔτε τότε ᾠήθην δεῖν ἕνεκα τοῦ κινδύνου πρᾶξαι οὐδὲν ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ, ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι, ἢ ἐκείνως ζῆν. οὔτε γὰρ ἐν δίκῃ οὔτ' ἐν πολέμῳ οὔτε ἐμὲ οὔτε ἄλλον οὐδένα δεῖ τοῦτο μηχανᾶσθαι, ὅπως ἀποφεύξεται παν ποιῶν θάνατον. Καὶ γὰρ ἐν ταῖς μάχαις πολλάκις δῆλον γίγνεται ὅτι τό γε ἀποθανεῖν ῥᾴον ἄν τις ἐκφύγοι, καὶ ὅπλα ἀφείς, καὶ ἐφ' ἱκετείαν τραπείς τῶν διωκόντων, καὶ ἄλλαι πολλαὶ μηχαναί εἰσιν ἐν ἑκάστοις τοῖς κινδύνοις, ὥστε διαφεύγειν θάνατον, ἐάν τις τολμᾷ παν ποιεῖν καὶ λέγειν. Ἀλλὰ μὴ[479] οὐ τοῦτ' ἦ χαλεπόν, ὦ ἄνδρες

---

476) (Ἕνν.) Οὐ δύναμαι τιμήσασθαι χρημάτων· οὐ γάρ ἐστιν. 476) Ἐδῶ φαίνεται, κατά τινας, ὅτι ἔπαυσε πάλιν λαλῶν ὁ Σωκράτης, καὶ ἐπανέλαβε τὸν λόγον, ἀφ' οὗ οἱ δικασταὶ, συνδιασκεψάμενοι, ἀπέβαλλαν τὴν πρότασίν του. 477) Τὸ Ἕνεκα ἐδῶ δὲν εἶναι αἰτιολογικὸν ἀλλὰ χρονικόν. 478) Ὁ δὴ ἐπεξηγηματικός 479) Τὸ Μὴ πολλάκις ἔχει ἐννοούμενον

Ἀθηναῖοι, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον, πονηρίαν θᾶττον γὰρ θανάτου θεῖ. Καὶ νῦν ἐγὼ μέν, ἅτε βραδὺς ὢν, καὶ πρεσβύτης, ὑπὸ τοῦ βραδυτέρου ἑάλων· οἱ δὲ μου κατήγοροι, ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες, ὑπὸ τοῦ θάττονος, τῆς κακίας. Καὶ νῦν δὴ ἐγὼ μὲν ἄπειμι ὑφ' ὑμῶν θανάτου δίκην ὀφλών, οὗτοι δὲ ὑπὸ τῆς ἀληθείας ὠφλικότες μοχθηρίαν καὶ ἀδικίαν. Καὶ ἔγωγε τῷ τιμήματι ἐμμένω, καὶ οὗτοι. Ταῦτα μὲν οὖν που ἴσως οὕτω καὶ ἔοδει σχεῖν, καὶ οἶμαι αὐτὰ μετρίως[180] ἔχειν.

Τὸ δὲ δὴ μετὰ τοῦτο ἐπιθυμῶ ὑμῖν χρησμῳδῆσαι, ὦ καταψηφισάμενοί μου. Καὶ γάρ εἰμι ἤδη ἐνταῦθα ἐν ᾧ μάλιστ' ἄνθρωποι χρησμῳδοῦσιν, ὅταν μέλλωσιν ἀποθανεῖσθαι. Φημὶ γάρ, ὦ ἄνδρες, εἴ με ἀποκτενεῖτε, τιμωρίαν ὑμῖν ἥξειν εὐθὺς μετὰ τὸν ἐμὸν θάνατον, πολὺ χαλεπωτέραν, νὴ Δία, ἢ οἵαν ἐμὲ ἀπεκτείνατε. Νῦν γὰρ τοῦτο εἰργάσθε, οἰόμενοι ἀπαλλάξεσθαι τοῦ διδόναι ἔλεγχον τοῦ βίου· τὸ δὲ ὑμῖν πολὺ ἐναντίον ἀποβήσεται, ὡς ἐγὼ φημι. Πλείους ἔσονται ὑμᾶς οἱ ἐλέγχοντες, οὓς νῦν ἐγὼ κατεῖχον, ὑμεῖς δὲ οὐκ ἠσθάνεσθε· καὶ χαλεπώτεροι ἔσονται ὅσῳ νεώτεροί εἰσι, καὶ ὑμεῖς μᾶλλον ἀγανακτήσετε. Εἰ γὰρ οἴεσθε, ἀποκτείναντες ἀνθρώπους, ἐπισχήσειν τοῦ ὀνειδίζειν τινὰ ὑμῖν ὅτι οὐκ ὀρθῶς ζῆτε, οὐ καλῶς διανοεῖσθε. Οὐ γὰρ ἔσθ' αὕτη ἡ ἀπαλλαγὴ οὔτε πάνυ δυνατὴ, οὔτε καλὴ· ἀλλ' ἐκείνη καὶ καλλίστη καὶ ῥᾴστη, μὴ τοὺς ἄλλους κολούειν, ἀλλ' αὐτὸν παρασκευάζειν ὅπως ἔσται ὡς βέλτιστος. Ταῦτα μὲν οὖν ὑμῖν τοῖς καταψηφισαμένοις μαντευσάμενος, ἀπαλλάττομαι.

Τοῖς δὲ ἀποψηφισαμένοις ἠδέως ἂν διαλεχθείην ὑπὲρ τοῦ γεγονότος τουτουὶ πράγματος, ἐν ᾧ οἱ ἄρχοντες[180*] ἀσχολίαν ἄγουσι, καὶ οὔπω ἔρχομαι οἷ ἐλθόντα με δεῖ τεθνάναι. Ἀλλά μοι, ὦ ἄνδρες Ἀθηναῖοι, παραμείνατε τοσοῦτον χρόνον. οὐδὲν γὰρ κωλύει διαμυθολογῆσαι πρὸς ἀλλήλους, ἕως ἔξεστιν. Ὑμῖν γὰρ ὡς φίλοις οὔσιν, ἐπιδεῖξαι ἐθέλω τὸ νυνί μοι ξυμβεβηκὸς τί ποτ' ἐννοεῖ. Ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταὶ (ὑμᾶς γὰρ δικαστὰς καλῶν, ὀρθῶς ἂν καλοίην), θαυμάσιόν τι γέγονεν. Ἡ γὰρ εἰωθυῖά μοι μαντικὴ, ἡ τοῦ δαιμονίου, ἐν μὲν τῷ πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ ἦν, καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴτι μέλλοιμι μὴ ὀρθῶς πράξειν· νυνὶ δὲ ξυμβέβηκέ μοι, ἅπερ ὁρᾶτε καὶ αὐτοί, ταυτί, ἃ γε δὴ οἰηθείη ἄν τις καὶ νομίζεται, ἔσχατα κακῶν εἶναι. Ἐμοὶ δὲ οὔτε ἐξιόντι ἕωθεν οἴκοθεν ἠναντιώθη τὸ τοῦ θεοῦ σημεῖον, οὔτε ἡνίκα ἀνέβαινον ἐνταυθοῖ ἐπὶ τὸ δικαστήριον, οὔτε ἐν τῷ λόγῳ οὐδενί,[181], μέλλοντι ἐρεῖν. Καίτοι ἐν ἄλλοις λόγοις πολλαχοῦ δή με ἐπέσχε λέγοντα μεταξύ· νυνὶ δὲ οὐδαμοῦ περὶ ταύτην τὴν πρᾶξιν οὔτ' ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ ἠναντιώθη μοι. Τί οὖν αἴτιον εἶναι ὑπολαμβάνω; ἐγὼ ὑμῖν ἐρῶ. Κινδυνεύει γάρ μοι τὸ ξυμβεβηκὸς τοῦτο ἀγαθὸν γεγονέναι· καὶ οὐκ ἔσθ' ὅπως ἡμεῖς ὀρθῶς ὑπολαμβάνομεν, ὅσοι οἰόμεθα κακὸν εἶναι τὸ τεθνάναι. Μέγα μοι τεκμήριον τοῦτο γέγονεν· οὐ γὰρ ἔσθ' ὅπως οὐκ ἠναντιώθη ἄν μοι τὸ εἰωθὸς σημεῖον, εἰ μή τι ἔμελλον ἐγὼ ἀγαθὸν πράξειν.

Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ ἐλπίς ἐστιν ἀγαθὸν αὐτὸ εἶναι.

καὶ Ὁρᾶτε, εὐλαβεῖσθε κτλ. [180]) Προσηκόντως, ὅπως ἔποεπε. [180*]) Οἱ Ἕνδεκα, οἱ ὑποδεικνύοντες τὸν θάνατον καὶ ἐξετέλουν τὰς καταδίκας. [181]) Διορθοῦσί τινες οὐδέν μ' ἔτι.

Δυοῖν γὰρ θάτερόν ἐστι τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι, μηδ' αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἤ, κατὰ τὰ λεγόμενα, μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῆς ψυχῆς τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τόπον. Καὶ εἴτε δὴ μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος, ἐπειδάν τις καθεύδων μηδ' ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. Ἐγὼ γὰρ ἂν οἶμαι, εἴ τινα ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν ὥστε μηδὲ ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτί, δέοι σκεψάμενον εἰπεῖν, ὁπόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα, εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. Εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστι, κέρδος ἔγωγε λέγω (καὶ γὰρ οὐδὲν πλείων ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ)· εἰ δ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, καὶ ἀληθῆ ἐστι τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσιν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες δικασταί; Εἰ γάρ τις ἀφικόμενος εἰς ᾅδου, ἀπαλλαγεὶς τουτωνὶ τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστάς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος, καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ, ἐπὶ πόσῳ ἄν τις δέξαιτ' ἂν ὑμῶν; ἐγὼ μὲν γὰρ πολλάκις ἐθέλω τεθνάναι, εἰ ταῦτά ἐστιν ἀληθῆ. Ἐπεὶ ἐμοιγε καὶ αὐτῷ θαυμαστὴ ἂν εἴη ἡ διατριβὴ αὐτόθι, ὁπότε ἐντύχοιμι Παλαμήδει καὶ Αἴαντι τῷ Τελαμῶνος, καὶ εἴ τις ἄλλος τῶν παλαιῶν διὰ κρίσιν ἄδικον τέθνηκεν· ἀντιπαραβάλλοντι τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ ἐκείνων, ὡς ἐγῷμαι, οὐκ ἂν ἀηδὲς εἴη. Καὶ δὴ καὶ τὸ μέγιστον, τοὺς ἐκεῖ ἐξετάζοντα καὶ ἐρευνῶντα, ὥσπερ τοὺς ἐνταῦθα, διάγειν, τίς αὐτῶν σοφός ἐστι καὶ τίς οἴεται μέν, ἔστι δ' οὔ. Ἐπὶ πόσῳ δ' ἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτο ἐξετάσαι τὸν ἐπὶ Τροίαν ἀγαγόντα τὴν πολλὴν στρατιὰν[182], ἢ Ὀδυσσέα, ἢ Σίσυφον; ἢ ἄλλους; μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ γυναῖκας[183], οἷς διαλέγεσθαι ἐκεῖ καὶ ξυνεῖναι καὶ ἐξετάζειν, ἀμήχανον ἂν εἴη εὐδαιμονίας πάντως. Οὐ δή που τούτου γε ἕνεκα οἱ ἐκεῖ ἀποκτενοῦσι. Τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴπερ γε τὰ λεγόμενα ἀληθῆ ἐστιν.

Ἀλλὰ καὶ ὑμᾶς χρή, ὦ ἄνδρες δικασταί, εὐέλπιδας εἶναι πρὸς τὸν θάνατον, καὶ ἕν τι τοῦτο διανοεῖσθαι ἀληθές, ὅτι οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι οὔτε τελευτήσαντι, οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα· οὐδὲ τὰ ἐμὰ νῦν ἀπὸ τοῦ αὐτομάτου γέγονεν, ἀλλά μοι δῆλόν ἐστι τοῦτο, ὅτι ἤδη τεθνάναι καὶ ἀπηλλάχθαι πραγμάτων βέλτιον ἦν μοι. Διὰ τοῦτο καὶ ἐμὲ οὐδαμοῦ ἀπέτρεψε τὸ σημεῖον, καὶ ἔγωγε τοῖς καταψηφισαμένοις μου καὶ τοῖς κατηγόροις οὐ πάνυ χαλεπαίνω· καίτοι οὐ ταύτῃ

[182]) Τὸν Ἀγαμέμνονα. [183]) Ἐν παρενθέσει ταῦτα.

τῇ διανοίᾳ κατεψηφίζοντό μου καὶ κατηγόρουν, ἀλλ' οἰόμενοι βλάπτειν τε τοῦτο αὐτοῖς ἄξιον μέμφεσθαι. Τοσόνδε μέντοι αὐτῶν δέομαι· τοὺς υἱεῖς μου, ἐπειδὰν ἡβήσωσι, τιμωρήσασθε, ὦ ἄνδρες, ταὐτὰ ταῦτα λυποῦντες ἅπερ ἐγὼ ὑμᾶς ἐλύπουν, ἐὰν ὑμῖν δοκῶσιν ἢ χρημάτων ἢ ἄλλου του πρότερον ἐπιμελεῖσθαι ἢ ἀρετῆς· καὶ ἐὰν δοκῶσί τι εἶναι, μηδὲν ὄντες, ὀνειδίζετε αὐτοῖς, ὥσπερ ἐγὼ ὑμῖν, ὅτι οὐκ ἐπιμελοῦνται ὧν δεῖ, καὶ οἴονταί τι εἶναι, ὄντες οὐδενὸς ἄξιοι. Καὶ ἐὰν ταῦτα ποιῆτε, δίκαια πεπονθὼς ἐγὼ ἔσομαι ὑφ' ὑμῶν αὐτός τε καὶ οἱ υἱεῖς. Ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν, ἀποθανουμένῳ, ὑμῖν δὲ, βιωσομένοις. Ὁπότεροι δὲ ἡμῶν ἐρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν ἢ τῷ θεῷ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΛΑΤΩΝΟΣ ΦΑΙΔΩΝ.

b λόγος οὗτος ἐθαυμάσθη ἀνέκαθεν διὰ τὴν ἐν αὐτῷ ἐμφαινομένην ἀκραιφνεςάτην ἠθικήν, τὸ ὕψος τῶν περὶ ψυχῆς καὶ μέλλοντος βίου ἰδεῶν τοῦ Σωκράτους, τοῦ ὁποίου εἶναι τρόπον τινὰ τὸ εὐαγγέλιον τῆς διαθήκης, καὶ διὰ τὸ δραματικὸν ἐν γένει τοῦ διαλογικοῦ ὕφους. Τόσον δὲ ἐνθουσιασμὸν ἐμπνέει ὁ διάλογος οὗτος πρὸς ἀρετὴν, ὥστε ὁ Ἀμβρακιώτης Κλεόμβροτος, ἀφ' οὗ τὸν ἀνέγνωσε, λέγει ὁ Καλλίμαχος,

« Ἅλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς ἀΐδην,
» αἴτιον οὐδὲν ἰδὼν θανάτου κακὸν, ἀλλὰ Πλάτωνος
» ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος ».

ΑΥΤΟΣ, ὦ Φαίδων, παρεγένου Σωκράτει ἐκείνῃ[1] τῇ ἡμέρᾳ ᾗ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ, ἢ ἄλλου του ἤκουσας; ΦΑΙΔ. Αὐτὸς, ὦ Ἐχέκρατες. ΕΧ. Τί[2] οὖν δὴ ἐστιν ἅττα εἶπεν ὁ ἀνὴρ πρὸ τοῦ θανάτου; καὶ πῶς ἐτελεύτα; ἡδέως γὰρ ἂν ἀκούσαιμι. Καὶ γὰρ οὔτε τῶν πολιτῶν[3] τῶν Φλιασίων οὐδεὶς πάνυ τι ἐπιχωριάζει τανῦν Ἀθήναζε, οὔτε τις ξένος ἀφῖκται χρόνου[4] συχνοῦ ἐκεῖθεν, ὅστις ἂν ἡμῖν σαφές τι ἀγγεῖλαι οἷός τ' ἦ περὶ τούτων, πλήν γε δὴ ὅτι φάρμακον πιὼν ἀποθάνοι· τῶν δὲ ἄλλων οὐδὲν εἶχε φράζειν. ΦΑΙΔ. Οὐδὲ τὰ περὶ τῆς δίκης ἄρα ἐπύθεσθε ὃν τρόπον ἐγένετο; ΕΧ. Ναί. Ταῦτα μὲν ἡμῖν ἤγγειλέ τις· καὶ ἐθαυμάζομέν γε, ὅτι, πάλαι γενομένης αὐτῆς, πολλῷ ὕστερον φαίνεται ἀποθανών. Τί οὖν ἦν τοῦτο, ὦ Φαίδων; ΦΑΙΔ. Τύχη τις αὐτῷ, ὦ Ἐχέκρατες, ξυνέβη. Ἔτυχε γὰρ τῇ προτεραίᾳ τῆς δίκης ἡ πρύμνα ἐστεμμένη[5] τοῦ πλοίου, ὃ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσι κατ' ἔτος. ΕΧ. Τοῦτο δὲ δὴ τί ἐστι; ΦΑΙΔ. Τοῦτό ἐστι τὸ πλοῖον, ὡς φασιν Ἀθηναῖοι, ἐν ᾧ Θησεύς ποτε εἰς Κρήτην τοὺς δὶς ἑπτὰ ἐκείνους[6] ᾤχετο ἄγων, καὶ ἔσωσέ τε καὶ αὐτὸς ἐσώθη. Τῷ οὖν Ἀπόλλωνι εὔξαντο, ὡς λέγεται, τότε, εἰ σωθεῖεν, ἑκάστου ἔτους θεωρίαν[7] ἀπάξειν εἰς Δῆλον· ἣν δὴ ἀεὶ καὶ νῦν ἔτι ἐξ ἐκείνου[8] κατ' ἐνιαυτὸν τῷ θεῷ πέμπουσιν. Ἐπειδὰν οὖν ἄρξωνται τῆς θεωρίας, νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν, καὶ δημοσίᾳ μηδένα ἀποκτινύναι, πρὶν ἂν εἰς Δῆλον ἀφίκηται τὸ πλοῖον, καὶ πάλιν δεῦρο[9]. Τοῦτο[10] δ' ἐνίοτε ἐν πολλῷ χρόνῳ γίγνεται, ὅταν τύχωσιν ἄνεμοι ἀπολαβόντες αὐτούς. Ἀρχὴ δ' ἔστι τῆς θεωρίας, ἐπειδὰν ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος στέψῃ τὴν πρύμναν τοῦ πλοίου.

---

[1]) (Ἐν) ἐκείνῃ τῇ ἡμέρᾳ, (ἐν) ᾗ. [2]) Ἀντὶ Τίνα, ἤ, καθὼς ἡ κοινῶς μεταχειριζόμεθα τὸ Τί πρὸς πάντα τὰ γένη καὶ πάντας τοὺς ἀριθμούς. [3]) Τῶν συμπολιτῶν μου· διότι ὁ Ἐχεκράτης ἦτον ἐκ τῆς ἐν Σικυωνίᾳ πόλεως Φλιοῦντος [4]) (Διὰ) χρόνου συχνοῦ. [5]) Ἴδε κατωτέρω τὰ περὶ τῆς στέψεως ταύτης καὶ τὰ λοιπὰ τῆς εἰς Δῆλον θεωρίας. [6]) Παῖδας, ἑπτὰ ἄρρενας καὶ ἑπτὰ θηλείας. [7]) Θεωρία, ἡ πρὸς θυσίαν καὶ θεραπείαν θεοῦ τινος στελλομένη πρεσβεία, ὁποία ἡ κατ' ἔτος εἰς Δῆλον πρὸς τιμὴν τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος, ὡς ἐκεῖ γεννηθέντων. [8]) Τοῦ χρόνου. [9]) (Ἐνν.) Ἀφίκηται, ἐπιστρέψῃ. [10]) Ἡ ἐπιστροφὴ τοῦ πλοίου.

Τοῦτο δ' ἔτυχεν, ὥσπερ λέγω, τῇ προτεραίᾳ τῆς δίκης γεγονός. Διὰ ταῦτα καὶ πολὺς χρόνος ἐγένετο τῷ Σωκράτει ἐν τῷ δεσμωτηρίῳ ὁ μεταξὺ τῆς δίκης τε καὶ τοῦ θανάτου.

ΕΧ. Τί δαὶ δὴ τὰ περὶ αὐτὸν τὸν θάνατον, ὦ Φαίδων; τί ἦν τὰ λεχθέντα καὶ πραχθέντα; καὶ τίνες οἱ παραγενόμενοι τῶν ἐπιτηδείων τῷ ἀνδρί; ἢ οὐκ εἴων οἱ ἄρχοντες παρεῖναι, ἀλλ' ἔρημος ἐτελεύτα φίλων; ΦΑΙΔ. Οὐδαμῶς· ἀλλὰ παρῆσάν τινες, καὶ πολλοί γε. ΕΧ. Ταῦτα δὴ πάντα προθυμήθητι ὡς σαφέστατα ἡμῖν ἀπαγγεῖλαι, εἰ μή τίς σοι ἀσχολία τυγχάνει οὖσα. ΦΑΙΔ.[11] Ἀλλὰ σχολάζω γε καὶ πειράσομαι ὑμῖν διηγήσασθαι. Καὶ γὰρ τὸ μεμνῆσθαι Σωκράτους, καὶ αὐτὸν[12] λέγοντα, καὶ ἄλλου ἀκούοντα, ἔμοιγε ἀεὶ πάντων ἥδιστον. ΕΧ. Ἀλλὰ μήν, ὦ Φαίδων, καὶ τοὺς ἀκουσομένους γε τοιούτους ἑτέρους ἔχεις· ἀλλὰ πειρῶ ὡς ἂν δύνῃ ἀκριβέστατα διελθεῖν πάντα. ΦΑΙΔ. Καὶ μὴν ἔγωγε θαυμάσια ἔπαθον παραγενόμενος. Οὔτε γὰρ ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰσῄει· (εὐδαίμων γάρ μοι ὁ ἀνὴρ ἐφαίνετο, ὦ Ἐχέκρατες, καὶ τοῦ τρόπου καὶ τῶν λόγων, ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα· ὥστε μοι παρίστασθαι ἐκεῖνον μηδ' εἰς ᾅδου ἰόντα, ἄνευ θείας μοίρας ἰέναι, ἀλλὰ καὶ ἐκεῖσε ἀφικόμενον εὖ πράξειν, εἴπερ τις πώποτε καὶ ἄλλος· διὰ δὴ ταῦτα οὐδὲν πάνυ μοι ἐλεεινὸν εἰσῄει, ὡς εἰκὸς ἂν δόξειεν εἶναι παρόντι πένθει·) οὔτε αὖ ἡδονή, ὡς ἐν φιλοσοφίᾳ[13] ἡμῶν ὄντων. ὥσπερ εἰώθειμεν· καὶ γὰρ οἱ λόγοι τοιοῦτοί[14] τινες ἦσαν· ἀλλ' ἀτεχνῶς ἄτοπόν[15] τί μοι πάθος παρῆν, καὶ τις ἀληθὴς κρᾶσις ἀπό τε τῆς ἡδονῆς ξυγκεκραμένη ὁμοῦ καὶ τῆς λύπης, ἐνθυμουμένῳ ὅτι αὐτίκα ἐκεῖνος ἔμελλε τελευτᾶν. Καὶ πάντες οἱ παρόντες σχεδόν τι οὕτω διεκείμεθα, ποτὲ μὲν γελῶντες, ἐνίοτε δὲ δακρύοντες· εἷς δὲ ἡμῶν καὶ διαφερόντως, Ἀπολλόδωρος· οἶσθα γάρ που τὸν ἄνδρα καὶ τὸν τρόπον αὐτοῦ. ΕΧ. Πῶς γὰρ οὔ; ΦΑΙΔ. Ἐκεῖνός τε τοίνυν παντάπασιν οὕτως[16] εἶχε, καὶ αὐτὸς ἔγωγε ἐτεταράγμην, καὶ οἱ ἄλλοι. ΕΧ. Ἔτυχον δὲ, ὦ Φαίδων, τίνες παραγενόμενοι; ΦΑΙΔ. Οὗτός τε δὴ ὁ Ἀπολλόδωρος τῶν ἐπιχωρίων[17] παρῆν, καὶ Κριτόβουλος, καὶ ὁ πατὴρ αὐτοῦ [Κρίτων], καὶ ἔτι Ἑρμογένης, καὶ Ἐπιγένης, καὶ Αἰσχίνης, καὶ Ἀντισθένης. Ἦν δὲ καὶ Κτήσιππος ὁ Παιανιεὺς, καὶ Μενέξενος, καὶ ἄλλοι τινὲς τῶν ἐπιχωρίων· Πλάτων δὲ, οἶμαι, ἠσθένει. ΕΧ. Ξένοι δὲ τινες παρῆσαν; ΦΑΙΔ. Ναί· Σιμμίας τέ γε ὁ Θηβαῖος, καὶ Κέβης, καὶ Φαιδώνδης· καὶ Μεγαρόθεν, Εὐκλείδης τε καὶ Τερψίων. ΕΧ. Τί δὲ; Ἀρίστιππος καὶ Κλεόμβροτος[18] παρεγένοντο; ΦΑΙΔ. Οὔ

---

11) (Οὐκ ἔχει μοί τις ἀσχολία), ἀλλὰ κτλ. 12) Ἐμὲ αὐτόν. 13) Ἐν φιλοσοφικῇ συνδιαλέξει. 14) Φιλοσοφικοὶ οἱ τότε γενόμενοι. 15) Παράδοξον, ἀσυνήθιζον. 16) Ὡς ἔφην, ἀτόπως δηλ. καὶ ἀήθως. 17) Τῶν Ἀθηναίων. 18) Διὰ τοῦτον τὸν Κλεόμβροτον, Ἀμβρακιώτην τὴν πατρίδα, λέγουν ὅτι, ἀναγνώσας τὸν Φαίδωνα, κατεκρημνίσθη καὶ ἀπέθανεν ἀπὸ τὸ κακόν του. Καὶ τοῦτο μὲν πιθανόν, διότι σώζεται περὶ τούτου τὸ προεκτεθὲν ἐν κεφαλίδι τοῦ λόγε, ἐπίγραμμα τοῦ Καλλιμάχε. Ἀλλ' ὅτι αἰτία τῆς αὐτοχειρίας ταύτης ἦτον ἡ ὑπονοσμένη κατ' αὐτοῦ μομφὴ εἰς τοὺς λόγους τούτους τοῦ Πλάτωνος, ὡς μὴ παρευρεθέντος ἴδιον, ἀπὸ φόβον μὴ προσκρούσῃ εἰς τοὺς ἐχθροὺς τοῦ Σωκράτες, εἰς τὰς τελευταίας τοῦ διδασκάλε τε ςιγμὰς, δέν μοι φαίνεται πιθανὴ, κ πιθανώτερον νομίζω ὅτι ἐπραγματοποίησε τὴν ἄλλην τοῦ Σωκράτες ἰδέαν περὶ τοῦ μετὰ ταῦτα βίε, ἥτις ἐκφράζεται εἰς ἄλλο ἐπίγραμμα:

« Ἀπηγξάμην ἄν, ὥστ' ἰδεῖν Εὐριπίδην ».

ἔητα. Ἐν Αἰγίνῃ γὰρ ἐλέγοντο εἶναι. ΕΧ. Ἄλλος τέ τις παρῆν; ΦΑΙΔ. Σχεδόν τι οἶμαι τούτους παραγενέσθαι.

ΕΧ. Τί οὖν δή; τίνες, φῆς, ἦσαν οἱ λόγοι; ΦΑΙΔ. Ἐγώ σοι ἐξ ἀρχῆς πάντα πειράσομαι διηγήσασθαι. Αἰεὶ γὰρ δὴ καὶ τὰς πρόσθεν ἡμέρας εἰώθειμεν φοιτᾶν καὶ ἐγὼ καὶ οἱ ἄλλοι παρὰ τὸν Σωκράτη, ξυλλεγόμενοι ἕωθεν εἰς τὸ δικαστήριον, ἐν ᾧ καὶ ἡ δίκη ἐγένετο· πλησίον γὰρ ἦν[19] τοῦ δεσμωτηρίου. Περιεμένομεν οὖν ἑκάστοτε ἕως ἀνοιχθείη τὸ δεσμωτήριον, διατρίβοντες μετ' ἀλλήλων· ἀνεῴγετο γὰρ οὐ πρωΐ. Ἐπειδὴ δὲ ἀνοιχθείη, ἤειμεν παρὰ τὸν Σωκράτη, καὶ τὰ πολλὰ διημερεύομεν μετ' αὐτοῦ. Καὶ δὴ καὶ τότε πρωΐαίτερον ξυνελέγημεν, τῇ γὰρ προτεραίᾳ ἡμέρᾳ, ἐπειδὴ ἐξήλθομεν ἐκ τοῦ δεσμωτηρίου ἑσπέρας, ἐπυθόμεθα ὅτι τὸ πλοῖον ἐκ Δήλου ἀφιγμένον εἴη. Παρηγγείλαμεν οὖν ἀλλήλοις ἥκειν ὡς πρωΐαίτατα εἰς τὸ εἰωθός[20]· καὶ ἥκομεν· καὶ ἡμῖν ἐξελθὼν ὁ θυρωρὸς, ὃς περ εἰώθει ὑπακούειν, εἶπεν ἐπιμένειν, καὶ μὴ πρότερον παριέναι ἕως ἂν αὐτὸς κελεύσῃ. Λύουσι γάρ, ἔφη, οἱ Ἕνδεκα[21] Σωκράτη, καὶ παραγγέλλουσιν ὅπως ἂν τῇδε τῇ ἡμέρᾳ τελευτᾷ. Οὐ πολὺν δ' οὖν χρόνον ἐπισχὼν ἦκε, καὶ ἐκέλευσεν ἡμᾶς εἰσιέναι. Εἰσιόντες οὖν κατελαμβάνομεν τὸν μὲν Σωκράτη ἄρτι λελυμένον, τὴν δὲ Ξανθίππην (γιγνώσκεις γὰρ[22]) ἔχουσάν τε τὸ παιδίον[23] αὐτοῦ καὶ παρακαθημένην. Ὡς οὖν εἶδεν ἡμᾶς ἡ Ξανθίππη, ἀνευφήμησέ τε, καὶ τοιαῦτα ἄττα εἶπεν, οἷα δὴ εἰώθασιν αἱ γυναῖκες, « Ὅτι, » ὦ Σώκρατες, ὕστατον δή σε προσεροῦσι νῦν οἱ ἐπιτήδειοι, καὶ σὺ τού- » τους ». Καὶ ὁ Σωκράτης, βλέψας εἰς τὸν Κρίτωνα, Ὦ Κρίτων, ἔφη, ἀπαγέτω τις ταύτην οἴκαδε. Καὶ ἐκείνην μὲν ἀπῆγόν τινες τῶν τοῦ Κρίτωνος, βοῶσάν τε καὶ κοπτομένην· ὁ δὲ Σωκράτης, ἀνακαθιζόμενος εἰς τὴν κλίνην, ξυνέκαμψέ τε τὸ σκέλος, καὶ ἔτριψε τῇ χειρί· καὶ τρίβων ἅμα, Ὡς ἄτοπον, ἔφη, ὦ ἄνδρες, ἔοικέ τι εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε[24] πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν· τῷ ἅμα μὲν αὐτὼ μὴ θέλειν παραγίγνεσθαι τῷ ἀνθρώπῳ, ἐὰν δέ τις διώκῃ τὸ ἕτε- ρον καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεσθαι ἀεὶ λαμβάνειν καὶ τὸ ἕτερον, ὥσπερ ἐκ μιᾶς κορυφῆς ἡμμένω δύ' ὄντε. Καί μοι δοκεῖ, ἔφη, εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν ξυνθεῖναι, ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ ἠδύνατο, ξυνῆψεν εἰς ταὐτὸ αὐτῶν τὰς κο- ρυφάς. Καὶ διὰ ταῦτα ᾧ ἂν τὸ ἕτερον παραγένηται, ἐπακολουθεῖ ὕστερον καὶ τὸ ἕτερον· ὥσπερ οὖν καὶ αὐτῷ μοι ἔοικεν· ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν ἐν τῷ σκέλει τὸ ἀλγεινόν, ἥκειν δὴ φαίνεται ἐπακολουθοῦν τὸ ἡδύ.

Ὁ οὖν Κέβης ὑπολαβών, Νὴ τὸν Δία, ἔφη, ὦ Σώκρατες, εὖ γ' ἐποίησας

---

[19]) Τὸ δικαστήριον ἐν ᾧ ἐγένετο ἡ δίκη. [20]) Μέρος, τὸ δεσμωτήριον δηλ. [21]) Ἄρ- χοντες ἐπιτετραμμένοι τὰ κατὰ τὰς ἐκτελέσεις τῶν ποινῶν καὶ ἄλλα τῆς εὐτονομίας καθήκοντα. [22]) Ἠξεύρει βέβαια ποίαν λέγω, τὴν γυναῖκα τοῦ Σωκράτους. [23]) Τὸ μι- κρότερον, τὸ ὁποῖον ἐκράτει διὰ τοῦτο εἰς τὰς ἀγκάλας της. [24]) Πέφυκε πρὸς, συμπέ- φυκεν, ἔχει σχέσιν. [25]) Τονίσας εἰς στιχηρὰ μέτρα, στιχουργήσας. Παράδοξον πῶς δὲν διεσώθησαν οἱ ὑπὸ τοῦ Σωκράτους στιχουργηθέντες οὗτοι Αἰσώπειοι μῦθοι, καὶ φαίνε- ται πιθανὸν ὅτι ὁ Πλάτων, ὁ τόσον δύσκολος περὶ τὰς ποιήσεις, ὥστε κατέκαυσε καὶ τὰς ἰδικάς του, πολὺ ὀλιγώτερον ἔμελλε ν' ἀφήσῃ νὰ δημοσιευθοῦν αἱ τοῦ διδασκάλου του,

ἀναμνήσας με. Περὶ γάρ τοι τῶν ποιημάτων ὧν πεποίηκας, ἐντεῦθεν[28] τοὺς τοῦ Αἰσώπου λόγους καὶ τὸ εἰς τὸν Ἀπόλλω προοίμιον, καὶ ἄλλοι τινές με ἤδη ἤροντο, ἀτὰρ καὶ Εὐηνός πρώην, ὅ,τί ποτε διανοηθείς, ἐπειδὴ δεῦρο ἦλθες, ἐποίησας αὐτά, πρότερον οὐδὲν πώποτε ποιήσας. Εἰ οὖν τί σοι μέλει τοῦ ἔχειν με Εὐηνῷ ἀποκρίνεσθαι, ὅταν μὲ αὖθις ἐρωτᾷ (εὖ οἶδα γὰρ ὅτι ἐρήσεται), εἰπὲ τί χρὴ λέγειν. Λέγε τοίνυν, ἔφη, αὐτῷ, ὦ Κέβης, τἀληθῆ, ὅτι οὐκ ἐκείνῳ βουλόμενος οὐδὲ τοῖς ποιήμασιν αὐτοῦ ἀντίτεχνος εἶναι ἐποίησα ταῦτα (ᾔδειν γὰρ ὡς οὐ ῥᾴδιον εἴη)· ἀλλ' ἐνυπνίων τινῶν ἀποπειρώμενος τί λέγοι, καὶ ἀφοσιούμενος, εἰ ἄρα πολλάκις ταύτην τὴν μουσικὴν μοι ἐπιτάττοι ποιεῖν. Ἦν γὰρ δὴ ἄττα τοιάδε· πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον ἐν τῷ παρελθόντι βίῳ, ἄλλοτ' ἐν ἄλλῃ ὄψει φαινόμενον, τὰ αὐτὰ δὲ λέγον, « Ὦ Σώκρατες, ἔφη, μουσικὴν ποίει καὶ ἐργάζου ». Καὶ ἐγὼ ἓν γε τῷ πρόσθεν χρόνῳ, ὅπερ ἔπραττον, τοῦτο ὑπελάμβανον αὐτό μοι παρακελεύεσθαί τε καὶ ἐπικελεύειν, ὥσπερ οἱ τοῖς θέουσι διακελευόμενοι· καὶ ἐμοὶ οὕτω τὸ ἐνύπνιον, ὅπερ ἔπραττον, τοῦτο ἐπικελεύειν, μουσικὴν ποιεῖν· ὡς φιλοσοφίας μὲν οὔσης μεγίστης μουσικῆς, ἐμοῦ δὲ τοῦτο πράττοντος. Νῦν δ' ἐπειδὴ ἥτε δίκη ἐγένετο, καὶ ἡ τοῦ θεοῦ ἑορτὴ διεκώλυέ με ἀποθνήσκειν, ἔδοξε χρῆναι, εἰ ἄρα πολλάκις μοι προστάττοι τὸ ἐνύπνιον ταύτην τὴν δημώδη μουσικὴν ποιεῖν, μὴ ἀπειθήσαι αὐτῷ, ἀλλὰ ποιεῖν· ἀσφαλέστερον γὰρ εἶναι μὴ ἀπιέναι[29] πρὶν ἀφοσιώσασθαι ποιήσαντα ποιήματα, πειθόμενον τῷ ἐνυπνίῳ. Οὕτω δὴ πρῶτον μὲν εἰς τὸν θεὸν ἐποίησα, οὗ ἦν ἡ παροῦσα θυσία· μετὰ δὲ τὸν θεόν, ἐννοήσας ὅτι τὸν ποιητὴν δέοι, εἴπερ μέλλοι ποιητὴς εἶναι, ποιεῖν μύθους ἀλλ' οὐ λόγους, καὶ αὐτὸς οὐκ ἦν μυθολογικός, διὰ ταῦτα, οὓς προχείρους εἶχον καὶ ἠπιστάμην μύθους τοὺς Αἰσώπου, τούτων ἐποίησα οἷς πρώτοις ἐνέτυχον.

Ταῦτα οὖν, ὦ Κέβης, Εὐηνῷ φράζε, καὶ ἐρρῶσθαι, καί, ἂν σωφρονῇ, ἐμὲ διώκειν. Ἅπειμι δέ, ὡς ἔοικε, τήμερον· κελεύουσι γὰρ οἱ Ἀθηναῖοι. Καὶ ὁ Σιμμίας, Οἷον παρακελεύῃ, ἔφη, τοῦτο, ὦ Σώκρατες, Εὐηνῷ! πολλὰ γὰρ ἤδη ἐντετύχηκα τῷ ἀνδρί· σχεδὸν οὖν, ἐξ ὧν ἐγὼ ἠσθημαι, οὐδ' ὁπωστιοῦν ἂν σοι ἑκὼν εἶναι πείσεται. Τί δαί, ἦ δ' ὅς, οὐ φιλόσοφος Εὐηνός; Ἔμοιγε δοκεῖ, ἔφη ὁ Σιμμίας. Ἐθελήσει[27] τοίνυν καὶ Εὐηνός, καὶ πᾶς ὅτῳ ἀξίως τούτου τοῦ πράγματος[28] μέτεστιν. Οὐ μέντοι ἴσως βιάσεται αὑτόν· οὐ γάρ φασι θεμιτὸν εἶναι. Καὶ ἅμα λέγων ταῦτα, καθῆκε τὰ σκέλη ἀπὸ τῆς κλίνης[29] ἐπὶ τὴν γῆν· καὶ καθεζόμενος, οὕτως ἤδη τὰ λοιπὰ διελέγετο. Ἤρετο οὖν αὐτὸν ὁ Κέβης, Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, τὸ μὴ θεμιτὸν εἶναι ἑαυτὸν βιάζεσθαι, ἐθέλειν δ' ἂν τῷ ἀποθνήσκοντι τὸν φιλόσοφον ἕπεσθαι; Τί δαί, ὦ Κέβης; οὐκ ἀκηκόατε σύ τε καὶ Σιμμίας περὶ τῶν τοιούτων, Φιλολάῳ[30] ξυγγεγονότες; Οὐδέν γε σαφές, ὦ Σώκρατες. — Ἀλλὰ μὴν καὶ ἐγὼ ἐξ ἀκοῆς περὶ αὐτῶν λέγω· ἃ μέντοι τυγχάνω ἀκηκοώς, φθόνος οὐδεὶς λέ-

---

[26]) Εἰς ᾅδου. [27]) Πεισθῆναί μοι. [28]) Τῆς φιλοσοφίας. [29]) Ἀνέλαβε σχῆμα σεμνότερον, ὡς περὶ σπουδαιοτάτου ζητήματος μέλλων διαλέγεσθαι. [30]) Πυθαγόρειος οὗτος φιλόσοφος Κροτωνιάτης μαθητὴς τοῦ Ἄρχύτου, φυγὼν ἐξ Ἰταλίας εἰς Θήβας, διὰ τὸν ἐμπρησμὸν τῆς ἐν Ἰταλίᾳ Πυθαγορείου Σχολῆς (τοῦ Ὁμακοίου).

γειν. Καὶ γὰρ ἴσως καὶ μάλιστα πρέπει μέλλοντα ἐκεῖσε ἀποδημεῖν, διασκοπεῖν τε καὶ μυθολογεῖν περὶ τῆς ἀποδημίας τῆς ἐκεῖ, ποίαν τινὰ οἰόμεθα αὐτὴν εἶναι. Τί γὰρ ἄν τις καὶ ποιοῖ ἄλλο ἐν τῷ μέχρι ἡλίου δυσμῶν[84] χρόνῳ;

Κατὰ τί δὴ οὖν ποτε οὔ φασι θεμιτὸν εἶναι αὐτὸν ἑαυτὸν ἀποκτιννύναι, ὦ Σώκρατες; ἦ γὰρ ἔγωγε, ὅπερ νῦν δὴ σὺ ἤρου, καὶ Φιλολάου ἤκουσα, ὅτε παρ' ἡμῖν διητᾶτο, ἦ δὲ καὶ ἄλλων τινῶν, ὡς οὐ δέοι τοῦτο ποιεῖν· σαφὲς δὲ περὶ αὐτῶν οὐδενὸς πώποτε οὐδὲν ἀκήκοα. Ἀλλὰ προθυμεῖσθαι[85] χρή, ἔφη, τάχα γὰρ ἂν καὶ ἀκούσαις. Ἴσως μέντοι θαυμαστόν σοι φανεῖται, εἰ τοῦτο[86] μόνον τῶν ἄλλων ἁπάντων[87] ἁπλοῦν ἐστι, καὶ οὐδέποτε τυγχάνει τῷ ἀνθρώπῳ, ὥσπερ καὶ τἆλλα, ἐστὶν ὅτε καὶ οἷς[88] βέλτιον τεθνάναι ἢ ζῆν· οἷς δὲ βέλτιον τεθνάναι, θαυμαστὸν ἴσως σοι φαίνεται, εἰ τούτοις τοῖς ἀνθρώποις μὴ ὅσιον αὐτοὺς ἑαυτοὺς εὖ ποιεῖν, ἀλλ' ἄλλον δὴ περιμένειν εὐεργέτην. Καὶ ὁ Κέβης ἡρέμα ἐπιγελάσας, Ἴττω Ζεύς[89], ἔφη, τῇ αὑτοῦ φωνῇ εἰπών. Καὶ γὰρ ἂν δόξειεν, ἔφη ὁ Σωκράτης, οὕτως[90] γ' εἶναι ἄλογον· οὐ μέντοι ἀλλ' ἴσως γ' ἔχει τινὰ λόγον. Ὁ μὲν οὖν ἐν ἀπορρήτοις[91] λεγόμενος περὶ αὐτῶν λόγος, ὃν Ὡς ἔν τινι φρουρᾷ ἐσμεν οἱ ἄνθρωποι, καὶ ὃν οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν, οὐδὲ ἀποδιδράσκειν, μέγας τε τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διϊδεῖν· οὐ μέντοι ἀλλὰ τόδε[92] γέ μοι δοκεῖ, ὦ Κέβης, εὖ λέγεσθαι, τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελουμένους, καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἓν τῶν κτημάτων τοῖς θεοῖς εἶναι· ἢ σοὶ οὐ δοκεῖ οὕτως; Ἔμοι γ', ἔφη ὁ Κέβης. Οὐκοῦν, ἦ δ' ὅς, καὶ σὺ ἂν τῶν σαυτοῦ κτημάτων εἴ τι αὐτὸ ἑαυτὸ ἀποκτιννύοι, μὴ σημήναντός σου ὅτι βούλει αὐτὸ τεθνάναι, χαλεπαίνοις ἂν αὐτῷ, καὶ εἴ τινα ἔχοις τιμωρίαν, τιμωροῖο ἄν; Πάνυ γ', ἔφη. Ἴσως τοίνυν ταύτῃ οὐκ ἄλογον, μὴ πρότερον αὐτὸν ἀποκτιννύναι δεῖν, πρὶν ἀνάγκην τινὰ ὁ θεὸς ἐπιπέμψῃ, ὥσπερ καὶ τὴν νῦν ἡμῖν παροῦσαν.

Ἀλλ' εἰκός, ἔφη ὁ Κέβης, τοῦτό γε φαίνεται· ὃ μέντοι νῦν δὴ ἔλεγες, τὸ τοὺς φιλοσόφους ῥᾳδίως ἂν ἐθέλειν ἀποθνήσκειν, ἔοικε τοῦτο, ὦ Σώκρατες, ἀτόπῳ· εἴπερ, ὃ νῦν δὴ ἐλέγομεν, εὐλόγως ἔχει, τὸ θεόν τε εἶναι τὸν ἐπιμελούμενον ἡμῶν, καὶ ἡμᾶς ἐκείνου κτήματα εἶναι. Τὸ γὰρ μὴ ἀγανακτεῖν τοὺς φρονιμωτάτους ἐκ ταύτης τῆς θεραπείας[93] ἀπιόντας, ἐν ᾗ ἐπιστατοῦσιν αὐτῶν οἵπερ ἄριστοί εἰσι τῶν ὄντων ἐπιστάται, θεοί, οὐκ ἔχει λόγον. Οὐ γάρ που αὐτός γε ἑαυτοῦ ἄμεινον οἴεται ἐπιμελεῖσθαι, ἐλεύθερος γενόμενος· ἀλλ' ἀνόητος μὲν ἄνθρωπος τάχ' ἂν οἰηθείη ταῦτα, φευκτέον εἶ-

---

84) Πρὸ τῆς δύσεως τοῦ ἡλίου δὲν ἐφονεύετο κανεὶς τῶν καταδίκων, τῷ ἐχαρίζετο δηλονότι ὁλόκληρος ἡ τελευταία ἡμέρα· ἴδε καὶ κατωτέρω. 85) Ἀκοῦσαι. 86) Ὁ θάνατος. 87) (Ἐκ) τῶν ἄλλων ἁπ. 88) Τὰ καθ' ἑαυτὰ μὲν ἀδιάφορα, σχετικῶς δὲ ἐκλαμβανόμενα ὡς καλὰ ἢ ὡς κακά, οἷον Πλοῦτος, Δόξα, Ἄφορος, κτλ. Ὁ δὲ θάνατος οὐδέποτε τυγχάνει ἐνίοτε μὲν καὶ ἐνίοις (ἔστιν ὅτε καὶ ἔστιν οἷς) ἀγαθόν, καὶ ἄλλοτε καὶ ἄλλοις κακόν, ἀλλὰ πάντοτε καὶ πᾶσιν ἁπλῶς, ἀγαθόν· ὃ καὶ παράδοξόν σοι ἴσως φανεῖται, καθὼς ἐπίσης παράδοξον, καὶ τὸ μὴ ὅσιον εἶναι τοὺς ἀγαθοὺς αὐτὸ οἰομένους μὴ αὐτοὺς ἑαυτοὺς εὖ ποιεῖν, ἀλλὰ κτλ. 89) Βοιωτικῶς (Δωρικοαιολικῶς) ἀντὶ Ἴσῳ, γ'· ἐν. πρόσ. τῆς προστ. τοῦ Οἶδα φράσις ἀναλογοῦσα μὲ τὸ « Κύριος οἶδε· Μάρτυς μου ὁ θεός· Κύριε ἐλέησον! κτλ. Ἐκφράζει δὲ τὴν ἀπορίαν τοῦ Κέβητος. 90) Ἐκ πρώτης ὄψεως θεωρούμενον. 91) Ἐκ τῶν τοῦ Ὀρφέως καὶ Πυθαγόρου μυστηρίων. 92) Τό δε μέν τοι, οὐ μέγα καὶ δύσκολον, ἀλλ' εὖ μοι λέγεσθαι δοκεῖ, τὸ θεοὺς κτλ. 93) Δουλείας.

ναι ἀπὸ τοῦ δεσπότου, καὶ οὐκ ἂν λογίζοιτο ὅτι οὐ δεῖ ἀπό γε τοῦ ἀγαθοῦ φεύγειν, ἀλλ' ὅτι μάλιστα παραμένειν· διὸ ἀλογίστως ἂν φεύγοι ὁ δὲ νοῦν ἔχων ἐπιθυμοῖ που ἂν ἀεὶ εἶναι παρὰ τῷ αὐτοῦ βελτίονι. Καίτοι οὕτως, ὦ Σώκρατες, τοὐναντίον εἶναι εἰκὸς ἢ ὃ νῦν δὴ ἐλέγετο. Τοὺς μὲν γὰρ φρονίμους, ἀγανακτεῖν ἀποθνήσκοντας πρέπει, τοὺς δ' ἄφρονας χαίρειν. Ἀκούσας οὖν ὁ Σωκράτης ἡσθῆναί τέ μοι ἔδοξε τῇ τοῦ Κέβητος πραγματείᾳ, καὶ ἐπιβλέψας εἰς ἡμᾶς, Αἰεί τοι, ἔφη, ὁ Κέβης λόγους τινὰς ἀνεύρηκε, καὶ οὐ πάνυ εὐθέως ἐθέλει πείθεσθαι ὅ,τι ἄν τις εἴπῃ. Καὶ ὁ Σιμμίας, Ἀλλὰ μήν, ἔφη, ὦ Σώκρατες, νῦν γε δοκεῖ τί μοι καὶ αὐτῷ[42] λέγειν Κέβης. Τί γὰρ ἂν βουλόμενοι ἄνδρες σοφοὶ ὡς ἀληθῶς δεσπότας ἀμείνους αὐτῶν φεύγοιεν, καὶ ῥᾳδίως ἀπαλλάττοιντο αὐτῶν; καί μοι δοκεῖ Κέβης εἰς σὲ τείνειν τὸν λόγον, ὅτι οὕτω ῥᾳδίως φέρεις καὶ ἡμᾶς ἀπολείπων, καὶ ἄρχοντας ἀγαθούς, ὡς αὐτὸς ὁμολογεῖς, θεούς. Δίκαια, ἔφη, λέγετε· οἶμαι γὰρ ὑμᾶς λέγειν ὅτι χρή με ἀπολογήσασθαι, ὥσπερ ἐν δικαστηρίῳ. Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας.

Φέρε δή, ἦ δ' ὅς, πειραθῶ πρὸς ὑμᾶς πιθανώτερον ἀπολογήσασθαι ἢ πρὸς τοὺς δικαστάς. Ἐγὼ γάρ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, εἰ μὲν μὴ ᾤμην ἥξειν πρῶτον μὲν παρὰ θεοὺς ἄλλους σοφούς τε καὶ ἀγαθούς, ἔπειτα καὶ παρ' ἀνθρώπους τετελευτηκότας ἀμείνους τῶν ἐνθάδε, ἠδίκουν ἄν, οὐκ ἀγανακτῶν τῷ θανάτῳ· νῦν δὲ, εὖ ἴστε ὅτι, παρ' ἄνδρας τε ἐλπίζω ἀφίξεσθαι ἀγαθούς· καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διϊσχυρισαίμην· ὅτι μέντοι παρὰ θεοὺς δεσπότας πάνυ ἀγαθοὺς ἥξειν[43], εὖ ἴστε ὅτι, εἴπερ τι ἄλλο τῶν τοιούτων, διϊσχυρισαίμην ἂν καὶ τοῦτο. Ὡς τε διὰ ταῦτα οὐχ ὁμοίως ἀγανακτῶ, ἀλλ' εὐέλπίς εἰμι εἶναί τι τοῖς τετελευτηκόσι, καὶ, ὥσπερ γε καὶ πάλαι λέγεται, πολὺ ἄμεινον τοῖς ἀγαθοῖς ἢ τοῖς κακοῖς. Τί οὖν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες; πότερον αὐτὸς ἔχων τὴν διάνοιαν ταύτην, ἐν νῷ ἔχεις ἀπιέναι, ἢ κἂν ἡμῖν μεταδώσεις; κοινὸν γὰρ δὴ ἔμοιγε δοκεῖ καὶ ἡμῖν εἶναι ἀγαθὸν τοῦτο· καὶ ἅμα σοι ἀπολογία ἐστὶν, ἐὰν, ἅπερ λέγεις, ἡμᾶς πείσῃς. Ἀλλὰ πειράσομαι, ἔφη. Πρῶτον δὲ Κρίτωνα τόνδε σκεψώμεθα, τί ἐστιν ὃ βούλεσθαί μοι δοκεῖ πάλαι εἰπεῖν. Τί δὲ, ὦ Σώκρατες, ἔφη ὁ Κρίτων, ἄλλο γε ἢ πάλαι μοι λέγει ὁ μέλλων σοι δώσειν τὸ φάρμακον, ὅτι χρή σοι φράζειν ὡς ἐλάχιστα διαλέγεσθαι; φησὶ γὰρ θερμαίνεσθαι μᾶλλον διαλεγομένους, δεῖν δὲ οὐδὲν τοιοῦτο προσφέρειν τῷ φαρμάκῳ[44]· εἰ δὲ μή, ἐνίοτε ἀναγκάζεσθαι καὶ δὶς καὶ τρὶς πίνειν τούς τι τοιοῦτο ποιοῦντας. Καὶ ὁ Σωκράτης, Ἔα, ἔφη, χαίρειν αὐτόν· ἀλλὰ μόνον τὸ ἑαυτοῦ παρασκευαζέτω, ὡς καὶ δὶς δώσων, ἐὰν δέῃ, καὶ τρίς. Ἀλλὰ σχεδὸν μέντοι ἤδειν, ἔφη ὁ Κρίτων· ἀλλά μοι πράγματα πάλαι παρέχει. Ἔα αὐτὸν, ἔφη· ἀλλ' ὑμῖν δὴ τοῖς δικασταῖς βούλομαι τὸν λόγον ἀποδοῦναι, ὡς μοι φαίνεται εἰκότως ἀνὴρ τῷ ὄντι ἐν φιλοσοφίᾳ διατρίψας τὸν βίον, θαρρεῖν μέλλων ἀποθανεῖσθαι, καὶ εὐέλπις εἶναι ἐκεῖ μέγιστα οἴεσθαι ἀγαθὰ, ἐπειδὰν τελευτήσῃ....

Ἀλλὰ τούτων δὴ ἕνεκα χρὴ ὧν διεληλύθαμεν, ὦ Σιμμία, πάντα ποιεῖν,

---

[42]) Νῦν γε καὶ ἐμοί αὐτῷ δοκεῖ τι λέγειν. [43]) Ὅτι (Ἐλπίζω) ἥξειν. [44]) Ὅθεν ὁ οἶνος ἐνομίζετο ἀντίδοτον τοῦ φαρμάκου τούτου.

ὥστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν. Καλὸν γὰρ τὸ ἆθλον, καὶ ἡ ἐλπὶς μεγάλη. Τὸ μὲν οὖν ταῦτα διϊσχυρίσασθαι οὕτως ἔχειν, ὡς ἐγὼ διελήλυθα, οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί· ὅτι μέντοι ἢ ταῦτ' ἐστὶν, ἢ τοιαῦτ' ἄττα, περὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰς οἰκήσεις[45], ἐπείπερ ἀθάνατόν γε ἡ ψυχὴ φαίνεται οὖσα, τοῦτο καὶ πρέπειν ἐμοὶ δοκεῖ, καὶ ἄξιον κινδυνεῦσαι, οἰομένῳ οὕτως ἔχειν. Καλὸς γὰρ ὁ κίνδυνος, καὶ χρὴ τὰ τοιαῦτα ὥσπερ ἐπᾴδειν ἑαυτῷ. Διὸ δὴ ἔγωγε καὶ πάλαι μηκύνω τὸν μῦθον. Ἀλλὰ τούτων δὴ ἕνεκα θαῤῥεῖν χρὴ περὶ τῇ αὐτοῦ ψυχῇ ἄνδρα, ὅστις ἐν τῷ βίῳ τὰς μὲν ἄλλας ἡδονὰς τὰς περὶ τὸ σῶμα καὶ τοὺς κόσμους[46] εἴασε χαίρειν, ὡς ἀλλοτρίους τε ὄντας, καὶ πλέον θάτερον[47] ἡγησάμενος ἀπεργάζεσθαι· τὰς[48] δὲ περὶ τὸ μανθάνειν ἐσπούδασέ τε, καὶ κοσμήσας τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ ἀλλὰ τῷ αὐτῆς κόσμῳ, σωφροσύνῃ τε καὶ δικαιοσύνῃ καὶ ἀνδρίᾳ καὶ ἐλευθερίᾳ καὶ ἀληθείᾳ, οὕτω περιμένει τὴν εἰς Ἅιδου πορείαν, ὡς πορευσόμενος ὅταν ἡ εἱμαρμένη καλῇ. Ὑμεῖς μὲν οὖν, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, καὶ οἱ ἄλλοι, εἰσαῦθις ἔν τινι χρόνῳ ἕκαστοι πορεύσεσθε· ἐμὲ δὲ νῦν ἤδη καλεῖ, φαίη ἂν ἀνὴρ τραγικὸς[49], ἡ εἱμαρμένη, καὶ σχεδόν τί μοι ὥρα τραπέσθαι πρὸς τὸ λουτρόν. Δοκεῖ γὰρ ἤδη βέλτιον εἶναι λουσάμενον πιεῖν τὸ φάρμακον, καὶ μὴ πράγματα ταῖς γυναιξὶ παρέχειν νεκρὸν λούειν.

Ταῦτα δὴ εἰπόντος αὐτοῦ, ὁ Κρίτων, Εἶεν, ἔφη, ὦ Σώκρατες· τί δὲ τούτοις ἢ ἐμοὶ ἐπιτέλλῃ, ἢ περὶ τῶν παίδων, ἢ περὶ ἄλλου του, ὅτι ἂν σοὶ ποιοῦντες ἡμεῖς, ἐν χάριτι μάλιστα ποιοῖμεν; Ἅπερ ἀεὶ λέγω, ἔφη, ὦ Κρίτων· οὐδὲν καινότερον· ὅτι ὑμῶν αὐτῶν ἐπιμελούμενοι ὑμεῖς, καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς καὶ ὑμῖν αὐτοῖς ἐν χάριτι ποιήσετε ἅττ' ἂν ποιῆτε, κἂν μὴ νῦν ὁμολογήσητε· ἐὰν δὲ ὑμῶν μὲν αὐτῶν ἀμελῆτε, καὶ μὴ θέλητε, ὥσπερ κατ' ἴχνη, κατὰ τὰ νῦν τε εἰρημένα καὶ τὰ ἐν τῷ ἔμπροσθεν χρόνῳ, ζῆν, οὐδὲ ἐὰν πολλὰ ὁμολογήσητε ἐν τῷ παρόντι καὶ σφόδρα, οὐδὲν πλέον ποιήσετε. Ταῦτα μὲν τοίνυν προθυμησόμεθα, ἔφη, οὕτω ποιεῖν· θάπτωμεν δὲ τίνα σε τρόπον; Ὅπως ἄν, ἔφη, βούλησθε· ἐάν περ γε λάθητέ με, καὶ μὴ ἐκφύγω ὑμᾶς. Γελάσας δὲ ἅμα ἡσυχῇ, καὶ πρὸς ἡμᾶς ἀποβλέψας, εἶπεν, Οὐ πείθω, ἔφη, ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμι οὗτος ὁ Σωκράτης ὁ νυνὶ διαλεγόμενος, καὶ διατάττων ἕκαστα τῶν λεγομένων· ἀλλ' οἴεταί με ἐκεῖνον εἶναι ὃν ὄψεται ὀλίγον ὕστερον νεκρὸν, καὶ ἐρωτᾷ δὴ πῶς με θάπτῃ. Ὅτι δὲ ἐγὼ πάλαι πολὺν λόγον πεποίημαι, ὡς ἐπειδὰν πίω τὸ φάρμακον, οὐκέτι ὑμῖν παραμενῶ, ἀλλ' οἰχήσομαι ἀπιὼν εἰς μακάρων δή τινας εὐδαιμονίας, ταῦτά μοι δοκῶ αὐτῷ ἄλλως λέγειν, παραμυθούμενος ἅμα μὲν ὑμᾶς, ἅμα δ' ἐμαυτόν. Ἐγγυήσασθε οὖν με πρὸς Κρίτωνα, ἔφη, τὴν ἐναν-

---

45) Τὰς μετὰ τὸν ἐνταῦθα βίον διαφόρους τῆς ψυχῆς διαμονάς. 46) Τοὺς περὶ τὸ σῶμα, τὰ κοσμήματα τοῦ σώματος. 47) Τὸ ἕτερον μέρος ἑαυτοῦ, τὸ σῶμα δηλαδή. 48) (Ἐνν.) Ἡδονάς. 49) Ἴσως ἐννοεῖ τὸν Εὐριπίδην λέγοντα ἐν τῇ Ἀλκήστιδι, στίχ. 253. κ. ε.

« Νεκύων δὲ πορθμεὺς, ἔχων χέρ' ἐπὶ κοντῷ,
» Χάρων μ' ἤδη καλεῖ· τί μέλλεις;
» Ἐπείγου ».

τίαν ἐγγύην, ἢ ἦν οὗτος πρὸς τοὺς δικαστὰς ἠγγυᾶτο. Οὗτος μὲν γὰρ ἢ μὴν παραμενεῖν, ὑμεῖς δὲ ἢ μὴν μὴ παραμενεῖν ἐγγυήσασθε, ἐπειδὰν ἀποθάνω, ἀλλὰ οἰχήσεσθαι ἀπιόντα, ἵνα Κρίτων ῥᾷον φέρῃ, καὶ μὴ, ὁρῶν μου τὸ σῶμα ἢ καόμενον ἢ κατορυττόμενον, ἀγανακτῇ ὑπὲρ ἐμοῦ, ὡς δεινὰ ἅττα πάσχοντος, μηδὲ λέγῃ ἐν τῇ ταφῇ, ὡς ἢ προτίθεται Σωκράτη, ἢ ἐκφέρει, ἢ κατορύττει. Εὖ γὰρ ἴσθι, ἦ δ' ὅς, ὦ ἄριστε Κρίτων, τὸ μὴ καλῶς λέγειν, οὐ μόνον εἰς αὐτὸ τοῦτο πλημμελὲς, ἀλλὰ καὶ κακόν τι ἐμποιεῖ ταῖς ψυχαῖς. Ἀλλὰ θαῤῥεῖν τε χρὴ, καὶ φάναι τοὐμὸν σῶμα θάπτειν, καὶ θάπτειν οὕτως, ὅπως ἂν σοι φίλον ᾖ, καὶ μάλιστα ἡγῇ νόμιμον εἶναι.

Ταῦτ' εἰπὼν, ἐκεῖνος μὲν ἀνίστατο[50] εἰς οἴκημά τι ὡς λουσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ, ἡμᾶς δ' ἐκέλευε περιμένειν. Περιεμένομεν οὖν, πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων, καὶ ἀνασκοποῦντες· τοτὲ δ' αὖ περὶ τῆς ξυμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγούμενοι, ὥσπερ πατρὸς στερηθέντες, διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον. Ἐπειδὴ δὲ ἐλούσατο, καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία (δύω γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας), καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ Κρίτωνος διαλεχθείς τε καὶ ἐπιστείλας[51] ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπιέναι ἐκέλευσεν, αὐτὸς δὲ ἦκε παρ' ἡμᾶς. Καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν· χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. Ἐλθὼν δ' ἐκαθέζετο λελουμένος· καὶ οὐ πολλὰ ἅττα μετὰ ταῦτα διελέχθη. Καὶ ἦκεν ὁ τῶν Ἕνδεκα ὑπηρέτης· καὶ στὰς παρ' αὐτὸν, Ὦ Σώκρατες, ἔφη, οὐ καταγνώσομαί γέ σου ὅπερ ἄλλων καταγιγνώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγείλω πίνειν τὸ φάρμακον, ἀναγκαζόντων τῶν ἀρχόντων· σὲ δ' ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ τῷ χρόνῳ γενναιότατον καὶ πραότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφικομένων, καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις (γιγνώσκεις γὰρ τοὺς αἰτίους), ἀλλὰ ἐκείνους. Νῦν οὖν, (οἶσθα γὰρ ἃ ἦλθον ἀγγελῶν) χαῖρέ τε καὶ πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα[52]· καὶ ἅμα δακρύσας, μεταστρεφόμενος ἀπῄει. Καὶ ὁ Σωκράτης, ἀναβλέψας πρὸς αὐτὸν, Καὶ σὺ, ἔφη, χαῖρε, καὶ ἡμεῖς ταῦτα ποιησομεν. Καὶ ἅμα πρὸς ἡμᾶς, Ὡς ἀστεῖος[53], ἔφη, ὁ ἄνθρωπος· καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῄει, καὶ διελέγετο ἐνίοτε, καὶ ἦν ἀνδρῶν λῷστος· καὶ νῦν ὡς γενναίως με ἀποδακρύει. Ἀλλ' ἄγε δὴ, ὦ Κρίτων, πειθώμεθα αὐτῷ, καὶ ἐνεγκάτω τις τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μὴ, τριψάτω ὁ ἄνθρωπος[54]. Καὶ ὁ Κρίτων, Ἀλλ' οἶμαι, ἔφη, ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσι, καὶ οὔπω δεδυκέναι· καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν παραγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα, καὶ ξυγγενομένους γ' ἐνίους ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες· ἀλλὰ μηδὲν ἐπείγου ἔτι γὰρ ἐγχωρεῖ[55]. Καὶ ὁ Σωκράτης, Εἰκότως γ', ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν, οὓς σὺ λέγεις

---

50) (Ἕνν.) Πορευσάμενος. 51) Ἴσως, Ἐπιτείλας καθὼς καὶ ἀνωτέρω: « Τί δὲ σούσις, ἦ ἐμοὶ ἐπιτέλλῃ »: 52) Τὰ ἐξ ἀνάγκης. 53) Καθὼς λέγομεν τώρα, Εὐγενικὸς, πολιτικὸς, ὑποχρεωτικός. 54) Ὁ διωρισμένος ἐπὶ τούτῳ, ὁ ὑπηρέτης ὢν Ἕνδεκα, ὁ ἅλλως Δήμιος ἢ Δημόσιος. 55) Μὴ ἐπείγεσθαι.

(οἶονται γὰρ κερδανεῖν ταῦτα ποιήσαντες), καὶ ἔγωγε εἰκότως ταῦτα οὐ ποιήσω· οὐδὲν γὰρ οἶμαι κερδαίνειν, ὀλίγον ὕστερον πιὼν, ἄλλο γε ἢ γέλωτα ὀφλήσειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος, οὐδενὸς ἔτι ἐνόντος. Ἀλλ' ἴθι, ἔφη, πείθου, καὶ μὴ ἄλλως ποίει.

Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι· καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας, ἦκεν ἄγων τὸν μέλλοντα δώσειν τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον. Ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον, Εἶεν, ἔφη, ὦ βέλτιστε (σὺ γὰρ[56] τούτων ἐπιστήμων), τί χρὴ ποιεῖν; Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιϊέναι, ἕως ἂν σου βάρος ἐν ταῖς σκέλεσι γένηται· ἔπειτα κατακεῖσθαι· καὶ οὕτως αὐτὸ[57] ποιήσει· καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει. Καὶ ὃς λαβὼν, καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας, οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ' ὥσπερ εἰώθει ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον, Τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ πόματος, πρὸς τὸ ἀποσπεῖσαί τινι; ἔξεστιν, ἢ οὔ; Τοσοῦτον, ἔφη, ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν. Μανθάνω, ἦ δ' ὅς· ἀλλ' εὔχεσθαί γέ που τοῖς θεοῖς ἔξεστί τε καὶ χρή, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε, καὶ γένοιτο ταύτῃ. Καὶ ἅμα εἰπὼν ταῦτα, ἐπισχόμενος[58], καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιε. Καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς[59] οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν· ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι. Ἀλλ' ἐμοῦ γε καὶ αὐτοῦ βίᾳ καὶ ἀστακτὶ[60] ἐχώρει τὰ δάκρυα, ὥστε ἐγκαλυψάμενος ἀπέκλαιον ἐμαυτόν· οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην, οἷου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. Ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη. Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος, κλαίων καὶ ἀγανακτῶν, οὐδένα ὄντινα οὐ κατέκλασε τῶν παρόντων, πλήν γε αὐτοῦ Σωκράτους. Ἐκεῖνος δὲ, Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι. Ἐγὼ μέντοι οὐχ ἥκιστα[61] τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ[62] χρὴ τελευτᾶν· ἀλλ' ἡσυχίαν τε ἄγετε, καὶ καρτερεῖτε. Καὶ ἡμεῖς ἀκούσαντες ἠσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. Ὁ δὲ περιελθὼν, ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος· οὕτω γὰρ ἐκέλευσεν ὁ ἄνθρωπος· καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον, ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα, ἤρετο εἰ αἰσθάνοιτο· ὁ δ' οὐκ ἔφη· καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας· καὶ αὐτὸς[64] ἥπτετο, καὶ εἶπεν, ὅτι ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. Ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα· καὶ

---

56) Ὁ Γὰρ Προαιτιολογικὸς τοῦ ἐρωτήματος Τί χρὴ ποιεῖν; 57) Μόνον του τὸ φάρμακον θὰ ἐνεργήσῃ. 58) Πλησιάσας τὴν κύλικα εἰς τὸ στόμα του. 59) Μόλις 60) Ἐμοῦ γε αὐτοῦ βίᾳ καὶ ἀστακτὶ (κρουνηδόν). 61) Ἀντὶ τοῦ Μάλιστα. 62) Εὐσχήμως, εὐφήμως, ὡς ἀγαθοῦ καὶ ἱεροῦ τοῦ πράγματος ὄντος, κατὰ τοὺς Πυθαγορείους. 63) Προχωρῶν βαθμηδὸν τὴν χεῖρα εἰς τὰ ἄνω μέρη τοῦ σώματος. 64) Διορθοῦσί τινες: Αὖθις.

ἐκκαλυψάμενος (ἐνεκεκάλυπτο γὰρ), εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο· Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλὰ ἀπόδοτε, καὶ μὴ ἀμελήσητε[65]. Ἀλλὰ ταῦτα ἔσται, ἔφη ὁ Κρίτων· ἀλλ' ὅρα εἴ τι ἄλλο λέγεις. Ταῦτα ἐρομένου αὐτοῦ, οὐδὲν ἔτι ἀπεκρίνατο· ἀλλ' ὀλίγον χρόνον διαλιπὼν, ἐκινήθη τε, καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν· καὶ ὃς τὰ ὄμματα ἔστησεν[66]. Ἰδὼν δὲ ὁ Κρίτων ξυνέλαβε τὸ στόμα τε καὶ τοὺς ὀφθαλμούς.

Ἥδε ἡ τελευτὴ, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρὸς, ὡς ἡμεῖς φαῖμεν ἂν, τῶν τότε ὧν ἐπειράθημεν ἀρίστου, καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.

---

65) Περὶ τῆς τελευταίας ταύτης ἐντολῆς τοῦ Σωκράτους πολὺς ἀνέκαθεν μεταξὺ τῶν σοφῶν ὅλων τῶν ἐθνῶν, καὶ ἰδίως τῶν ἐκκλησιαστικῶν, ἐγένετο λόγος, καὶ οἱ πλεῖστοι, ἐκλαμβάνοντες τῷ ὄντι σπουδαίαν τὴν παραγγελίαν ταύτην τοῦ Σωκράτους, τὸν κατηγόρησαν ὡς μωρόπιστον καὶ δεισιδαίμονα. Ἀλλ' ὁ πρεσβύτερος υἱὸς τοῦ Racine, γράφων πρὸς τὸν ἀδελφόν του, λέγει, καὶ ἔχει νομίζω δίκαιον, ὅτι εἶναι ἁπλῆ εἰρωνεία, ἀναλογοῦσα κατά τι μὲ τὴν καθ' ἡμᾶς δημώδη ταύτην φράσιν, Εὐθηνὰ τὰ γλυτώσαμεν! Λαμπάδα πρέπει νὰ ἀνάψωμεν εἰς... κτλ. 66) Ἐστύλωσε τὰ ἐμμάτια του, λέγομεν κοινῶς διὰ τοὺς ἀκινητοῦντας τῶν ἀποθνησκόντων ὀφθαλμούς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΛΑΤΩΝΟΣ ΜΕΝΕΞΕΝΟΣ

Η

ΕΠΙΤΑΦΙΟΣ.

Μενέξενος μὲν ἐπιγράφεται ὁ διάλογος οὗτος, διότι τὸν Μενέξενον, υἱὸν τοῦ Δημοφῶντος, καὶ ἀνεψιὸν Κτησίππου τοῦ Παιανιέως, ὑποτίθεται διαλεγόμενον τῷ Σωκράτει ὁ Πλάτων· ἐπιτάφιος, δέ, διότι συνετέθη πρὸς τιμὴν τῶν ὑπὲρ πατρίδος πεσόντων, τῶν ὁποίων κατ' ἔτος οἱ Ἀθηναῖοι ἐτέλων τὰς ταφάς, ἢ, καθὼς λέγομεν τώρα, τὸ μνημόσυνον, τὸ ὁποῖον περιγράφει ὁ Θουκυδίδης. Θαυμάζεται δὲ παρὰ τῶν ἀρχαίων διὰ τὴν καλλιέπειάν του, καὶ εἶνε, κατὰ τὸν Διονύσιον τὸν Ἁλικαρνασσέα, « Κράτιστος πάντων τῶν πολιτικῶν λόγων ὁ τοῦ Πλάτωνος.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ.

ΣΩΚΡΑΤΗΣ ΚΑΙ ΜΕΝΕΞΕΝΟΣ.

1. ΣΩΚ. Ἐξ ἀγορᾶς[1], ἢ πόθεν, Μενέξενος; — ΜΕΝ. Ἐξ ἀγορᾶς, ὦ Σώκρατες, καὶ ἀπὸ τοῦ βουλευτηρίου. — ΣΩΚ. Τί μάλιστα σὺ[2] πρὸς βουλευτήριον; ἢ δῆλα δὴ, ὅτι παιδεύσεως καὶ φιλοσοφίας ἐπὶ τέλει ἤγῃ εἶναι; καὶ, ὡς ἱκανῶς ἤδη ἔχων, ἐπὶ τὰ μείζω ἐπινοεῖς τρέπεσθαι, καὶ ἄρχειν ἡμῶν, ὦ θαυμάσιε, ἐπιχειρεῖς τῶν πρεσβυτέρων, τηλικοῦτος[3] ὤν; ἵνα μὴ ἐκλίπῃ ὑμῶν ἡ οἰκία ἀεί τινα ἡμῶν ἐπιμελητὴν παρεχομένη[4]; — ΜΕΝ. Ἐὰν σύ γε, ὦ Σώκρατες, ἐᾷς, καὶ συμβουλεύῃς ἄρχειν, προθυμήσομαι· εἰ δὲ μή, οὔ. Νῦν μέντοι ἀφικόμην πρὸς τὸ βουλευτήριον, πυθόμενος, ὅτι ἡ βουλὴ μέλλει αἱρεῖσθαι, ὅστις[5] ἐρεῖ ἐπὶ τοῖς ἀποθανοῦσι· ταφὰς[6] γὰρ οἶσθα ὅτι μέλλουσι ποιεῖν. — ΣΩΚ. Πάνυ γε· ἀλλὰ τίνα εἵλοντο; — ΜΕΝ. Οὐδένα, ἀλλ' ἀνεβάλοντο εἰς τὴν αὔριον· οἶμαι μέντοι Ἀρχῖνον ἢ Δίωνα αἱρεθήσεσθαι. — ΣΩΚ. Καὶ μήν, ὦ Μενέξενε, πολλαχοῦ[7] κινδυνεύει καλὸν εἶναι τὸ ἐν πολέμῳ ἀποθνήσκειν· καὶ γὰρ ταφῆς καλῆς τε καὶ μεγαλοπρεποῦς τυγχάνει[8], καὶ ἐὰν πένης τις ὢν τελευτήσῃ· καὶ ἐπαίνου οὗ ἔτυχε[9], καὶ ἐὰν φαῦλος[10] ᾖ, ὑπ' ἀνδρῶν σοφῶν τε καὶ οὐκ εἰκῇ[11] ἐπαινούντων, ἀλλὰ ἐκ πολ-

---

[1]) (Ἔνν.) Ἔρχεται, καθὼς ὁ εἰς τὴν ἀπόκρισιν: Ἔρχομαι. [2]) (Ἔνν.) βουλόμενος φοιτᾷς; Ἐὰν δὲ ὑποτεθῇ ὅτι ἐγράφετο Σοὶ, ἐννοητέον τότε: Ἔστι κοινόν. [3]) Τόσον νέος τῇ ἡλικίᾳ. [4]) Διότι ὁ Μενέξενος ἀνῆκεν εἰς ἀρχοντικὴν οἰκογένειαν (ἴδε τὸν τοῦ Πλάτωνος διάλογον τὸν ἐπιγραφόμενον Λύσιν). [5]) Τινὰ ὅρισ, διότι, κατὰ τὸν Θουκυδ. (Β', λδ'.), « Ἐπὰν δὲ κρύψωσι γῇ (τὰ σώματα τῶν φονευθέντων ἐν τῇ μάχῃ), ἀνὴρ ἠρημένος ὑπὸ τῆς πόλεως.. λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα. « [6]) Κηδείαν· ἴδε τὴν περιγραφὴν αὐτῆς παρὰ τῷ Θουκυδ. [7]) Πολλαχῶς, κατὰ πολλά. [8]) Ὁ τελευτήσας. [9]) Ὁ ἀόριστος ἀντὶ ἐνεστῶτος, κατ' ἀντιχρονισμόν, διὰ τὸ ὁμολογούμενον τοῦ πράγματος. [10]) Ἀσήμαντος. [11]) Ὅπως ἔτυχεν, ἐκ τοῦ προχείρου.

λοῦ χρόνου λόγους παρεσκευασμένων, οἳ[12] οὕτω καλῶς[13] ἐπαινοῦσιν, ὥστε καὶ τὰ προσόντα καὶ τὰ μὴ[14] περὶ ἑκάστου λέγοντες, κάλλιστά πως τοῖς ὀνόμασι ποικίλλοντες, γοητεύουσιν ἡμῶν τὰς ψυχὰς, καὶ τὴν πόλιν ἐγκωμιάζοντες κατὰ πάντας τρόπους, καὶ τοὺς τετελευτηκότας ἐν τῷ πολέμῳ καὶ τοὺς προγόνους ἡμῶν ἅπαντας τοὺς ἔμπροσθεν, καὶ αὐτοὺς ἡμᾶς τοὺς ἔτι ζῶντας ἐπαινοῦντες. Ὥστ' ἔγωγε, ὦ Μενέξενε, γενναίως πάνυ διατίθεμαι, ἐπαινούμενος ὑπ' αὐτῶν, καὶ ἑκάστοτε ἕστηκα ἀκροώμενος καὶ κηλούμενος, ἡγούμενος ἐν τῷ παραχρῆμα μείζων καὶ γενναιότερος καὶ καλλίων γεγονέναι· καὶ οἷα δὴ τὰ πολλὰ[15] ἀεὶ μετ' ἐμοῦ ξένοι τινὲς ἕπονται καὶ ξυνακροῶνται, πρὸς οὓς ἐγὼ σεμνότερος ἐν τῷ παραχρῆμα[16] γίνομαι. Καὶ γὰρ ἐκεῖνοι ταὐτὰ ταῦτα δοκοῦσί μοι πάσχειν καὶ πρὸς ἐμὲ καὶ πρὸς τὴν ἄλλην πόλιν, θαυμασιωτέραν αὐτὴν ἡγεῖσθαι εἶναι ἢ πρότερον, ὑπὸ τοῦ λέγοντος ἀναπειθόμενοι. Καί μοι αὕτη ἡ σεμνότης[17] παραμένει ἡμέρας πλείω ἢ τρεῖς· οὕτως ἔναυλος ὁ λόγος τε καὶ ὁ φθόγγος παρὰ τοῦ λέγοντος ἐνδύεται εἰς τὰ ὦτα, ὥστε μόγις τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ[18] ἀναμιμνήσκομαι ἐμαυτοῦ, καὶ αἰσθάνομαι οὖ γῆς[19] εἰμι· τέως δὲ οἶμαι μονονοὺκ ἐν μακάρων νήσοις οἰκεῖν. Οὕτως ἡμῖν οἱ ῥήτορες δεξιοὶ εἰσι! — ΜΕΝ. Αἰεὶ σὺ προσπαίζεις, ὦ Σώκρατες, τοὺς ῥήτορας· νῦν μέν τοι οἶμαι ἐγὼ τὸν αἱρεθέντα οὐ πάνυ εὐπορήσειν[20]· ἐξ ὑπογυίου γὰρ παντάπασιν ἡ αἵρεσις γέγονεν· ὥστε ἴσως ἀναγκασθήσεται ὁ λέγων ὥσπερ αὐτοσχεδιάζειν. — ΣΩΚ. Πόθεν[21], ὦ ἰαθέ; εἰσίν ἑκάστοις τούτων λόγοι παρεσκευασμένοι· καὶ ἅμα οὐδὲ αὐτοσχεδιάζειν τά γε τοιαῦτα χαλεπόν. Εἰ μὲν γὰρ δέοι Ἀθηναίους ἐν Πελοποννησίοις εὖ λέγειν, ἢ Πελοποννησίους ἐν Ἀθηναίοις, ἀγαθοῦ ἂν ῥήτορος δέοι τοῦ πείσοντος, καὶ εὐδοκιμήσοντος· ὅταν δέ τις ἐν τούτοις ἀγωνίζηται, οὗπερ καὶ ἐπαινεῖ, οὐδὲν μέγα δοκεῖ εὖ λέγειν.—ΜΕΝ. Οὐκ οἴει[22], ὦ Σώκρατες; — ΣΩΚ. Οὐ μέντοι, μὰ Δία. — ΜΕΝ. Ἢ[23] οἴει οἷός τ' ἂν εἶναι αὐτὸς εἰπεῖν, εἰ δέοι, καὶ ἕλοιτό σε ἡ βουλή; — ΣΩΚ. Καὶ ἔμοιγε μέν γε[24], ὦ Μενέξενε, οὐδὲν θαυμαστὸν, οἷμαι τ' εἶναι εἰπεῖν, ᾧ τυγχάνει διδάσκαλος οὖσα οὐ πάνυ φαύλη περὶ ῥητορικῆς, ἀλλ' ἥπερ καὶ ἄλλους πολλοὺς καὶ ἀγαθοὺς ἐποίησε ῥήτορας, ἕνα δὲ καὶ διαφέροντα τῶν Ἑλλήνων, Περικλέα τὸν Ξανθίππου[25]. — ΜΕΝ. Τίς αὕτη; ἢ δῆλον ὅτι Ἀσπασίαν λέγεις; — ΣΩΚ. Λέγω γὰρ, καὶ Κόννον γε τὸν Μητροβίου[25*]. Οὗτοι γάρ μοι δύο εἰσὶ διδάσκαλοι, ὁ μὲν μουσικῆς, ἡ δὲ ῥητορικῆς. Οὕτω μὲν οὖν τρεφόμενον ἄνδρα οὐδὲν θαυμαστὸν δεινὸν εἶναι λέγειν. Ἀλλὰ καὶ ὅστις ἐμοῦ κάκιον

---

[12]) Οἱ σοφοὶ οὗτοι ἄνδρες. [13]) Κατ' εἰρωνείαν, καθὼς ἡ ὅλα τὰ ἑξῆς. [14]) (Ἐνν.) Προσόντα. [15]) Καθὼς συμβαίνει ὡς ἐπὶ τὸ πλεῖστον. [16]) Διὰ μιᾶς. [17]) Τὸ ὕφος, ἡ σοβαρότης. [18]) (Ἐπὶ) τετ. ἢ πέμπ. ἡμ., μετὰ 4 καὶ 5 ἡμέρας. [19]) Τὸ μέρος ἐκεῖνο τῆς γῆς, ἐφ' οὗ εἰμί. [20]) (Ἐνν.) Λόγων. [21]) (Ἐνν.) Εἰκάζεις ἢ τεκμαίρῃ τοῦτο; [22]) (Ἐνν.) Εἶναι μέγα τοῦτο; [23]) Ἆρά γε. παρατηρητέα δὲ ἡ ἐκ τῆς ἐπαλληλίας τῶν φωνηέντων χασμῳδία, διὰ τὴν ὁποίαν ὅμως ἀδιαφοροῦσαν οἱ καθαυτὸ Ἀττικοὶ καὶ ὅλοι οἱ παλαιοί.

[24]) Ὁ Μέν γε βεβαιωτικὸς καὶ κολαστικός. [25]) Εἰς δοτικὴν ἐξήνεγκε ταῦτα, δέον κατ' αἰτιατικὴν, συμφωνήσας πρὸς τὸ Τυγχάνει οὖσα. [25*]) Λέγονται ταῦτα τῷ ὄντι περὶ τῆς Ἀσπασίας, ἀλλ' ὁ Πλάτων, φαίνεται, δὲν τὰ ἐπίστευεν, ὅθεν καὶ ἀστεΐζεται.

[25**]) Ἐπίσημον κιθαριστὴν, τὸν ὁποῖον ἀναφέρει ἡ ἐν τῷ Εὐθυδήμῳ, ὡς διδάσκαλον τοῦ Σωκράτους, εἰ καὶ Διογένης ὁ Λαέρτιος, Δάμωνα αὐτῷ διδάσκαλον τῆς μουσικῆς ἐπιφημίζει.

ἐπαιδεύθη, μουσικὴν μὲν ὑπὸ Λάμπρου παιδευθείς, ῥητορικὴν δὲ ὑπ' Ἀντιφῶντος τοῦ Ῥαμνουσίου[47], ὅμως κἂν οὗτος οἷός τ' εἴη Ἀθηναίους γε ἐν Ἀθηναίοις ἐπαινῶν εὐδοκιμεῖν.—ΜΕΝ. Καὶ τί ἂν ἔχοις εἰπεῖν, εἰ δέοι σε λέγειν;—ΣΩΚ. Αὐτὸς μὲν παρ' ἐμαυτοῦ ἴσως οὐδέν, Ἀσπασίας δὲ καὶ χθὲς ἠκροώμην περαινούσης ἐπιτάφιον λόγον περὶ αὐτῶν τούτων. Ἤκουσε γάρ, ἅπερ σὺ λέγεις, ὅτι μέλλοιεν Ἀθηναῖοι αἱρεῖσθαι τὸν ἐροῦντα· ἔπειτα τὰ μὲν ἐκ τοῦ παραχρῆμά μοι διῆει, οἷα δέοι λέγειν, τὰ δὲ πρότερον ἐσκεμμένη, ὅτε, μοι δοκεῖ, συνετίθει τὸν ἐπιτάφιον λόγον, ὃν Περικλῆς εἶπε[48], περιλείμματ'[49] ἄττα ἐξ ἐκείνου συγκολλῶσα.—ΜΕΝ. Ἦ καὶ μνημονεύσαις ἂν, ἃ ἔλεγεν Ἀσπασία;—ΣΩΚ. Εἰ μὴ ἀδικῶ γε[50]· ἐμάνθανον γέ τοι παρ' αὐτῆς, καὶ ὀλίγου[51] πληγὰς ἔλαβον, ὅτι ἐπελανθανόμην.—ΜΕΝ. Τί οὖν οὐ διῆλθες[52];—ΣΩΚ. Ἀλλ' ὅπως[53] μή μοι χαλεπανεῖ ἡ διδάσκαλος, ἂν ἐξενέγκω αὐτῆς τὸν λόγον.—ΜΕΝ. Μηδαμῶς[54], ὦ Σώκρατες, ἀλλ' εἰπὲ καὶ πάνυ μοι χαριεῖ, εἴτε Ἀσπασίας βούλει λέγειν, εἴτε ὁτουοῦν· ἀλλὰ μόνον εἰπέ.—ΣΩΚ. Ἀλλ' ἴσως μου καταγελάσει, ἂν σοι δόξω, πρεσβύτης ὤν, ἔτι παίζειν[55].—ΜΕΝ. Οὐδαμῶς[56], ὦ Σώκρατες, ἀλλ' εἰπὲ παντὶ τρόπῳ.—ΣΩΚ. Ἀλλὰ μέντοι σοί γε δεῖ χαρίζεσθαι, ὥστε κἂν ὀλίγου[57], εἰ με κελεύοις ἀποδύντα ὀρχήσασθαι, χαρισαίμην ἄν· ἐπειδή γε μόνῳ ἐσμέν· ἀλλ' ἄκουε. Ἔλεγε γάρ, ὡς ἐγῷμαι, ἀρξαμένη λέγειν ἀπ' αὐτῶν τῶν τεθνεώτων, οὑτωσί.

2. » Ἔργῳ μὲν[58a] ἡμῖν οἷδ' ἤδη ἔχουσι τὰ προσήκοντα σῴσιν αὐτοῖς· ὧν τυγχάντες πορεύονται τὴν εἱμαρμένην πορείαν, προπεμφθέντες κοινῇ μὲν ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ὑπὸ τῶν οἰκείων· λόγῳ δὲ δὴ τὸν λειπόμενον κόσμον ὅτε νόμος προστάττει ἀποδοῦναι τοῖς ἀνδράσι, καὶ χρή. Ἔργων γὰρ εὖ πραχθέντων, λόγῳ καλῶς ῥηθέντι μνήμη καὶ κόσμος τοῖς πράξασι γίνεται παρὰ τῶν ἀκουσάντων[57]. Δεῖ δὴ τοιούτου τινὸς λόγου, ὅστις τοὺς μὲν τετελευτηκότας ἱκανῶς ἐπαινέσεται, τοῖς δὲ ζῶσιν εὐμενῶς παραινέσεται, ἐκγόνοις μὲν καὶ ἀδελφοῖς μιμεῖσθαι τὴν τῶνδε ἀρετὴν παρακελευόμενος, πατέρας δὲ καὶ μητέρας, καὶ εἴτινες τῶν ἄνωθεν ἔτι προγόνων λείπονται, τούτους δὲ[58] παραμυθούμενος. Τίς οὖν ἂν ἡμῖν τοιοῦτος λόγος φανείη; ἢ πόθεν ἂν ὀρθῶς ἀρξαίμεθα ἄνδρας ἀγαθοὺς ἐπαινοῦντες, οἳ ζῶντές τε τοὺς ἑαυτῶν εὔφραινον δι' ἀρετήν, καὶ τὴν τελευτὴν ἀντὶ τῆς τῶν ζώντων σωτηρίας ἠλλάξαντο;

3. Δοκεῖ μοι χρῆναι, κατὰ φύσιν[59] ὥσπερ ἀγαθοὶ ἐγένοντο, οὕτω καὶ

---

[47]) Διδάσκαλος ὑπῆρξεν οὗτος τοῦ Θουκυδίδου, » Κράτιστος ἐνθυμηθῆναι γενόμενος, καὶ, ἃ ἂν γνοίη, εἰπεῖν «, Θουκυδ. Ὁ Πλάτων ὅμως δὲν τὸν εἶχε φαίνεται, εἰς τὴν αὐτὴν ὑπόληψιν. [48]) Ἴδε τὸν Θουκυδίδην. [49]) Δείψανα, περισσεύματα. [50]) Ὁ Γε βεβαιωτικὸς μάλιστα, ἂν δὲν ᾖμαι (καθὼς καὶ δὲν εἰμαι) ἄδικος. [51]) (Ἐνν.) Δεῖν, παρ' ὀλίγον, μόνον ὅτι δέν. [52]) Ἴσον τῷ: Οὐκ ἂν φθάνοις διερχόμενος. [53]) (Ἐνν.) Προσεκτέον ἢ Δέδοικα, τὸ δὲ Ὅπως μὴ=Μήπως. [54]) (Ἐνν.) Δέδιδι. [55]) Διότι οἱ πανηγυρικοὶ λόγοι δὲν ἐνομίζοντο σπουδαῖοι. [56]) (Ἐνν.) Καταγελάσομαί σου. [58a]) Κατὰ μίμησιν τοῦ Θουκυδίδου: » Εἴρηται λόγῳ κατὰ τὸν νόμον, ὅσα εἶχον πρόσφορα· καὶ ἔργῳ οἱ θαπτόμενοι τὰ μὲν ἤδη κεκόσμηνται κτλ. (Β', λέ.) [57]) Περιγενόηται ἡ φράσις: ὅταν τὰ μὲν ἔργα εὖ πραχθῶσιν, ὁ δὲ περὶ αὐτῶν λόγος καλῶς ῥηθῇ, τότε οἱ ἀκούσαντες χ' ἐμμένηται καὶ ἐπαινοῦσι τοὺς πράξαντας. [58]) Ὁ Δὲ ἐμφαντικός, = Δή. [59]) Τοῦτο ἐξηγεῖται ἀπὸ τὰ κατωτέρω: Διὰ τὸ φῦναι ἐξ ἀγαθῶν.

ἐπαινεῖν αὐτούς· ἀγαθοὶ δὲ ἐγένοντο διὰ τὸ φῦναι ἐξ ἀγαθῶν. Τὴν εὐγένειαν οὖν πρῶτον αὐτῶν ἐγκωμιάζωμεν, δεύτερον δὲ τροφήν τε καὶ παιδείαν· ἐπὶ δὲ τούτοις τὴν τῶν ἔργων πρᾶξιν ἐπιδείξωμεν, ὡς καλὴν καὶ ἀξίαν τούτων[40] ἀπεφήναντο. Τῆς δὲ εὐγενείας πρῶτον ὑπῆρξε τοῖς δε ἡ τῶν προγόνων γένεσις, οὐκ ἔπηλυς οὖσα, οὐδὲ τοὺς ἐκγόνους τούτους ἀποφηναμένη μετοικοῦντας ἐν τῇ χώρᾳ, ἄλλοθεν σφῶν[41] ἡκόντων, ἀλλ' αὐτόχθονας, καὶ τῷ ὄντι ἐν πατρίδι οἰκοῦντας καὶ ζῶντας· καὶ τρεφομένους οὐχ ὑπὸ μητρυιᾶς[41a], ὡς ἄλλοι, ἀλλ' ὑπὸ μητρός, τῆς χώρας, ἣν ᾤκουν καὶ νῦν κεῖσθαι[42] τελευτήσαντας ἐν οἰκείοις τόποις τῆς τεκούσης καὶ θρεψάσης καὶ ὑποδεξαμένης. Δικαιότατον δὴ κοσμῆσαι πρῶτον τὴν μητέρα αὐτήν· οὕτω γὰρ συμβαίνει ἅμα καὶ ἡ τῶν δε εὐγένεια κοσμουμένη[43]. Ἔστι δὲ ἀξία ἡ χώρα καὶ ὑπὸ πάντων ἀνθρώπων ἐπαινεῖσθαι, οὐ μόνον ὑφ' ἡμῶν, πολλαχῇ μὲν καὶ ἄλλῃ[43a], πρῶτον δὲ καὶ μέγιστον, ὅτι τυγχάνει οὖσα θεοφιλής· μαρτυρεῖ δὲ ἡμῶν τῷ λόγῳ ἡ τῶν ἀμφισβητησάντων περὶ αὐτῆς θεῶν[44] ἔρις τε καὶ κρίσις. Ἦν δὲ θεοὶ ἐπῄνεσαν, πῶς οὐχ ὑπ' ἀνθρώπων γε συμπάντων δικαία ἐπαινεῖσθαι; Δεύτερος δὲ ἔπαινος δικαίως ἂν αὐτῆς εἴη, ὅτι ἐν ἐκείνῳ τῷ χρόνῳ, ἐν ᾧ ἡ πᾶσα γῆ ἀνεδίδου καὶ ἔφυε ζῶα παντοδαπά, θηρία τε καὶ βοτά[45], ἐν τούτῳ ἡ ἡμετέρα θηρίων μὲν ἀγρίων ἄγονος καὶ καθαρὰ ἐφάνη, ἐξελέξατο δὲ τῶν ζώων καὶ ἐγέννησεν ἄνθρωπον, ὃ συνέσει τε ὑπερέχει τῶν ἄλλων καὶ δίκην καὶ θεοὺς μόνον νομίζει. Μέγα δὲ τεκμήριον τούτῳ τῷ λόγῳ, ὅτι[47] ἥδε ἔτεκεν ἡ γῆ τοὺς τῶνδέ τε καὶ ἡμετέρους προγόνους· πᾶν γὰρ τὸ τεκὸν τροφὴν ἔχει ἐπιτηδείαν ᾧ ἂν τέκῃ· ᾗ[48] καὶ γυνὴ δῆλη τεκοῦσά τε ἀληθῶς, καὶ μὴ[49], ἀλλ' ὑποβαλομένη, ἐὰν μὴ ἔχῃ πηγὰς τροφῆς τῷ γεννωμένῳ. Ὃ δὴ καὶ ἡ ἡμετέρα γῆ τε καὶ μήτηρ ἱκανὸν τεκμήριον παρέχεται, ὡς ἀνθρώπους γεννήσαμένη· μόνη γὰρ ἐν τῷ τότε[50] καὶ πρώτη τροφὴν ἀνθρωπείαν ἤνεγκε, τὸν τῶν πυρῶν καὶ κριθῶν καρπόν, ᾧ κάλλιστα καὶ ἄριστα τρέφεται τὸ ἀνθρώπειον γένος, ὡς τῷ ὄντι τοῦτο τὸ ζῶον αὕτη γεννήσαμένη. Μᾶλλον δὲ ὑπὲρ γῆς ἢ γυναικὸς προσήκει δέχεσθαι τοιαῦτα τεκμήρια· οὐ γὰρ γῇ γυναῖκα μειλίμηται κυήσει καὶ γεννήσει, ἀλλὰ γυνὴ γῆν. Τούτου δὲ τοῦ καρποῦ οὐκ ἐφθόνησεν, ἀλλ' ἔνειμε καὶ τοῖς ἄλλοις[51]. Μετὰ δὲ τοῦτο ἐλαίου γένεσιν, πόνων ἀρωγὴν[52], ἀνῆκε τοῖς ἐκγόνοις.

4. Θρεψαμένη δὲ καὶ αὐξήσασα πρὸς ἥβην[53], ἄρχοντας καὶ διδασκάλους ὑτῶν θεοὺς[54] ἐπηγάγετο. Ὧν τὰ μὲν ὀνόματα πρέπει ἐν τῷ τοιῶδε ἐᾶν·

---

40) Τῆς φύσεως ἡ ἀνατροφὴ των. 41) Τῶν προγόνων. 41a) Τὴν αὐτὴν ἔκφρασιν μετεχειρίσθη, κατὰ τὸν Πλούταρχ., καὶ Σκιπίων ὁ Αἰμιλιανός: » Συγκλύδων ἀνθρώπων, ὧν οὐ μητέρα τὴν Ἰταλίαν, ἀλλὰ μητρυιὰν οὖσαν ἐπίσταμαι «, Ἀποφθ. 760. 42) Ὑπῆρξεν αὐτοῖς κεῖσθαι. 43) Καινοπρεπῶς συνέταξε τὸ Συμβαίνει πρὸς μετοχήν.

43a) Καὶ δι' ἄλλας μὲν πολλὰς αἰτίας. 44) Τοῦ Ποσειδῶνος πρὸς τὴν Ἀθηνᾶν. ἴδε τὴν μυθολογ. (παρ' Ἀπολλοδ. Γ'.). 45) Ἄγρια καὶ ἥμερα 47) Ὡς ἐπεξήγησις τοῦ Τούτῳ τῷ λόγῳ: » Ὅτι δὲ ἥδε ἡ γῆ ἔτεκε τοὺς κτλ., μέγα τεκμήριον ἐστι τὸ ἑξῆς· ὅτι μόνη καὶ πρώτη τροφὴν κτλ. Πᾶν γὰρ κτλ. «, τὰ μὲν πρωθυστέρως, τὰ δὲ ὡς ἐν παρενθέσει.

48) (Ἐφ')ᾧ, ἐξοῦ. 49) Τεκοῦσαι. 50) (Ἐνν.) Ὄντι χρόνῳ. 51) Ἴδε τὸν Πανηγυρικὸν τοῦ Ἰσοκρ. 52) Διότι οἱ παλαιοὶ ἠλείφοντο μὲ ἔλαιον. 53) Ἄχρι τῆς ἐφηβικῆς ἡλικίας.

54) Διότι ἡ μὲν Ἀθηνᾶ ἐδίδαξε τὸν Ἐριχθόνιον, ἡ δὲ Δήμητρα τὸν Τριπτόλεμον, καὶ ὁ

ἴσμεν γάρ οἱ[55] τὸν βίον ἡμῶν κατεσκεύασαν, πρός τε τὴν καθ' ἡμέραν δίαιταν τέχνας πρώτους παιδευσάμενοι, καὶ πρὸς τὴν ὑπὲρ τῆς χώρας φυλακὴν ὅπλων κτῆσίν τε καὶ χρῆσιν διδαξάμενοι. Γεννηθέντες δὲ καὶ παιδευθέντες οὕτως οἱ τῶνδε πρόγονοι ὤκουν, πολιτείαν κατασκευασάμενοι, ἧς ὀρθῶς ἔχει διὰ βραχέων ἐπιμνησθῆναι. Πολιτεία γὰρ τροφὴ ἀνθρώπων ἐστί, καλὴ μὲν ἀγαθῶν, ἡ δὲ ἐναντία κακῶν. Ὡς οὖν ἐν καλῇ πολιτείᾳ ἐτράφησαν οἱ πρόσθεν ἡμῶν, ἀναγκαῖον δηλῶσαι, δι' ἣν δὴ κἀκεῖνοι ἀγαθοὶ καὶ οἱ νῦν εἰσιν, ὧν οἵδε τυγχάνουσιν ὄντες οἱ τετελευτηκότες. Ἡ γὰρ αὐτὴ πολιτεία καὶ τότε ἦν καὶ νῦν ἀριστοκρατία, ἐν ᾗ νῦν τε πολιτευόμεθα, καὶ τὸν ἀεὶ χρόνον ἐξ ἐκείνου ὡς τὰ πολλά. Καλεῖ δὲ ὁ μὲν αὐτὴν δημοκρατίαν, ὁ δὲ ἄλλο, ᾧ ἂν χαίρῃ· ἔστι δὲ τῇ ἀληθείᾳ μετ' εὐδοξίας[56] πλήθους ἀριστοκρατία. Βασιλεῖς μὲν γὰρ ἀεὶ ἡμῖν εἰσιν[57]· οὗτοι δὲ τοτὲ μὲν ἐκ γένους, τοτὲ δὲ αἱρετοί· ἐγκρατὲς δὲ τῆς πόλεως τὰπολλὰ τὸ πλῆθος· τὰς δὲ ἀρχὰς δίδωσι καὶ τὸ κράτος τοῖς ἀεὶ δόξασιν ἀρίστοις εἶναι· καὶ οὔτε ἀσθενείᾳ, οὔτε πενίᾳ[58], οὔτ' ἀγνωσίᾳ[59] πατέρων ἀπελήλαται οὐδείς, οὐδὲ τοῖς ἐναντίοις τετίμηται, ὥσπερ ἐν ἄλλαις πόλεσιν· ἀλλὰ εἷς ὅρος, ὁ δόξας σοφὸς ἢ ἀγαθὸς εἶναι κρατεῖ καὶ ἄρχει. Αἰτία δὲ ἡμῖν τῆς πολιτείας ταύτης, ἡ ἐξ ἴσου γένεσις. αἱ μὲν γὰρ ἄλλαι πόλεις ἐκ παντοδαπῶν κατεσκευασμέναι ἀνθρώπων εἰσὶ καὶ ἀνωμάλων· ὥστε αὐτῶν ἀνώμαλοι καὶ αἱ πολιτεῖαι, τυραννίδες τε καὶ ὀλιγαρχίαι· οἰκοῦσιν οὖν, ἔνιοι μὲν δούλους, οἱ δὲ δεσπότας ἀλλήλους νομίζοντες· ἡμεῖς δὲ καὶ οἱ ἡμέτεροι, μιᾶς μητρὸς πάντες ἀδελφοὶ φύντες, οὐκ ἀξιοῦμεν δοῦλοι οὐδὲ δεσπόται ἀλλήλων εἶναι· ἀλλ' ἡ ἰσογονία ἡμᾶς ἡ κατὰ φύσιν ἰσονομίαν ἀναγκάζει ζητεῖν κατὰ νόμον, καὶ μηδενὶ ἄλλῳ ὑπείκειν ἀλλήλοις ἢ ἀρετῆς δόξῃ καὶ φρονήσεως. Ὅθεν δὴ ἐν πάσῃ ἐλευθερίᾳ τεθραμμένοι οἱ τῶνδέ τε πατέρες καὶ οἱ ἡμέτεροι καὶ αὐτοὶ οὗτοι, καὶ καλῶς φύντες, πολλὰ δὴ καὶ καλὰ ἔργα ἀπεφήναντο εἰς πάντας ἀνθρώπους καὶ ἰδίᾳ καὶ δημοσίᾳ, οἰόμενοι δεῖν ὑπὲρ τῆς ἐλευθερίας καὶ Ἕλλησιν ὑπὲρ Ἑλλήνων μάχεσθαι, καὶ βαρβάροις ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων. Εὐμόλπου[60] μὲν οὖν καὶ Ἀμαζόνων ἐπιστρατευσάντων ἐπὶ τὴν χώραν, καὶ τῶν ἔτι προτέρων, ὡς ἠμύναντο, καὶ ὡς ἤμυναν[61] Ἀργείοις πρὸς Καδμείους, καὶ Ἡρακλείδαις πρὸς Ἀργείους, ὅτε χρόνος βραχὺς ἀξίως διηγήσασθαι, ποιηταί τε αὐτῶν ἦσαν καλῶς τὴν ἀρετὴν ἐν μουσικῇ ὑμνήσαντες εἰς πάντας μεμηνύκασιν. Ἐὰν οὖν ἡμεῖς ἐπιχειρῶμεν τὰ αὐτὰ λόγῳ ψιλῷ[62] κοσμεῖν, τάχ' ἂν δεύτεροι φαινοίμεθα. Ταῦτα μὲν οὖν διὰ ταῦτα δοκεῖ μοι ἐᾶν, ἐπειδὴ καὶ ἔχει τὴν ἀξίαν. Ὧν δὲ οὔτε ποιητής πω δόξαν ἀξίαν ἐπ' ἀξίοις λαθὼν ἔχει, ἔτι τε ἐστιν ἐν ἀμνηστίᾳ[63], τούτων πέρι μοι δοκεῖ χρῆναι ἐπιμνησθῆναι, ἐπαινοῦντά τε καὶ

Διόνυσος τὸν Ἰάσιον. 55) Ἐν ἄλλοις Ἴσμεν γὰρ οἵ. 56) Κατὰ τὸν Ε. Στέρ. γραπτέον Εὐδοκίας. 57) Ἐννοεῖ τοὺς ἐννέα ἄρχοντας, ὧν ὁ εἷς ἐλέγετο καὶ βασιλεύς.

58) Λέγει δὲ καὶ ὁ Θουκυδ. «Οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πάλιν, ἀξιώματος ἀφανὴς κεκώλυται.» Β', λζ'. 59) Ἀφανία, ἀσημαντότητι. 60) Ὁ Εὔμολπος πρεσβύτερος, οἱ δὲ Ἀμαζόνες ὑστερώτερα. 61) Ἠμύναντο μὲν τοὺς ἐπιστρατεύσαντας, ἤμυναν δὲ τοὺς Ἀργ. ἢ τοὺς Ἡρακλ. 62) Πεζῷ, ἀῤῥύθμῳ. 63) Λήθῃ, οὐ μνημονεύονται.

προμνώμενον[67] τοῖς ἄλλοις, ἐς ᾠδάς τε καὶ τὴν ἄλλην ποίησιν αὐτοὺς[68] θεῖναι, πρεπόντως τῶν πραξάντων. Ἔστι δὲ τούτων, ὧν λέγω πρῶτα· Πέρσας ἡγουμένους τῆς Ἀσίας, καὶ δουλουμένους τὴν Εὐρώπην, ἔσχον οἱ τῆς δὲ τῆς χώρας ἔκγονοι, γονεῖς δὲ ἡμέτεροι· ὧν καὶ δίκαιον καὶ χρὴ πρῶτον μεμνημένους, ἐπαινέσαι αὐτῶν τὴν ἀρετήν. Δεῖ δὴ αὐτὴν ἰδεῖν, εἴ μέλλει τις καλῶς ἐπαινεῖν, ἐν ἐκείνῳ τῷ χρόνῳ γενόμενον λόγῳ, ὅτε πᾶσα μὲν ἡ Ἀσία ἐδούλευε τρίτῳ ἤδη βασιλεῖ· ὧν ὁ μὲν πρῶτος, Κῦρος, ἐλευθερώσας Πέρσας τοὺς αὑτοῦ πολίτας τῷ αὑτοῦ φρονήματι, ἅμα καὶ τοὺς δεσπότας Μήδους ἐδουλώσατο, καὶ τῆς ἄλλης Ἀσίας μέχρις Αἰγύπτου ἦρξεν· ὁ δὲ υἱὸς αὐτοῦ[69] Αἰγύπτου τε καὶ Λιβύης, ὅσον οἷόν τε ἦν ἐπιβαίνειν[67], τρίτος δὲ, Δαρεῖος, πεζῇ μὲν μέχρι Σκυθῶν τὴν ἀρχὴν ὡρίσατο, ναυσὶ δὲ τῆς τε θαλάττης ἐκράτησε καὶ τῶν νήσων· ὥστε μηδὲ ἀξιοῦν ἀντίπαλον αὐτῷ μηδένα[68] εἶναι· αἱ δὲ γνῶμαι δεδουλωμέναι ἁπάντων ἀνθρώπων ἦσαν. Οὕτω πολλὰ καὶ μεγάλα καὶ μάχιμα γένη καταδεδουλωμένη ἦν ἡ Περσῶν ἀρχή!

5. Αἰτιασάμενος δὲ Δαρεῖος ἡμᾶς τε καὶ Ἐρετριέας Σάρδεσιν ἐπιβουλεῦσαι[69], προφασιζόμενος[70], πέμψας μυριάδας μὲν πεντήκοντα ἔν τε πλοίοις καὶ ναυσὶ, ναῦς δὲ τριακοσίας, Δάτιν δὲ ἄρχοντα, εἶπεν ἥκειν ἄγοντα Ἐρετριέας καὶ Ἀθηναίους, εἰ βούλοιτο τὴν ἑαυτοῦ κεφαλὴν ἔχειν. Ὁ δὲ πλεύσας εἰς Ἐρέτριαν ἐπ' ἄνδρας, οἳ τῶν τότε Ἑλλήνων ἐν τοῖς εὐδοκιμωτάτοις ἦσαν τὰ πρὸς τὸν πόλεμον, καὶ οὐκ ὀλίγοι, τούτους ἐχειρώσατο μὲν ἐν τρισὶν ἡμέραις, διηρεύνησατο δὲ αὐτῶν πᾶσαν τὴν χώραν, ἵνα μηδεὶς ἀποφύγοι, τοιούτῳ τρόπῳ· ἐπὶ τὰ ὅρια ἐλθόντες τῆς Ἐρετρικῆς οἱ στρατιῶται αὐτοῦ, ἐκ θαλάττης εἰς θάλατταν διαστάντες, συνάψαντες τὰς χεῖρας, διῆλθον ἅπασαν τὴν χώραν, ἵν' ἔχοιεν τῷ βασιλεῖ εἰπεῖν, ὅτι οὐδεὶς σφᾶς ἀποπεφευγὼς εἴη. Τῇ δ' αὐτῇ διανοίᾳ κατηγάγοντο[71] ἐξ Ἐρετρίας εἰς Μαραθῶνα, ὡς ἕτοιμόν σφισιν ὂν καὶ Ἀθηναίους, ἐν τῇ αὐτῇ ταύτῃ ἀνάγκῃ ζεύξαντας Ἐρετριεῦσιν, ἄγειν. Τούτων δὲ τῶν μὲν πραχθέντων, τῶν δὲ ἐπιχειρουμένων, οὔτ' Ἐρετριεῦσιν ἐβοήθησεν Ἑλλήνων οὐδείς, οὔτε Ἀθηναίοις, πλὴν Λακεδαιμονίων· οὗτοι δὲ τῇ ὑστεραίᾳ τῆς μάχης ἀφίκοντο· οἱ δ' ἄλλοι πάντες ἐκπεπληγμένοι, ἀγαπῶντες τὴν ἐν τῷ παρόντι σωτηρίαν, ἡσυχίαν ἦγον. Ἐν τούτῳ δὴ ἄν τις γενόμενος[72] γνοίη, οἷοι ἄρα ἐτύγχανον ὄντες τὴν ἀρετὴν οἱ Μαραθῶνι[73] δεξάμενοι τὴν τῶν βαρβάρων δύναμιν, καὶ κολασάμενοι τὴν ὑπερηφανίαν ὅλης τῆς Ἀσίας, καὶ πρῶτοι στήσαντες τρόπαια τῶν βαρβάρων, ἡγεμόνες καὶ διδάσκαλοι ταῖς ἄλλοις γενόμενοι[74], ὅτι οὐκ ἄμαχος εἴη ἡ Περσῶν δύναμις, ἀλλὰ πᾶν πλῆθος καὶ πᾶς πλοῦτος ἀρετῇ ὑπείκει. Ἐγὼ μὲν οὖν ἐκείνους τοὺς ἄνδρας φημὶ οὐ μόνον τῶν σωμάτων τῶν ἡμετέρων πατέρας εἶναι, ἀλλὰ καὶ τῆς ἐλευθερίας τῆς τε ἡμε-

---

[67]) Δίδοντα ἀφορμὴν εἰς ἄλλους. [68]) Διορθ. Αὐτά. Ἐὰν δὲ μένῃ τὸ Αὐτοὺς κατὰ χώραν, τότε ὑπεννοητέον ὡς οὐσιαστικὸν τοὺς ποιητάς. [69]) Ὁ Καμβύσης. [67]) Διότι ἡ ἐπίλοιπος εἶναι διὰ τὴν ἀνυδρίαν ἄβατος. [68]) Ἐν ἄλλοις Μηδένα. [69]) Ἴδε Ἡροδ. Τερψιχ. ζ΄.—ρέ. [70]) Τὴν μετοχὴν ταύτην ἐν παρενθέσει τινὲς ἐξήνεγκον. [71]) Κατήχθησαν. [72]) Παραγενόμενος τῇ διανοίᾳ. [73]) (Ἐν) Μαραθῶνι. [74]) Διδάξαντες (Ἀποδείξαντες εἰς) αὐτούς, ὅτι κτλ.

τέρας καὶ ξυμπάντων τῶν ἐν τῇδε τῇ ἠπείρῳ[78]· εἰς ἐκεῖνο γὰρ τὸ ἔργον ἀποβλέψαντες, καὶ τὰς ὑστέρας μάχας ἐτόλμησαν διακινδυνεύειν οἱ Ἕλληνες ὑπὲρ τῆς σωτηρίας, μαθηταὶ τῶν Μαραθῶνι γενόμενοι. Τὰ μὲν οὖν ἀριστεῖα τῷ λόγῳ ἐκείνοις ἀναθετέον, τὰ δὲ δευτερεῖα τοῖς περὶ Σαλαμῖνα καὶ ἐπ' Ἀρτεμισίῳ ναυμαχήσασι καὶ νικήσασι.

6. Καὶ γὰρ[79] τούτων τῶν ἀνδρῶν[77] πολλὰ μὲν ἂν τις ἔχοι διελθεῖν καὶ οἷα ἐπιόντα ὑπέμειναν κατά τε γῆν καὶ κατὰ θάλατταν, καὶ ὡς ἠμύναντο ταῦτα· ὃ δέ μοι δοκεῖ καὶ ἐκείνων κάλλιστον εἶναι, τούτου μνησθήσομαι, ὅτι τὸ ἑξῆς ἔργον τοῖς Μαραθῶνι διεπράξαντο. Οἱ μὲν γὰρ Μαραθῶνι τοσοῦτον μόνον ἐπεδείξαντο τοῖς Ἕλλησιν, ὅτι κατὰ γῆν οἷοί τε[78] ἀμύνασθαι τοὺς βαρβάρους ὀλίγοις πολλούς· ναυσὶ δὲ ἔτι ἦν ἄδηλον· καὶ δόξαν εἶχον Πέρσαι ἄμαχοι εἶναι κατὰ θάλατταν καὶ πλήθει καὶ πλούτῳ, καὶ τέχνῃ καὶ ῥώμῃ. Τοῦτο δὴ ἄξιον ἐπαινεῖν τῶν ἀνδρῶν τῶν τότε ναυμαχησάντων, ὅτι τὸν ἐγκείμενον[79] φόβον διέλυσαν τῶν Ἑλλήνων καὶ ἔπαυσαν φοβουμένους πλῆθος νεῶν τε καὶ ἀνδρῶν. Ὑπ' ἀμφοτέρων δὴ ξυμβαίνει, τῶν τε Μαραθῶνι μαχεσαμένων καὶ τῶν ἐν Σαλαμῖνι ναυμαχησάντων, παιδευθῆναι τοὺς ἄλλους Ἕλληνας, ὑπὸ μὲν τῶν[80] κατὰ γῆν, ὑπὸ δὲ τῶν[80] κατὰ θάλατταν, μαθόντας καὶ ἐθισθέντας μὴ φοβεῖσθαι τοὺς βαρβάρους. Τρίτον δὲ λέγω τὸ ἐν Πλαταιαῖς ἔργον καὶ ἀριθμῷ καὶ ἀρετῇ γενέσθαι τῆς Ἑλληνικῆς σωτηρίας, κοινὸν ἤδη τοῦτο Λακεδαιμονίων τε καὶ Ἀθηναίων. Τὸ μὲν οὖν μέγιστον καὶ χαλεπώτατον οὗτοι πάντες ἤμυναν[81], καὶ διὰ ταύτην τὴν ἀρετὴν νῦν τε ὑφ' ἡμῶν ἐγκωμιάζονται, καὶ εἰς τὸν ἔπειτα χρόνον ὑπὸ τῶν ὕστερον. Μετὰ δὲ τοῦτο πολλαὶ μὲν πόλεις τῶν Ἑλλήνων ἔτι ἦσαν μετὰ τοῦ βαρβάρου, αὐτὸς δὲ ἠγγέλλετο βασιλεὺς διανοεῖσθαι ὡς ἐπιχειρήσων πάλιν ἐπὶ τοὺς Ἕλληνας.

7. Δίκαιον δὴ καὶ τούτων ἡμᾶς ἐπιμνησθῆναι, οἳ τοῖς τῶν προτέρων ἔργοις τέλος τῆς σωτηρίας ἐπέθεσαν, ἀνακαθηράμενοι καὶ ἐξελάσαντες πᾶν τὸ βάρβαρον ἐκ τῆς θαλάττης. Ἦσαν δὲ οὗτοι οἵ τε ἐπ' Εὐρυμέδοντι ναυμαχήσαντες, καὶ οἱ εἰς Κύπρον στρατεύσαντες, καὶ οἱ εἰς Αἴγυπτον πλεύσαντες, καὶ ἄλλοσε πολλαχόσε· ὧν χρὴ μεμνῆσθαι, καὶ χάριν αὐτοῖς εἰδέναι, ὅτι βασιλέα ἐποίησαν δείσαντα τῇ ἑαυτοῦ σωτηρίᾳ τὸν νοῦν προσέχειν, ἀλλὰ μὴ τῇ τῶν Ἑλλήνων ἐπιβουλεύειν φθορᾷ. Καὶ οὗτος μὲν δὴ πάσῃ τῇ πόλει διηντλήθη ὁ πόλεμος ὑπὲρ ἑαυτῶν τε καὶ τῶν ἄλλων ὁμοφύλων πρὸς τοὺς βαρβάρους· εἰρήνης δὲ γενομένης, καὶ τῆς πόλεως τιμωμένης, ἦλθεν ἐπ' αὐτὴν, ὃ δὴ φιλεῖ ἐκ τῶν ἀνθρώπων τοῖς εὖ πράττουσι προσπίπτειν, πρῶτον μὲν ζῆλος, ἀπὸ ζήλου δὲ φθόνος· ὃ καὶ τήνδε τὴν πόλιν ἄκουσαν ἐν πολέμῳ τοῖς Ἕλλησι[82] κατέστησε.

8. Μετὰ δὲ τοῦτο, γενομένου πολέμου, συνέβαλον μὲν ἐν Τανάγρᾳ[83],

---

[78]) Τῇ Εὐρωπαϊκῇ. [79]) Ἐν ἄλλοις: Καὶ γὰρ δὴ καὶ τούτων. [77]) Τῶν περὶ Ἀρτεμίσιον καὶ Σαλαμῖνα ναυμαχησάντων. [78]) Ἐν ἄλλοις: Οἱόντε. [79]) Τὸν ἀμέσως ἑπόμενον. [80]) Ὑπ' ἐκείνων μὲν μαθόντας μὴ φοβ. τοὺς βαρβ. κατὰ γῆν· ὑπὸ τούτων δὲ ἐθισθέντας μὴ φοβ. τοὺς βαρβ. κατὰ θάλασσαν. [81]) Διορθοῦν τινες ἐκείναν Ἤνυσαν. [82]) (Ἐπὶ) τοῖς Ἕλλ., κατὰ τῶν Ἑλλ. [83]) Ἴδε Θουκυδ. Α' ρϛ', ρῆ.

ὑπὲρ τῆς Βοιωτῶν ἐλευθερίας Λακεδαιμονίοις μαχόμενοι· ἀμφισβητησίμου δὲ τῆς μάχης γενομένης, διέκρινε τὸ ὕστερον ἔργον. Οἱ μὲν γὰρ ᾤχοντο ἀπιόντες, καταλιπόντες Βοιωτούς, οἷς ἐβοήθουν· οἱ δ' ἡμέτεροι, τρίτῃ ἡμέρᾳ ἐν Οἰνοφύτοις νικήσαντες, τοὺς ἀδίκως φεύγοντας δικαίως κατήγαγον. Οὗτοι δὴ πρῶτοι μετὰ τὸν Περσικὸν πόλεμον, Ἕλλησιν ἡδὴ ὑπὲρ τῆς ἐλευθερίας βοηθοῦντες πρὸς Ἕλληνας, ἄνδρες ἀγαθοὶ γενόμενοι, καὶ ἐλευθερώσαντες οἷς ἐβοήθουν, ἐν τῷδε τῷ μνήματι, τιμηθέντες ὑπὸ τῆς πόλεως, πρῶτοι ἐτέθησαν. Μετὰ δὲ ταῦτα, πολλοῦ πολέμου γενομένου, καὶ πάντων τῶν Ἑλλήνων ἐπιστρατευσάντων, καὶ τεμόντων τὴν χώραν, καὶ ἀναξίαν χάριν ἐκτινόντων τῇ πόλει, νικήσαντες αὐτοὺς ναυμαχίᾳ οἱ ἡμέτεροι, καὶ λαβόντες αὐτῶν τοὺς ἡγεμόνας Λακεδαιμονίους ἐν τῇ Σφακτηρίᾳ[84], ἐξὸν αὐτοὺς διαφθεῖραι, ἐφείσαντο, καὶ ἀπέδοσαν, καὶ εἰρήνην ἐποιήσαντο, ἡγούμενοι πρὸς μὲν τὸ ὁμόφυλον μέχρι νίκης δεῖν πολεμεῖν, καὶ μὴ δι' ὀργὴν ἰδίαν πόλεως τὸ κοινὸν τῶν Ἑλλήνων διολλύναι· πρὸς δὲ τοὺς βαρβάρους, μέχρι διαφθορᾶς. Τούτους δὴ ἄξιον ἐπαινέσαι τοὺς ἄνδρας, οἳ, τοῦτον τὸν πόλεμον πολεμήσαντες, ἐνθάδε κεῖνται, ὅτι ἐπέδειξαν, εἴτις ἄρα ἡμφισβήτει, ὡς[85] ἐν τῷ προτέρῳ πολέμῳ τῷ πρὸς τοὺς βαρβάρους ἄλλοι τινὲς εἶεν ἀμείνους Ἀθηναίων, ὅτι οὐκ ἀληθῆ ἀμφισβητοῖεν· οὗτοι γὰρ ἐνταῦθα ἔδειξαν, στασιασάσης τῆς Ἑλλάδος περιγενόμενοι τῷ πολέμῳ, τοὺς προεστῶτας τῶν ἄλλων Ἑλλήνων χειρωσάμενοι, μεθ' ὧν τότε τοὺς βαρβάρους ἐνίκων κοινῇ, τούτους νικῶντες ἰδίᾳ. Τρίτος δὲ πόλεμος μετὰ ταύτην τὴν εἰρήνην ἀνέλπιστός τε καὶ δεινὸς ἐγένετο· ἐν ᾧ πολλοὶ καὶ ἀγαθοὶ τελευτήσαντες, ἐνθάδε κεῖνται[86]· πολλοὶ μὲν ἀμφὶ Σικελίαν πλεῖστα τρόπαια στήσαντες, ὑπὲρ τῆς Λεοντίνων ἐλευθερίας, οἷς βοηθοῦντες διὰ τοὺς ὅρκους[87], ἔπλευσαν εἰς ἐκείνους τοὺς τόπους, διὰ δὲ μῆκος τοῦ πλοῦ εἰς ἀπορίαν τῆς πόλεως καταστάσης, καὶ οὐ δυναμένης αὐτοῖς ὑπηρετεῖν, τούτῳ ἀπειπόντες, εὐδυστύχησαν· ὧν οἱ ἐχθροὶ καὶ προσπολεμήσαντες πλείω ἔπαινον ἔχουσι σωφροσύνης καὶ ἀρετῆς, ἢ τῶν ἄλλων οἱ φίλοι[88]· πολλοὶ δ' ἐν ταῖς ναυμαχίαις ταῖς καθ' Ἑλλήσποντον μιᾷ μὲν ἡμέρᾳ[89] πάσας τὰς τῶν πολεμίων ἑλόντες ναῦς, πολλὰς δὲ καὶ ἄλλας νικήσαντες. Ὃ δ' εἶπον δεινὸν καὶ ἀνέλπιστον τοῦ πολέμου γενέσθαι, τόδε λέγω τὸ εἰς τοσοῦτον φιλονεικίας ἐλθεῖν πρὸς τὴν πόλιν τοὺς ἄλλους Ἕλληνας, ὥστε τολμῆσαι τῷ ἐχθίστῳ ἐπικηρυκεύσασθαι βασιλεῖ, ὃν κοινῇ ἐξέβαλον μεθ' ἡμῶν, ἰδίᾳ τοῦτον πάλιν ἐπάγεσθαι βάρβαρον ἐφ' Ἕλληνας, καὶ ξυναθροῖσαι ἐπὶ τὴν πόλιν πάντας Ἕλληνάς

---

84) Τῇ ἄλλως Σφακτηρίᾳ, ἴδε Θουκυδ. Δ', γ', μά, ριζ'. 85) Ὡς εἶεν, τὸ εἶναι.

86) Οἱ ἐν Σικελίᾳ τελευτήσαντες, οὐκ ἔκειντο ἐν Ἀθήναις, εἰ μὴ κατ' ἰδέαν. » Νόμος γὰρ οὗτος ἀρχαῖος Ἑλλήνων, ὥστε καὶ τοὺς ἀφανεῖς πάροις κοσμεῖν «, Χαρίτ., κενοταφεῖον γὰρ αὐτῶν ἐποίουν. 87) Διὰ τὴν προϋπάρχουσαν μεταξὺ Ἀθην. καὶ Λεοντ. παλαιὰν συμμαχίαν, κατὰ τὸν Θουκυδ. Γ', πς'. 88) Πράγματα παρέσχε τοῖς σχολιαζαῖς τὸ χωρίον τοῦτο· Ὅθεν καὶ τινες ἠρμήνευσαν τὸ ἔχουσιν ἀντὶ Παρέχουσι. νομίζω ὅτι ἡ ἰδέα τοῦ ῥήτορος δὲν ἔχει τίποτε βεβιασμένον, καὶ ἐκφράζει φυσικώτατα τὸ ἑξῆς· Περισσότερον ἔπαινον ἀπολαμβάνουσι διὰ τὴν φρόνησιν καὶ ἀνδρείαν των, οἱ ἐχθροὶ τῶν ἐν Σικελίᾳ δυστυχησάντων, παρὰ οἱ φίλοι (οἱ σύμμαχοι) τῶν ἄλλων, τῶν ἐν Ταναγρᾳ δηλ. καὶ ἀλλαχοῦ νικησάντων.

89) Ἐν Προικονήσῳ, Δλκιβιάδου στρατηγοῦντος, ἴδε Ξενοφ. Ἑλλ. Δ', ά, 12.

τε καὶ βαρβάρους. Οὗ[90] δὴ καὶ ἐκφανὴς ἐγένετο ἡ τῆς πόλεως ῥώμη τε καὶ ἀρετή. Οἰομένων γὰρ ἤδη αὐτὴν καταπεπολεμῆσθαι, καὶ ἀπειλημμένων ἐν Μιτυλήνῃ τῶν νεῶν[91], βοηθήσαντες ἑξήκοντα ναυσὶν, αὐτοὶ[92] ἐμβάντες εἰς τὰς ναῦς, καὶ ἄνδρες γενόμενοι ὁμολογουμένως ἄριστοι, νικήσαντες μὲν τοὺς πολεμίους, λυσάμενοι δὲ τοὺς φιλίους[93], ἀναξίου τύχης τυχόντες, οὐκ ἀναιρεθέντες ἐκ τῆς θαλάττης, κεῖνται ἐνθάδε[80]. Ὧν χρὴ ἀεὶ μεμνῆσθαί τε καὶ ἐπαινεῖν, τῇ μὲν γὰρ ἐκείνων ἀρετῇ ἐνικήσαμεν οὐ μόνον τὴν τότε ναυμαχίαν, ἀλλὰ καὶ τὸν ἄλλον πόλεμον· δόξαν γὰρ δι' αὐτοὺς ἡ πόλις ἔσχε μήποτ' ἂν καταπολεμηθῆναι, μηδ' ὑπὸ πάντων ἀνθρώπων· καὶ ἀληθῆ ἔδοξε· τῇ δὲ ἡμετέρᾳ αὐτῶν διαφορᾷ ἐκρατήθημεν, οὐχ ὑπὸ τῶν ἄλλων· ἀήττητοι γὰρ ἔτι καὶ νῦν ὑπό γε ἐκείνων ἐσμέν· ἡμεῖς δὲ αὐτοὶ ἡμᾶς αὐτοὺς καὶ ἐνικήσαμεν καὶ ἡττήθημεν. Μετὰ δὲ ταῦτα ἡσυχίας γενομένης καὶ εἰρήνης πρὸς τοὺς ἄλλους, ὁ οἰκεῖος ἡμῖν πόλεμος[94] οὕτως ἐπολεμήθη, ὥστε, εἴπερ εἱμαρμένον εἴη ἀνθρώποις στασιάσαι, μὴ ἂν ἄλλως εὔξασθαι μηδένα πόλιν ἑαυτοῦ νοσῆσαι. Ἔκ τε γὰρ τοῦ Πειραιέως καὶ τοῦ Ἄστεως ὡς ἀσμένως καὶ οἰκείως ἀλλήλοις συνέμιξαν οἱ πολῖται, καὶ παρ' ἐλπίδα τοῖς ἄλλοις Ἕλλησι! τόν τε πρὸς τοὺς ἐν Ἐλευσῖνι πόλεμον ὡς μετρίως ἔλυντο! Καὶ τούτων ἁπάντων οὐδὲν ἄλλο αἴτιον, ἢ [ἡ[95]] τῷ ὄντι ξυγγένεια[96], φιλίαν βέβαιον καὶ ὁμόφυλον οὐ λόγῳ ἀλλ' ἔργῳ παρεχομένη.

9. Χρὴ δὲ καὶ τῶν ἐν τούτῳ τῷ πολέμῳ[97] τελευτησάντων ὑπ' ἀλλήλων μνείαν ἔχειν, καὶ διαλλάττειν αὐτοὺς, ᾧ δυνάμεθα, εὐχαῖς καὶ θυσίαις ἐν τοῖς τοιοῖσδε[98], τοῖς κρατοῦσιν αὐτῶν[99] εὐχομένους, ἐπειδὴ καὶ ἡμεῖς διηλλάγμεθα· οὐ γὰρ κακίᾳ ἀλλήλων ἥψαντο, οὐδ' ἔχθρᾳ, ἀλλὰ δυσχυίᾳ· μάρτυρες δὲ ἡμεῖς αὐτοί ἐσμεν τούτων οἱ ζῶντες· οἱ αὐτοὶ γὰρ ὄντες ἐκείνοις γένει, συγγνώμην ἀλλήλοις ἔχομεν ὧν τ' ἐποιήσαμεν, ὧν τ' ἐπάθομεν. Μετὰ δὲ τοῦτο παντελοῦς εἰρήνης ἡμῖν γενομένης, ἡσυχίαν ἦγεν ἡ πόλις, τοῖς μὲν βαρβάροις συγγινώσκουσα, ὅτι, παθόντες ὑπ' αὐτῆς κακῶς, [ἱκανῶς[100]] οὐκ ἐνδεῶς ἠμύναντο· τοῖς δὲ Ἕλλησιν ἀγανακτοῦσα, μεμνημένη ὡς εὖ παθόντες ὑπ' αὐτῆς οἵαν χάριν ἀπέδοσαν, κοινωσάμενοι τοῖς βαρβάροις, τάς τε ναῦς περιελόμενοι, αἵ ποτ' ἐκείνους ἔσωσαν, καὶ τείχη καθελόντες, ἀνθ' ὧν ἡμεῖς τἀκείνων ἐκωλύσαμεν πεσεῖν. Διανοουμένη δὲ ἡ πόλις μὴ ἂν ἔτι ἀμῦναι μήτε Ἕλλησι πρὸς ἀλλήλων βουλομένοις, μήτε ὑπὸ βαρβάρων, οὕτως ὤκει. Ἡμῶν οὖν ἐν τοιαύτῃ διανοίᾳ ὄντων, ἡγησάμενοι Λακεδαιμόνιοι τοὺς μὲν τῆς ἐλευθερίας ἐπικούρους πεπτωκέναι ἡμᾶς, σφέτερον δὲ ἤδη ἔργον εἶναι καταδουλοῦσθαι τοὺς ἄλλους, ταῦτ' ἔπραττον.

---

9) [Ἐφ'] οὗ, ὅπου. 91) Ἴδε τὸν Ξενοφ. Ἑλλ. Α', ς' 24. 92) Οἱ πολῖται, ὄχι μισθοφόροι. 93) Σπανιώτατα ἀντὶ Φίλους: » Ἡρέμα περισκοπῶν καὶ τοὺς φίλους καὶ τοὺς πολεμίους, « αὐτ. 94) Ὁ ἐμφύλιος, ὁ τοῖς ἐν Πειραιεῖ πρὸς τοὺς ἐν ἄστει. Ἴδε Ξενοφ. Ἑλλ. Β', γ'., Διόδ. ΙΔ', 667., Δυσ. κατὰ Ἐρατοσθ. 95] Ἐλλείπει τὸ ἄρθρον ἐν ταῖς πλείσταις ἐκδόσεσι. 96] Ἡ φυσικὴ, καθὸ αὐτυχθόνων. 97] Τῷ ἐμφυλίῳ. 98) Διαλλάττειν αὐτοὺς πρὸς ἀλλήλους δι' ἐκείνου τοῦ τρόπου, καθ' ὃν μόνον δυνάμεθα πράξαι τοῦτο ἐν τοῖς τοιοῖς δε, (δηλαδὴ) δι' εὐχῶν καὶ θυσιῶν. 99) Τοῖς κάτω ἢ νερτέροις θεοῖς. 100) Περιεκλείσθη ὑπὸ πρώτου τοῦ Βέκκερ, ὡς παρεισφρῆσαν εἰς τὸ κείμενον ἐκ τοῦ περιθελιδίου ὅπου ἐσημειώθη ὡς ἐπεξήγησις τοῦ Οὐκ ἐνδεῶς.

10. Καὶ μηκύνειν μὲν τί δεῖ; Οὐ γὰρ πάλαι, οὐδὲ πρὸ πολλῶν ἀνθρώπων[101] γεγονότα λέγοιμ' ἂν τὰ μετὰ ταῦτα· αὐτοὶ γὰρ ἴσμεν, ὡς ἐκπεπληγμένοι ἀφίκοντο εἰς χρείαν τῆς πόλεως τῶν τε Ἑλλήνων οἱ πρῶτοι, Ἀργεῖοι καὶ Βοιωτοὶ καὶ Κορίνθιοι· καὶ τό γε θειότατον πάντων, τὸ καὶ βασιλέα εἰς τοῦτο ἀπορίας ἀφικέσθαι, ὥστε περιστῆναι αὐτῷ μηδαμόθεν ἄλλοθεν τὴν σωτηρίαν γενέσθαι ἀλλ' ἢ ἐκ ταύτης τῆς πόλεως, ἣν προθύμως ἀπώλλυ. Καὶ δὴ καὶ εἴ τις βούλοιτο τῆς πόλεως κατηγορῆσαι δικαίως, τοῦτ' ἂν μόνον λέγων ὀρθῶς ἂν κατηγοροῖ, ὡς ἀεὶ λίαν φιλοικτίρμων ἐστί, καὶ τοῦ ἥττονος θεραπίς[102]. Καὶ δὴ καὶ ἐν τῷ τότε χρόνῳ οὐχ οἷά τε ἐγένετο καρτερῆσαι, οὐδὲ διαφυλάξαι, ἃ ἐδέδοκτο αὐτῇ, τὸ μηδενὶ δουλουμένῳ βοηθεῖν τῶν σφᾶς αὐτοὺς ἀδικησάντων· ἀλλὰ ἐκάμφθη, καὶ ἐβοήθησε· καὶ τοὺς μὲν Ἕλληνας αὐτῇ[103] βοηθήσασα ἀπελύσατο δουλείας, ὡς ἐλευθέρους εἶναι, μέχρις οὗ πάλιν αὐτοὶ αὑτοὺς κατεδουλώσαντο· βασιλεῖ δὲ αὐτῇ[104] μὲν οὐκ ἐτόλμησε βοηθῆσαι, αἰσχυνομένη τὰ τρόπαια τά τε Μαραθῶνι[75] καὶ Σαλαμῖνι καὶ Πλαταιαῖς· φυγάδας δὲ καὶ ἐθελοντὰς ἐάσασα μόνον βοηθῆσαι, ὁμολογουμένως ἔσωσε. Τειχισαμένη δὲ καὶ ναυπηγησαμένη, ἐκδεξαμένη τὸν πόλεμον, ἐπειδὴ ἠναγκάσθη πολεμεῖν, ὑπὲρ Παρίων[105] ἐπολέμει Λακεδαιμονίοις.

11. Φοβηθεὶς δὲ βασιλεὺς τὴν πόλιν, ἐπειδὴ ἑώρα Λακεδαιμονίους τῷ κατὰ θάλατταν πολέμῳ ἀπαγορεύοντας, ἀποστῆναι[106] βουλόμενος, ἐξῆτει τοὺς Ἕλληνας τοὺς ἐν τῇ ἠπείρῳ[100] (οὓςπερ πρότερον Λακεδαιμόνιοι αὐτῷ ἐξέδοσαν), εἰ μέλλοι συμμαχήσειν ἡμῖν τε καὶ τοῖς ἄλλοις συμμάχοις, ἡγούμενος οὐκ ἐθελήσειν, ἵν' αὐτῷ πρόφασις εἴη τῆς ἀποστάσεως. Καὶ τῶν μὲν ἄλλων ξυμμάχων ἐψεύσθη (ἠθέλησαν γὰρ αὐτῷ ἐκδιδόναι, καὶ ξυνέθεντο καὶ ὤμοσαν Κορίνθιοι καὶ Ἀργεῖοι καὶ Βοιωτοί, καὶ ἄλλοι σύμμαχοι, εἰ μέλλοι χρήματα παρέξειν, ἐκδώσειν τοὺς ἐν τῇ ἠπείρῳ Ἕλληνας)· μόνοι δὲ ἡμεῖς οὐκ ἐτολμήσαμεν οὔτε ἐκδοῦναι, οὔτε ὀμόσαι. Οὕτω δή τοι τό γε τῆς πόλεως γενναῖον καὶ ἐλεύθερον βέβαιόν τι καὶ ὑγιές ἐστι καὶ φύσει μισοβάρβαρον, διὰ τὸ εἰλικρινῶς εἶναι Ἕλληνας καὶ ἀμιγεῖς βαρβάρων! Οὐ γὰρ Πέλοπες, οὐδὲ Κάδμοι, οὐδὲ Αἰγύπτιοί τε καὶ Δαναοί, οὐδὲ ἄλλοι πολλοί, φύσει μὲν βάρβαροι ὄντες, νόμῳ δὲ Ἕλληνες, συνοικοῦσιν ἡμῖν· ἀλλ' αὐτοὶ Ἕλληνες, οὐ μιξοβάρβαροι, οἰκοῦμεν. Ὅθεν καθαρὸν τὸ μῖσος ἐντέτηκε τῇ πόλει τῆς ἀλλοτρίας φύσεως. Ὅμως δ' οὖν ἐμενοήθημεν πάλιν διὰ τὸ μὴ ἐθέλειν αἰσχρὸν καὶ ἀνόσιον ἔργον ἐργάσασθαι, Ἕλληνας βαρβάροις ἐκδόντες. Ἐλθόντες δὲ εἰς ταὐτά, ἐξ ὧν καὶ τὸ πρότερον κατεπολεμήθημεν, σὺν θεῷ ἄμεινον ἢ τότε ἐθέμεθα τὸν πόλεμον. καὶ γὰρ ναῶς καὶ τείχη ἔχοντες, καὶ τὰς ἡμετέρας αὐτῶν ἀποικίας, ἀπηλλάγημεν τοῦ πολέμου. Οὕτως ἀγαπητῶς ἀπηλλάττοντο καὶ οἱ πολέμιοι! Ἀνδρῶν μέντοι ἀγαθῶν καὶ ἐν τούτῳ τῷ πολέμῳ ἐστερήθημεν[107], τῶν τε ἐν Κορίνθῳ χρη-

---

101) Ἐν ἄλλοις· Ἐτῶν. 102) Σπάνιον ἀντὶ Θεραπεύτρια. 103) Κατὰ διόρθωσιν ἀντὶ Αὕτη, δυσίως καὶ κατωτέρω. 104) Ἀγνωστος ἄλλοθεν ὁ πόλεμος οὗτος. 105) Ὡς ἐὰν ἦν δῆθεν ὑποτελῆς. 106) Τῆς Ἀσίας. 107) Καὶ ὁ ῥήτωρ Ἀριστείδης παρετήρησε τὸν ἀντιχρονισμὸν τοῦτον. Εἰσάγει γὰρ ὁ Πλάτων τὸν Σωκράτην ἀναφέροντα τοὺς ἐν Κορίνθῳ φονευθέντας,

σαμένων δυσχωρίᾳ, καὶ ἐν Λεχαίῳ προδοσίᾳ[108]. Ἀγαθοὶ δὲ καὶ οἱ βασιλέα ἐλευθερώσαντες, καὶ ἐκβαλόντες ἐκ τῆς θαλάττης Λακεδαιμονίους. Ὧν ἐγὼ μὲν ὑμᾶς ἀναμιμνήσκω, ὑμᾶς δὲ πρέπει ζυνεπαινεῖν τε καὶ κοσμεῖν τοιούτους ἄνδρας.

12. Καὶ τὰ μὲν δὴ ἔργα ταῦτα τῶν ἀνδρῶν τῶν ἐνθάδε κειμένων, καὶ τῶν ἄλλων, ὅσοι ὑπὲρ τῆς πόλεως τετελευτήκασι, πολλὰ μὲν τὰ εἰρημένα καὶ καλά, πολὺ δ' ἔτι πλείω καὶ καλλίω τὰ ὑπολειπόμενα. πολλαὶ γὰρ ἂν ἡμέραι καὶ νύκτες οὐχ ἱκαναὶ γένοιντο τῷ τὰ πάντα μέλλοντι περαίνειν. Τούτων οὖν χρὴ μεμνημένους, τοῖς τούτων ἐκγόνοις πάντ' ἄνδρα παρακελεύεσθαι, ὥσπερ ἐν πολέμῳ μὴ λείπειν τὴν τάξιν τὴν τῶν προγόνων, μηδ' εἰς τοὐπίσω ἀναχωρεῖν εἰκοντας κάκῃ[109]. Ἐγὼ μὲν οὖν καὶ αὐτός, ὦ παῖδες ἀνδρῶν ἀγαθῶν, νῦν τε παρακελεύομαι, καὶ ἐν τῷ λοιπῷ χρόνῳ, ὅπου ἄν τῳ ἐντυγχάνω ὑμῶν, καὶ ἀναμνήσω καὶ διακελεύσομαι προθυμεῖσθαι εἶναι ὡς ἀρίστους· ἐν δὲ τῷ παρόντι δίκαιός εἰμι[110] εἰπεῖν, ἃ οἱ πατέρες ἡμῖν[111] ἐπέσκηπτον ἀπαγγέλλειν τοῖς λειπομένοις, εἴτι πάσχοιεν, ἡνίκα κινδυνεύειν ἔμελλον. Φράσω δὲ ὑμῖν, ἃ τε αὐτῶν ἤκουσα ἐκείνων, καὶ οἷα νῦν ἡδέως ἂν εἴποιεν ὑμῖν, λαβόντες δύναμιν[112], τεκμαιρόμενος ἐξ ὧν τότε ἔλεγον.

13. Ἀλλὰ νομίζειν χρὴ αὐτῶν ἀκούειν ἐκείνων, ἃ ἂν ἀπαγγέλλω. Ἔλεγον δὲ τάδε· » Ὦ παῖδες, ὅτι μέν ἐστε πατέρων ἀγαθῶν, αὐτὸ μηνύει τὸ παρόν[113]· ἡμῖν δὲ ἐξὸν ζῆν μὴ καλῶς, καλῶς αἱρούμεθα μᾶλλον τελευτᾶν, πρὶν ὑμᾶς τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη καταστῆσαι, καὶ πρὶν τοὺς ἡμετέρους πατέρας καὶ πᾶν τὸ πρόσθεν γένος αἰσχῦναι, ἡγούμενοι τῷ τοὺς αὑτοῦ αἰσχύναντι ἀβίωτον εἶναι, καὶ τῷ τοιούτῳ οὔτε τινὰ ἀνθρώπων οὔτε θεῶν φίλον εἶναι, οὔτ' ἐπὶ γῆς οὖθ' ὑπὸ γῆς[114], τελευτήσαντι. Χρὴ οὖν, μεμνημένους τῶν ἡμετέρων λόγων, ἐάν τι καὶ ἄλλο[115] ἀσκῆτε, ἀσκεῖν μετ' ἀρετῆς, εἰδότας, ὅτι τούτου λειπόμενα πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα αἰσχρὰ καὶ κακά. οὔτε γὰρ πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ μετ' ἀνανδρίας (ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ, καὶ οὐχ ἑαυτῷ)· οὔτε σώματος κάλλος καὶ ἰσχὺς, δειλῷ καὶ κακῷ ξυνοικοῦντα, πρέποντα φαίνεται, ἀλλ' ἀπρεπῆ, καὶ ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα, καὶ ἐκφαίνει τὴν δειλίαν· πᾶσά τε ἐπιστήμη, χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία οὐ σοφία φαίνεται. Ὧν ἕνεκα καὶ πρῶτον καὶ ὕστατον καὶ διαπαντὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθε ἔχειν, ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ τοὺς πρόσθεν εὐκλείᾳ· εἰ δὲ μή, ἴστε, ὡς ἡμῖν. ἂν μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει, ἡ δὲ ἧττα, ἐὰν ἡττώμεθα, εὐδαιμονίαν. Μάλιστα δ' ἂν νικῴμεθα[116], καὶ ὑμεῖς νικῴητε, εἰ παρασκευά-

---

ἐν ᾧ οὗτος ἦτον ἀποθαμένος ἤδη πρωτοῦ, ἐπὶ Διάγνητος ἄρχοντος. [108]) Ἴδε Διόδ. Σικελ. 14', πς'. [109]) Ποιητικώτερον· ὑποχωροῦντας δι' ἀνανδρίαν. [110]) Εἶναι δίκαιον, μὲ ταιριάζει, (διὰ τὸ προβεβηκὼς ἤδη τῆς ἡλικίας του). [111]) Ἐν ἄλλοις ἐρρθότερον: Ὑμῖν. [112]) Ἐὰν ἐλάμβαιων τυχὸν δύναμιν τοῦ λαλεῖν. [113]) Δηλαδὴ ὁ ὑπὲρ τῆς πατρίδος θάνατος ἡμῶν, καὶ ἡ τελουμένη εἰς τιμὴν ἡμῶν πάνδημος κηδεία. [114]) Συνήθως ἔπρεπε νὰ ἦνε αἰτιατική. [115]) Ἐπιτήδευμα, ἔργον. [116]) Ἐν ἄλλοις: Ἡττώμεθα.

σαισθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησόμενοι, μηδ' ἀναλώσοντες αὐτήν, γνόντες, ὅτι ἀνδρί, οἱομένῳ τι εἶναι, οὐκ ἔστιν αἴσχιον ἢ παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' ἑαυτόν, ἀλλὰ διὰ δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγόνοις καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής[117]· χρῆσθαι δὲ καὶ χρημάτων καὶ τιμῶν θησαυρῷ, καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ ἄνανδρον, ἀπορίᾳ ἰδίων αὐτοῦ κτημάτων τε καὶ εὐδοξιῶν. Καὶ ἐὰν μὲν ταῦτα ἐπιτηδεύσητε, φίλοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν δὴ ὑμᾶς ἡ προσήκουσα μοῖρα κομίσῃ· ἀμελήσαντας δὲ ὑμᾶς καὶ κακισθέντας οὐδεὶς εὐμενῶς ὑποδέξεται. Τοῖς μὲν οὖν παισὶ ταῦτ' εἰρήσθω ».

14. » Πατέρας δὲ ἡμῶν[118], οἷς εἰσι, καὶ μητέρας ἀεὶ χρὴ παραμυθεῖσθαι, ὡς χρὴ ῥᾷστα φέρειν τὴν ξυμφοράν, ἐὰν ἄρα ξυμβῇ γενέσθαι, καὶ μὴ ξυνοδύρεσθαι[119] (οὐ γὰρ τοῦ λυπήσοντος προσδεήσονται. ἱκανὴ γὰρ ἔσται καὶ ἡ γενομένη τύχη τοῦτο παρίζεσθαι)· ἀλλ' ἰωμένους καὶ παύοντας ἀναμιμνήσκειν αὐτούς, ὅτι ὧν εὔχονται[120] τὰ μέγιστα[121] αὐτοῖς οἱ θεοὶ ἐπήκοοι γεγόνασιν. οὐ γὰρ ἀθανάτους σφίσι παῖδας εὔχοντο γενέσθαι, ἀλλ' ἀγαθοὺς καὶ εὐκλεεῖς· ὧν ἔτυχον, μεγίστων ἀγαθῶν ὄντων. Πάντα δὲ οὐ ῥᾴδιον θνητῷ ἀνδρὶ κατὰ νοῦν ἐν τῷ ἑαυτοῦ βίῳ ἐκβαίνειν. Καὶ φέροντες μὲν ἀνδρείως τὰς ξυμφορὰς, δόξουσι τῷ ὄντι ἀνδρείων παίδων πατέρες εἶναι, καὶ αὐτοὶ τοιοῦτοι· ὑπείκοντες δὲ, ὑποψίαν παρέξουσιν ἢ μὴ ἡμέτεροι εἶναι, ἢ ἡμῶν τοὺς ἐπαινοῦντας καταψεύδεσθαι. Χρὴ δὲ οὐδέτερα τούτων· ἀλλ' ἐκείνους[122] μάλιστα πάντων ἡμῶν ἐπαινέτας εἶναι ἔργῳ, παρέχοντας αὐτοὺς φαινομένους τῷ ὄντι πατέρας ὄντας ἀνδρὸς ἀνδρῶν. Πάλαι γὰρ δὴ τὸ Μηδὲν ἄγαν λεγόμενον[123] καλῶς δοκεῖ λέγεσθαι· τῷ γὰρ ὄντι εὖ λέγεται. Ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυτὸν ἀνήρτηται[124] πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα, ἢ ἐγγὺς τούτου[125], καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται, ἐξ ὧν ἢ εὖ ἢ κακῶς πραξάντων πλανᾶσθαι ἠνάγκασται καὶ τὰ ἐκείνου, τούτῳ ἄριστα παρεσκεύασται ζῆν· οὗτός ἐστιν ὁ σώφρων, καὶ οὗτος ὁ ἀνδρεῖος καὶ φρόνιμος· οὗτος, γιγνομένων χρημάτων καὶ παίδων, καὶ διαφθειρομένων, μάλιστα πείσεται τῇ παροιμίᾳ. οὔτε γὰρ χαίρων οὔτε λυπούμενος ἄγαν φανήσεται, διὰ τὸ αὐτῷ πεποιθέναι. Τοιούτους δὲ ἡμεῖς γε ἀξιοῦμεν καὶ τοὺς ἡμετέρους εἶναι, καὶ βουλόμεθα, καὶ φαμεν· καὶ ἡμᾶς αὐτοὺς νῦν παρέχομεν τοιούτους, οὐκ ἀγανακτοῦντας, οὐδὲ φοβουμένους ἄγαν, εἰ δεῖ τελευτᾶν ἐν τῷ παρόντι ».

15. » Δεόμεθα δὴ καὶ πατέρων καὶ μητέρων, τῇ αὐτῇ ταύτῃ διανοίᾳ χρωμένους τὸν ἐπίλοιπον βίον διάγειν, καὶ εἰδέναι, ὅτι οὐ θρηνοῦντες, οὐδὲ ὀλοφυρόμενοι ἡμᾶς, ἡμῖν μάλιστα χαριοῦνται· ἀλλ' εἴτις ἔστι τοῖς τετελευτηκόσιν αἴσθησις τῶν ζώντων[126], οὕτως ἀχάριστοι[127] εἶεν ἂν μάλιστα.

---

117) Τὸ μὲν γὰρ εἶναι τοῖς ἐκγόνοις (= ἔχειν τοὺς ἐκγόνους) τιμὰς γονέων, καλὸς θησαυρός (ἐστι) καὶ μεγ. 118) Ὑποθέτει λαλοῦντας (ἐπισκήπτοντας) τοὺς τετελευτηκότας. 119) Ἡμᾶς αὐτοῖς. 120) Ἐν ἄλλοις: Εὔχοντο. 121) (Κατὰ τὰ μέγ. 122) Τοὺς γονεῖς ἡμῶν. 123) Γνωμικὸν τοῦ σοφοῦ Χίλωνος. 124) Ὅς τις γὰρ εἰς ἑαυτὸν ἀνήρτησε (ἀφ' ἑαυτοῦ προσδοκᾷ) πάντα τὰ πρὸς εὐδ.... οὗτός ἐστι κτλ. 125) (Ἐνν.) Φέροντα ἐγγὺς τούτου (τῆς εὐδαιμονίας). 126) Τὸ αὐτὸ ἐμιμήθη καὶ ὁ Ἰσοκρ. (ἐν τῷ Εὐαγόρᾳ): » Εἴ τις αἴσθησις τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων ». 127) Οὐδεμίαν χάριν ἡμῖν φέροντες, δυσάρεστοι.

ἑαυτούς τε κακοῦντες, καὶ βαρέως φέροντες τὰς ξυμφοράς· κούφως δὲ καὶ μετρίως, μάλιστ' ἂν χαρίζοιντο, τὰ μὲν γὰρ ἡμέτερα τελευτὴν ἤδη ἔξει, ἥπερ καλλίστη γίγνεται ἀνθρώποις· ὥστε πρέπει αὐτὰ μᾶλλον κοσμεῖν ἢ θρηνεῖν. Γυναικῶν δὲ τῶν ἡμετέρων καὶ παίδων ἐπιμελούμενοι, καὶ τρέφοντες, καὶ ἐνταῦθα τὸν νοῦν τρέποντες, τῆς τε τύχης[128] μάλιστ' ἂν εἶεν ἐν λήθῃ, καὶ ζῷεν κάλλιον καὶ ὀρθότερον καὶ ἡμῖν προσφιλέστερον. Ταῦτα δὴ ἱκανὰ τοῖς ἡμετέροις παρ' ἡμῶν ἀναγγέλλειν. Τῇ δὲ πόλει παρακελευοίμεθ' ἄν, ὅπως ἡμῖν καὶ πατέρων καὶ υἱέων ἐπιμελήσονται, τοὺς μὲν παιδεύοντες κοσμίως, τοὺς δὲ γηροτροφοῦντες ἀξίως· νῦν δὲ ἴσμεν, ὅτι, καὶ ἐὰν μὴ ἡμεῖς παρακελευώμεθα, ἱκανῶς ἐπιμελήσεται».

16. Ταῦτα οὖν, ὦ παῖδες καὶ γονεῖς τῶν τελευτησάντων, ἐκεῖνοί τε ἐπέσκηπτον ἡμῖν ἀπαγγέλλειν, καὶ ἐγὼ, ὡς δύναμαι, προθυμότατα ἀπαγγέλλω· καὶ αὐτὸς δέομαι ὑπὲρ ἐκείνων, τῶν μὲν[129] μιμεῖσθαι τοὺς αὐτῶν, τῶν δὲ[130] θαρρεῖν ὑπὲρ αὐτῶν, ὡς ἡμῶν καὶ ἰδίᾳ καὶ δημοσίᾳ γηροτροφησόντων ὑμᾶς καὶ ἐπιμελησομένων, ὅπου ἂν ἕκαστος ἑκάστῳ ἐντυγχάνῃ ὀτῳοῦν τῶν ἐκείνων. Τῆς δὲ πόλεως ἔρε που καὶ αὐτοὶ τὴν ἐπιμέλειαν, ὅτι, νόμους θεμένη περὶ τοὺς[131] τῶν ἐν τῷ πολέμῳ τελευτησάντων παῖδάς τε καὶ γεννήτορας, ἐπιμελεῖται, καὶ διαφερόντως τῶν ἄλλων πολιτῶν προστέτακται φυλάττειν ἀρχῇ[132], ἥπερ μεγίστη ἐξίν[133], ὅπως ἂν οἱ τούτων μὴ ἀδικῶνται πατέρες τε καὶ μητέρες· τοὺς δὲ παῖδας συνεκτρέφει αὐτὴ, προθυμουμένη ὅτι μάλις' ἄδηλον αὐτοῖς τὴν ὀρφανίαν γενέσθαι, ἐν πατρὸς σχήματι καταστᾶσα αὐτοῖς αὐτὴ, ἔτι τε παισὶν οὖσι· καὶ ἐπειδὰν εἰς ἀνδρὸς τέλος ἴωσιν, ἀποπέμπει ἐπὶ τὰ σφέτερ' αὐτῶν πανοπλίᾳ κοσμήσασα, ἐνδεικνυμένη καὶ ἀναμιμνήσκουσα τὰ τοῦ πατρὸς ἐπιτηδεύματα, ὄργανα τῆς πατρῴας ἀρετῆς διδοῦσα, καὶ ἅμα οἰωνοῦ χάριν ἄρχεσθαι ἰέναι ἐπὶ τὴν πατρῴαν ἑστίαν, ἄρξοντα μετ' ἰσχύος, ὅπλοις κεκοσμημένον. Αὐτοὺς δὲ τοὺς τελευτήσαντας τιμῶσα οὐδέποτε ἐκλείπει, καθ' ἕκαστον ἐνιαυτὸν αὐτὴ τὰ νομιζόμενα ποιοῦσα κοινῇ πᾶσιν ἅπερ ἰδίᾳ ἑκάστῳ [ἴδια] γίγνεται[134]. Πρὸς δὲ τούτοις ἀγῶνας γυμνικοὺς καὶ ἱππικοὺς τιθεῖσα καὶ μουσικῆς[135] πάσης, καὶ ἀτεχνῶς τῶν μὲν τελευτησάντων ἐν κληρονόμου καὶ υἱέος μοίρᾳ καθεστηκυῖα, τῶν δὲ υἱέων ἐν πατρός, γονέων δὲ καὶ τῶν τοιούτων[136] ἐν ἐπιτρόπου, πᾶσαν πάντων παρὰ πάντα[137] τὸν χρόνον ἐπιμέλειαν ποιουμένη. Ὧν χρὴ ἐνθυμουμένους πρᾴοτερον φέρειν τὴν ξυμφοράν· τοῖς τε γὰρ τελευτήσασι καὶ τοῖς ζῶσιν οὕτως ἂν προσφιλέστατοι εἶητε, καὶ ῥᾷστοι θεραπεύειν τε καὶ θεραπεύεσθαι. Νῦν δὴ ἤδη ὑμεῖς τε καὶ οἱ ἄλλοι πάντες, κοινῇ κατὰ τὸν νόμον τοὺς τετελευτηκότας ἀπολοφυράμενοι, ἄπιτε[138].

---

128) Τῆς δυσχυίας των. 129) Τῶν μὲν παίδων δέομαι. 130) Τῶν δὲ πατέρων δέομαι. 131) Ἀντὶ: Περὶ τῶν, πρὸς ἀποφυγὴν τῆς κακοφωνίας. 132) Κατὰ διορθ. ἀντὶ Ἀρχῇ, ὅπερ οὐχ ἧττον εὐοδοῦται. 133) Ὁ Πολέμαρχος, εἷς τῶν ἐννέα ἀρχόντων, εἶχε τὴν ἐπιμέλειαν τῶν ὀρφανῶν τούτων. 134) Φαίνεται ὅτι παρεισέφρησεν ἐκ διαφόρου γραφῆς τοῦ ἰδίᾳ ἑκάστῳ περιθωρίου εἰς τὸ κείμενον. 135) «Οὐ ῥᾴδιον λέγειν ἀγῶνας μουσικοὺς, ἀλλὰ μουσικῆς,» λέγει ὁ Πολυδεύκης (Γ', 141). 136) Δηλαδὴ γυναικῶν, τὰς ὁποίας ἀποφεύγει νὰ ἀναφέρῃ. 137) Συνήθης τρόπος τοῦ ἐκφράζεσθαι τοῦ Πλάτωνος: «Ὁ μὲν δὴ πᾶς εἰς πάντα πάσας τομὰς εἴληχε (Νομ.)». «Πᾶς γὰρ ἰατρὸς καὶ πᾶς ἔντεχνος δημιουργὸς παντὸς μὲν ἕνεκα πάντα ἐργάζεται (αὐτ.)». 138) Ἀπαράλλακτα τελειόνει ὁ ἐπιτάφιος τοῦ Θουκυδίδου.

16. Οὗτός σοι ὁ λόγος, ὦ Μενέξενε, Ἀσπασίας τῆς Μιλησίας ἐστί. — ΜΕΝ. Νὴ Δία, ὦ Σώκρατες, μακαρίαν γε λέγεις τὴν Ἀσπασίαν, εἰ, γυνὴ οὖσα, τοιούτους λόγους οἷα τ' ἐστὶ συντιθέναι. — ΣΩΚ. Ἀλλ' εἰ μὴ πιςεύεις, ἀκολούθει μετ' ἐμοῦ, καὶ ἀκούσῃ αὐτῆς λεγούσης. — ΜΕΝ. Πολλάκις, ὦ Σώκρατες, ἐγὼ ἐντετύχηκα Ἀσπασίᾳ, καὶ οἶδα οἷα ἐστί. — ΣΩΚ. Τί οὖν; οὐκ ἄγασαι αὐτὴν, καὶ νῦν χάριν ἔχεις[139] τοῦ λόγου αὐτῇ; — ΜΕΝ. Καὶ πολλήν γε, ὦ Σώκρατες, ἐγὼ χάριν ἔχω τούτου τοῦ λόγου ἐκείνῃ, ἢ ἐκείνῳ, ὅστις σοι ὁ εἰπών ἐστιν αὐτόν· καὶ πρό γε ἄλλων πολλὴν χάριν ἔχω τῷ εἰπόντι. — ΣΩΚ. Εὖ ἂν ἔχοι. ἀλλ' ὅπως[140] μου μὴ κατερεῖς, ἵνα καὶ αὖθίς σοι πολλοὺς καὶ καλοὺς λόγους παρ' αὐτῆς πολιτικοὺς ἀπαγγέλλω. — ΜΕΝ. Θάῤῥει, οὐ κατερῶ, μόνον ἀπάγγελλε. — ΣΩΚ. Ἀλλὰ ταῦτ' ἔσται.

---

139) (Οὐκ) ἔχεις; 140) Ὅρα ὅπως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ε'. ΘΟΥΚΥΔΙΔΟΥ.

Θουκυδίδης Ὀλόρου Ἀθηναῖος, ἀκμάσας ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου, ἐξεστράτευσεν εἰς Ἀμφίπολιν τῆς Μακεδονίας, ὅπου γενναίως ἐπολέμησε κατὰ Βρασίδου τοῦ στρατηγοῦ τῶν Λακεδαιμονίων. Ἀλλ' ἐπειδὴ οἱ Σπαρτιᾶται ἐκυρίευσαν ἐξ ἐφόδου τὴν Ἀμφίπολιν, οἱ Ἀθηναῖοι ἐξώρισαν τὸν Θουκυδίδην, ὅστις καταφυγὼν εἰς Θράκην, ἔγραψεν ἐκεῖ τὴν ἱστορίαν τοῦ Πελοποννησιακοῦ πολέμου εἰς βιβλία ὀκτώ. Διὰ τῆς ἀκριβείας καὶ τῆς ἀμεροληψίας πρὸς τὴν ἐξιστόρησιν τῶν συμβάντων, τῆς φιλοσοφικῆς τῶν ἰδεῶν συναφείας, καὶ τῆς γλαφυρότητος τοῦ ὕφους, ὁ Θουκυδίδης ἀνεδείχθη εἷς τῶν ἐπισημοτάτων ἱστορικῶν τῆς ἀρχαιότητος.

ΒΙΒΛΙΟΝ Α'. §. 1—19.

ΘΟΥΚΥΔΙΔΗΣ Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων, ὡς[1] ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθισταμένου[2], καὶ ἐλπίσας[3] μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων· τεκμαιρόμενος, ὅτι[4] ἀκμάζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν[5] ὁρῶν ξυνιστάμενον[6] πρὸς ἑκατέρους, τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον[7]. Κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο καὶ μέρει τινὶ τῶν Βαρβάρων· ὡς δὲ εἰπεῖν[8], καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. Τὰ γὰρ πρὸ αὐτῶν[9] καὶ τὰ ἔτι παλαιότερα, σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος[10] ἀδύνατον ἦν· ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ τοὺς πολέμους, οὔτε ἐς τὰ ἄλλα.

Φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως[11] οἰκουμένη· ἀλλὰ μεταναστάσεις τε οὖσαι[12] τὰ πρότερα, καὶ ῥᾳδίως ἕκαστοι τὴν ἑαυτῶν[13] ἀπολείποντες, βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων. Τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι ὅσον ἀποζῆν[14], καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὐδὲ γῆν φυτεύοντες (ἄδηλον γὰρ ἦν[15] ὁπότε τις ἐπελθὼν, καὶ ἀτειχίστων ἅμα ὄντων, ἄλλος[16] ἀφαιρήσεται)· τῆς τε καθ' ἡμέραν ἀναγκαίου[17] τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο[18]· καὶ διὰ αὐτὸ, οὔτε μεγέθει πόλεων ἴσχυον, οὔτε τῇ ἄλλῃ παρασκευῇ. Μάλιστα δὲ τῆς γῆς ἡ ἀρίστη ἀεὶ τὰς μεταβολὰς τῶν οἰκητόρων εἶχεν, ἥ τε νῦν Θεσσαλία καλουμένη καὶ Βοιωτία, Πελοπον-

---

[1]) Καθ' ὃν τρόπον, πῶς. [2]) Ἀφ' ὅτου πρωτοήρχισε. [3]) Προϊδών. [4]) Ἐκ τούτου, ὅτι. [5]) Περιληπτ. τοὺς ἄλλους Ἕλληνας. [6]) Συνενούμενον. [7]) Συστήσεσθαι. [8]) Οὕτως εἰπεῖν. [9]) Τὰ πρὸ τούτων συμβάντα. [10]) Ἀντὶ: μῆκος. [11]) Σταθερῶς. [12]) Φαίνονται. [13]) Πατρίδα. [14]) Τόσα ὅσα μόνον τοῖς ἤρκουν διὰ νὰ ζῶσι. [15]) Λίτιατ. ἀπόλυτος. Ε. §. 439. 6'. [16]) Τίς ἄλλος ἐπελθὼν ἀφαιρήσεται αὐτῶν ὄντων. [17]) Ἀττ. ἀντὶ ἀναγκαίας. [18]) Ἐγκατέλειπον τὰς πατρίδας των.

νήσου τε τὰ πολλὰ, πλὴν Ἀρκαδίας, τῆς τε ἄλλης[19] ὅσα ἦν κράτιστα, διὰ γὰρ ἀρετὴν γῆς, αἵ τε δυνάμεις τισὶ μείζους ἐγγιγνόμεναι, στάσεις ἐνεποίουν, ἐξ ὧν ἐφθείροντο[20], καὶ ἅμα ὑπὸ ἀλλοφύλων μᾶλλον ἐπεβουλεύοντο. Τὴν γοῦν Ἀττικὴν, ἐκ τοῦ ἐπιπλεῖστον[21] διὰ τὸ λεπτόγεων ἀστασίαστον οὖσαν, ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ ἀεί. Καὶ παράδειγμα τόδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστι[22], διὰ τὰς μετοικίας ἐς τὰ ἄλλα μὴ ὁμοίως αὐξηθῆναι[23]· ἐκ γὰρ τῆς ἄλλης Ἑλλάδος, οἱ πολέμῳ ἢ στάσει ἐκπίπτοντες παρ' Ἀθηναίους οἱ δυνατώτατοι, ὡς βέβαιον ὂν[24], ἀνεχώρουν· καὶ πολῖται γιγνόμενοι, εὐθὺς ἀπὸ παλαιοῦ μείζω ἔτι ἐποίησαν πλήθει ἀνθρώπων τὴν πόλιν· ὥστε καὶ ἐς Ἰωνίαν[25] ὕστερον, ὡς οὐχ ἱκανῆς οὔσης τῆς Ἀττικῆς, ἀποικίας ἐξέπεμψαν.

Δηλοῖ δέ μοι καὶ τόδε τῶν παλαιῶν ἀσθένειαν οὐχ ἧκιστα· πρὸ γὰρ τῶν Τρωϊκῶν, οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς. Δοκεῖ δέ μοι οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν[26]· ἀλλὰ τὰ μὲν[27] πρὸ Ἕλληνος τοῦ Δευκαλίωνος[28], καὶ πάνυ οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη, κατὰ ἔθνη δὲ ἄλλα τε καὶ τὸ Πελασγικὸν[29] ἐπιπλεῖστον ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέσχεσθαι[30]· Ἕλληνος δὲ καὶ τῶν παίδων αὐτοῦ ἐν τῇ Φθιώτιδι[31] ἰσχυσάντων, καὶ ἐπαγομένων αὐτοὺς[32] ἐπ' ὠφελείᾳ εἰς τὰς ἄλλας πόλεις, καθ' ἑκάστους μὲν ἤδη τῇ ὁμιλίᾳ[33] μᾶλλον καλεῖσθαι Ἕλληνας, οὐ μέν τοι πολλοῦ γε χρόνου ἠδύνατο[34] καὶ ἅπασιν ἐκνικῆσαι· τεκμηριοῖ[35] δὲ μάλιστα Ὅμηρος· πολλῷ γὰρ ὕστερος ἔτι καὶ τῶν Τρωϊκῶν γενόμενος, οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν[36]· οὐδ' ἄλλους[37], ἢ τοὺς μετ' Ἀχιλλέως ἐκ τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν· Δαναοὺς δὲ ἐν τοῖς ἔπεσι[38], καὶ Ἀργείους καὶ Ἀχαιοὺς ἀνακαλεῖ. Οὐ μὴν οὐδὲ βαρβάρους εἴρηκε, διὰ τὸ μηδὲ Ἕλληνάς πω (ὡς ἐμοὶ δοκεῖ) ἀντίπαλον εἰς ἓν ὄνομα ἀποκεκρίσθαι[39]. Οἱ δ' οὖν ὡς ἕκαστοι Ἕλληνες[40], κατὰ πόλεις τε ὅσοι ἀλλήλων ξυνίεσαν[41], καὶ ξύμπαντες ὕστερον κληθέντες, οὐδὲν πρὸ τῶν Τρωϊκῶν δι' ἀσθένειαν καὶ ἀμιξίαν ἀλλήλων ἀθρόοι ἔπραξαν· ἀλλὰ καὶ ταύτην τὴν στρατείαν, θαλάσσῃ ἤδη τὰ πλείω χρώμενοι ξυνῆλθον[42].

---

19) Τῆς ἄλλης Ἑλλάδος ὅσα μέρη. 20) Ἐπειδὴ ἡ γῆ ἦν καλὴ, τινὲς ἐγίνοντο πλουσιώτεροι καὶ ἰσχυρότεροι. Τοῦτο ἐπέφερε στάσεις, ὑπὸ τῶν ὁποίων ἐφθείροντο. 21) Ἐξ ἀρχαιοτάτου. 22) Μεγίζει τοῦ λόγου ἀπόδειξις εἶναι. 23) Τὴν Ἑλλάδα μὴ αὐξηθῆναι ὁμοίως τῇ Ἀττικῇ διὰ τὰς εἰς τὰ ἄλλα μέρη μετοικίας, ἢ τὴν Ἑλλ. μὴ αὐξηθῆναι εἰς τὰ ἄλλα αὐτῆς μέρη ὁμοίως τῇ Ἀττικῇ διὰ τὰς μετοικίας. 24) Ἀντὶ γεν. ἀπόλ. ὡς ἀσφαλοῦς ὄντος τοῦ χωρίου. 25) Τὴν ἐπαρχίαν τῆς μικρᾶς Ἀσίας. 26) Ἐλλείψει τοῦ Ὡς. 27) Κατὰ μὲν τοὺς χρόνους. 28) Δευκαλίων, ἀρχαιότατος Θεσσαλὸς ἥρως, ἐφ' οὗ μυθολογεῖται ὁ μέγας κατακλυσμός. Ἐκ τοῦ υἱοῦ αὐτοῦ Ἕλληνος λέγεται λαβὸν τὴν ἐπωνυμίαν τὸ ἔθνος. 29) Πελασγοὶ, φυλὴ Ἑλληνικὴ ἐπὶ πολὺ ἐπικρατήσασα εἰς τὴν Ἑλλάδα. 30) Ἄλλα τε ἔθνη ᾗ μάλιστα τὸ Πελ. φαίνονται παρέχεσθαι ἀφ' ἑαυτῶν τὴν ἐπων. τῇ Ἑλλάδι κατὰ ἔθνη, δηλ. ὁτὲ μὲν κατὰ τοῦτο, ὁτὲ δὲ κατ' ἐκεῖνο ὀνομαζομένη. 31) Ἐπαρχία τῆς Θεσσαλίας. 32) Τοὺς κατοίκους τῆς Φθιώτιδος. 33) Διὰ τῆς συχνῆς σχέσεως. 34) Τὸ καλεῖσθαι. 35) Τεκμήριον παρέξει. 36) Οὐδαμοῦ ὠνόμασε τοὺς ξύμπαντας Ἕλληνας τῷ ὀνόματι τούτῳ. 37) Ὠνόμασε. 38) Τοῖς ποιήμασί του. 39) Διότι οἱ Ἕλληνες δὲν εἶχον χωρισθῆ εἰς ἓν ὄνομα ἀντίπαλον τοῦ τῶν βαρβάρων. Διότι οἱ ἀρχαῖοι ἔλεγον· πᾶς ὁ μὴ Ἕλλην βάρβαρος. 40) Οἱ Ἕλληνες οἱ κατὰ μέρος οὕτω κληθέντες. 41) Ὅσοι κατὰ πόλεις συνεσχετίζοντο καὶ μετελάμβανον τοῦ ὀνόματος. 42) Συνῆλθον εἰς ταύτην τὴν στρατείαν, διότι ἐχρῶντο.

Μίνως[45] γὰρ παλαίτατος[46], ὧν ἀκοῇ ἴσμεν, ναυτικὸν ἐκτήσατο, καὶ τῆς νῦν Ἑλληνικῆς θαλάσσης ἐπιπλεῖστον ἐκράτησε, καὶ τῶν Κυκλάδων νήσων ἦρξέ τε καὶ οἰκιστὴς πρῶτος τῶν πλείστων ἐγένετο, Κᾶρας[47] ἐξελάσας, καὶ τοὺς ἑαυτοῦ παῖδας ἡγεμόνας ἐγκαταστήσας· τό τε λῃστικὸν[48], ὡς εἰκός, καθῄρει ἐκ τῆς θαλάσσης ἐφ᾽ὅσον ἠδύνατο, τοῦ[49] τὰς προσόδους μᾶλλον ἰέναι αὐτῷ.

Οἱ γὰρ Ἕλληνες τὸ πάλαι, καὶ τῶν Βαρβάρων οἵ τε ἐν τῇ ἠπείρῳ παραθαλάσσιοι καὶ ὅσοι νήσους εἶχον, ἐπειδὴ ἤρξαντο μᾶλλον περαιοῦσθαι[50] ναυσίν, ἐπ᾽ἀλλήλους ἐτράποντο πρὸς λῃστείαν, ἡγουμένων ἀνδρῶν οὐ τῶν ἀδυνατωτάτων, κέρδους τοῦ σφετέρου αὐτῶν ἕνεκα καὶ τοῖς ἀσθενέσι τροφῆς[51]· καὶ προσπίπτοντες[52] πόλεσιν ἀτειχίστοις καὶ κατὰ κώμας οἰκουμέναις[53] ἥρπαζον, καὶ τὸν πλεῖστον τοῦ βίου[54] ἐντεῦθεν ἐποιοῦντο, οὐκ ἔχοντός πω αἰσχύνην[55] τούτου τοῦ ἔργου, φέροντος δέ τι καὶ δόξης μᾶλλον. δηλοῦσι δὲ[56] τῶν τε ἠπειρωτῶν τινες ἔτι καὶ νῦν, οἷς κόσμος καλῶς τοῦτο[57] δρᾶν· καὶ οἱ παλαιοὶ τῶν ποιητῶν τὰς πύστεις[58] τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες, εἰ λῃσταί εἰσιν· ὡς οὔτε ὧν πυνθάνονται[59] ἀπαξιούντων τὸ ἔργον, οἷς τε ἐπιμελὲς εἴη εἰδέναι, οὐκ ὀνειδιζόντων. Ἐληΐζοντο δὲ καὶ κατ᾽ἤπειρον ἀλλήλους· καὶ μέχρι τοῦδε πολλὰ τῆς Ἑλλάδος τῷ παλαιῷ τρόπῳ νέμεται, περί τε Λοκροὺς τοὺς Ὀζόλας[60], καὶ Αἰτωλοὺς, καὶ Ἀκαρνᾶνας, καὶ τὴν ταύτῃ ἤπειρον· τό, τε σιδηροφορεῖσθαι τούτοις τοῖς ἠπειρώταις, ἀπὸ τῆς παλαιᾶς λῃστείας ἐμμεμένηκε.

Πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει, διὰ τὰς ἀρρᾴκτους τε οἰκήσεις καὶ οὐκ ἀσφαλεῖς παρ᾽ἀλλήλους ἐφόδους[61]· καὶ ξυνήθη τὴν δίαιταν μεθ᾽ὅπλων ἐποιήσαντο, ὥσπερ οἱ Βάρβαροι· σημεῖον δ᾽ἐστὶ ταῦτα τῆς Ἑλλάδος, ἔτι οὕτω νεμόμενα. τῶν ποτὲ καὶ ἐς πάντας ὁμοίων διαιτημάτων[62]. Ἐν τοῖς πρῶτοι[63] δὲ Ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο, καὶ ἀνειμένῃ τῇ διαίτῃ ἐς τὸ τρυφερώτερον μετέστησαν· καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων[64], διὰ τὸ ἁβροδίαιτον, οὐ πολὺς χρόνος ἐπειδὴ, χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες, καὶ χρυσῶν τεττίγων ἐν ἕρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν[65]· ἀφ᾽οὗ καὶ Ἰώνων τοὺς πρεσβυτέρους κατὰ τὸ ξυγγενὲς[66]

---

45) Ἀρχαιότατος βασιλεὺς τῆς Κρήτης, προγενέστερος τῶν Τρωϊκῶν. 46) Ἦν ὁ ἀρχαιότερος ὃς ἐκτήσατο. 47) Τὰς νήσους ἀρχαιότατα εἶχον κυριεύσει καὶ κατῴκουν Κᾶρες ἐκ τῆς μεσημβρινῆς παραλίας τῆς μικρᾶς Ἀσίας. 48) Περιληπτ. ἀντὶ τοὺς λῃστάς.

49) Ἕνεκα τοῦ. Διὰ νὰ τῷ εἰσέρχωνται αἱ πρόσοδοι. 50) Μακρύτερα νὰ πλέωσι.

51) Διὰ νὰ κερδίζωσιν οἱ ἴδιοι καὶ νὰ τρέφωσι τοὺς ἀσθενεῖς. 52) Ἐφορμῶντες.

53) Μὴ συνφκισμένας εἰς ἓν, ἀλλὰ διῃρημένας εἰς κώμας. 54) Τῶν πρὸς τὸν βίον ἀναγκαίων. 55) Μὴ θεωρουμένου ἀκόμη ὡς ἐπαισχύντου. 56) Τοῦτο. 57) Τὸ ἁρπάζειν.

58) Συνκδχ. τὰς ἐρωτήσεις ἐρωτῶντες. Κατὰ τοὺς παλαιοὺς ποιητὰς ὅταν ξένοι κατέπλεόν που, ἐρωτῶνο ἀπὸ τοὺς κατοίκους ἂν ἦναι λῃσταί. Ἰδ. Ὁμ. Ὀδ. Γ, 73: Ι, 254.

59) Οὔτε τῶν ἐρωτωμένων. 60) Οἱ Ὀζ. Λοκροὶ κατὰ τὴν ἀρκτικὴν παραλίαν τοῦ Κορινθιακοῦ κόλπου. 61) Διότι ἡ κοινωνία δὲν ἦτον ἀσφαλής. 62) Ταῦτα τὰ μέρη τῆς Ἑλλάδος οἱ Λοκροὶ κτλ., σημεῖόν ἐστι. 63) Καθ᾽ὑπερβιβ. ἀντὶ: ἐν τούτοις πρῶτοι.

64) Παρ᾽αὐτοῖς (διότι ἡ γενικὴ ἤθελε συμπέσει μὲ τὴν ἑπομένην) οἱ γερονδότεροι ἐκ τῶν πλουσίων, (διότι οἱ νέοι δὲν ἔφερον τοιαῦτα φορέματα). 65) Ἀναδούμενοι κρωβύλον (φούναν) ἐκ τῶν ἐν τῇ κεφαλῇ τριχῶν, ἐν ἕρσει χρυσῶν τεττίγων· διὰ χρυσῶν τεττίγων συνείροντες τὰς ἐν τῇ κεφαλῇ τρίχας των εἰς σχῆμα κρωβύλου. Τοὺς δὲ τέττιγας ἐφόρουν ὡς ἔμβλημα αὐτοχθονισμοῦ. 66) Ἐπειδὴ οἱ Ἴωνες ἦσαν συγγενεῖς (ἄποικοι) τῶν Ἀθηναίων.

ἐπιπολὺ αὕτη ἡ σκευὴ κατέσχε. μετρίᾳ[63] δ' αὖ ἐσθῆτι καὶ ἐς τὸν νῦν τρόπον πρῶτοι Λακεδαιμόνιοι ἐχρήσαντο, καὶ ἐς τἆλλα[64] πρὸς τοὺς πολλοὺς[65] οἱ τὰ μείζω κεκτημένοι ἰσοδίαιτοι μάλιστα κατέστησαν· ἐγυμνώθησάν τε πρῶτοι, καὶ ἐς τὸ φανερὸν ἀποδύντες, λίπα μετὰ τοῦ γυμνάζεσθαι[66] ἠλείψαντο· τὸ δὲ πάλαι καὶ ἐν τῷ Ὀλυμπιακῷ ἀγῶνι διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἆθλῃται ἠγωνίζοντο· καὶ οὐ πολλὰ ἔτη ἐπειδὴ πέπαυται[67]. ἔτι δὲ καὶ ἐν τοῖς Βαρβάροις ἔστιν οἷς νῦν, καὶ μάλιστα τοῖς Ἀσιανοῖς, πυγμῆς καὶ πάλης ἆθλα τίθεται, καὶ διεζωσμένοι τοῦτο ὁρῶσι. Πολλὰ δ' ἂν καὶ ἄλλα[70] τις ἀποδείξειε τὸ παλαιὸν Ἑλληνικὸν ὁμοιότροπα τῷ νῦν Βαρβαρικῷ[71] διαιτώμενον.

Τῶν δὲ πόλεων, ὅσαι μὲν νεώτατα ᾠκίσθησαν, καὶ ἤδη πλωϊμωτέρων ὄντων[72], περιουσίας μᾶλλον ἔχουσαι χρημάτων, ἐπ' αὐτοῖς τοῖς αἰγιαλοῖς τείχεσιν ἐκτίζοντο· καὶ τοὺς ἰσθμοὺς ἀπελάμβανον[73], ἐμπορίας τε ἕνεκα, καὶ τῆς πρὸς τοὺς προσοίκους ἕκαστοι ἰσχύος[74]· αἱ δὲ παλαιαί, διὰ τὴν λῃστείαν ἐπὶ πολὺ ἀντισχοῦσαν, ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν αἵ τε ἐν ταῖς νήσοις καὶ ἐν τοῖς ἠπείροις, (ἕφερον[75] γὰρ ἀλλήλους τε καὶ τῶν ἄλλων, ὅσοι[76] ὄντες οὐ θαλάσσιοι, κάτω ᾤκουν·) καὶ μέχρι τοῦδε ἔτι ἀνῳκισμένοι εἰσί.

Καὶ οὐχ ἧσσον λῃσταὶ ἦσαν οἱ νησιῶσαι, Κᾶρές τε ὄντες καὶ Φοίνικες· οὗτοι γὰρ δὴ τὰς πλείστας τῶν νήσων ᴥκησαν. Μαρτύριον δέ[77]· Δήλου γὰρ καθαιρομένης[78] ὑπὸ Ἀθηναίων ἐν τῷδε τῷ πολέμῳ, καὶ τῶν θηκῶν[79] ἀναιρεθεισῶν, ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν τῇ νήσῳ, ὑπὲρ ἥμισυ Κᾶρες ἐφάνησαν, γνωσθέντες τῇ τε σκευῇ τῶν ὅπλων ξυντεθαμμένῃ, καὶ τῷ τρόπῳ, ᾧ νῦν ἔτι θάπτουσι. Καταστάντος δὲ τοῦ Μίνω ναυτικοῦ, πλωϊμώτερα ἐγένετο πρὸς ἀλλήλους[80]. οἱ γὰρ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστησαν[81] ὑπ' αὐτοῦ, ὅτε περ καὶ τὰς πόλεις αὐτῶν κατῴκιζε· καὶ οἱ παρὰ θάλασσαν ἄνθρωποι, μᾶλλον ἤδη τὴν κτῆσιν τῶν χρημάτων ποιούμενοι[82], βεβαιότερον ᾤκουν καί τινες καὶ τείχη περιεβάλλοντο, ὡς πλουσιώτεροι ἑαυτῶν γιγνόμενοι. ἐφιέμενοι γὰρ τῶν κερδῶν, οἵτε ἧσσους ὑπέμενον τὴν τῶν κρεισσόνων δουλείαν, οἵ τε δυνατώτεροι περιουσίας ἔχοντες, προσεποιοῦντο ὑπηκόους τὰς ἐλάσσους πόλεις. καὶ ἐν τούτῳ τῷ τρόπῳ μᾶλλον ἤδη ὄντες[83], ὑστέρῳ χρόνῳ ἐπὶ Τροίαν ἐστράτευσαν.

Ἀγαμέμνων τέ μοι δοκεῖ τῶν τότε δυνάμει προῦχων, καὶ οὐ τοσοῦτον τοῖς Τυνδάρεω ὅρκοις[84] κατειλημμένους τοὺς Ἕλληνας μνηστῆρας ἄγων, τὸν

---

63) Ὀλιγώτερον τρυφηλήν. 64) Καθ' ὅλα τὰ ἄλλα. 65) Πρὸς τὸν κοινὸν ὄχλον.
66) Ἀντὶ ἐν τῷ γυμνάζεσθαι, εἰς τοὺς ἀγῶνας καὶ ἰδίως τῆς πάλης ἐγυμνάζοντο γυμνοὶ καὶ ἀλειμμένοι. 67) Τὸ ἔθος τοῦτο. 70) Κατὰ πολλά. 71) Τὸ ἑλλ. τῷ βαρβ. περιληπτικῶς ἀντὶ: τοὺς Ἕλληνας τοῖς βαρβάροις. 72) Ἁπλούστως, ἀντὶ τοῦ πλοῦ ὄντως εὐκολωτέρου. 73) Κατελάμβανον. 74) Ὅπως ἰσχύωσι. 75) Ἐλεηλάτουν. 76) Καὶ ἀμοιβαίως οἱ θαλάσσιοι, καὶ ἐκ τῶν μὴ θαλασσίων τοὺς οἰκοῦντας κάτω. 77) Τούτου ἐστὶ τὸ ἑξῆς.
78) Ἡ Δῆλος ἦτον ἱερὰ τοῦ Ἀπόλλωνος· οἱ δὲ Ἀθηναῖοι τὴν ἐκάθηραν ἀφαιρέσαντες ἀπὸ αὐτὴν ὅλους τοὺς τάφους, καὶ ψηφίσαντες κανεὶς οὔτε νὰ γεννᾶται οὔτε νὰ ἀποθνήσκῃ ἐπὶ ἐκεῖ νήσου. 79) Τάφων. 80) Τὰ πράγματα· δηλ. ἤρχισαν εὐκολώτερον νὰ πλέωσιν οἱ Ἕλληνες. 81) Ἀνεσταλώθησαν, ἐδιώχθησαν. 82) Χρήματα ποριζόμενοι. 83) Εἰς αὐτὴν τὴν στάσιν εὑρισκόμενοι. 84) Ἡ θυγάτηρ τοῦ Τυνδάρεω Ἑλένη ἐζητεῖτο ὑπὸ πολλῶν μνη-

στόλον ἀγεῖραι. Λέγουσι δὲ καὶ οἱ τὰ σαφέστατα Πελοποννησίων[85] μνήμη παρὰ τῶν πρότερον δεδεγμένοι, Πέλοπα[86] τε πρῶτον πλῆθει χρημάτων, ἃ ἦλθεν ἐκ τῆς Ἀσίας ἔχων εἰς ἀνθρώπους ἀπόρους[87], δύναμιν περιποιησάμενον, τήν τε ἐπωνυμίαν τῆς χώρας ἐπηλύτην[88] ὄντα ὅμως σχεῖν[89], καὶ ὕστερον τοῖς ἐκγόνοις ἔτι μείζω ξυνενεχθῆναι[90], Εὐρυσθέως[91] μὲν ἐν τῇ Ἀττικῇ ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος, Ἀτρέως[92] δὲ μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ, καὶ ἐπιτρέψαντος Εὐρυσθέως, ὅτ' ἐστράτευε, Μυκήνας[93] τε καὶ τὴν ἀρχήν, κατὰ τὸ οἰκεῖον[94], Ἀτρεῖ (τυγχάνειν δὲ αὐτὸν[95] φεύγοντα τὸν πατέρα διὰ τὸν Χρυσίππου θάνατον), καὶ ὡς οὐκ ἔτι ἀνεχώρησεν[96] Εὐρυσθεύς, βουλομένων καὶ τῶν Μυκηναίων, φόβῳ τῶν Ἡρακλειδῶν[97], καὶ ἅμα δυνατὸν δοκοῦντα εἶναι, καὶ τὸ πλῆθος τεθεραπευκότα[98], τῶν Μυκηναίων τε καὶ ὅσων Εὐρυσθεὺς ἦρχε, τὴν βασιλείαν Ἀτρέα παραλαβεῖν, καὶ τῶν Περσειδῶν τοὺς Πελοπίδας μείζους καταστῆναι· ἅ[99] μοι δοκεῖ Ἀγαμέμνων παραλαβών, καὶ ναυτικῷ τε ἅμα ἐπιπλέον τῶν ἄλλων ἰσχύσας, τὴν στρατείαν οὐ χάριτι τὸ πλεῖον, ἢ φόβῳ ξυναγαγών, ποιήσασθαι[100]. φαίνεται γὰρ ναυσί τε πλείσταις αὐτὸς ἀφικόμενος, καὶ Ἀρκάσι προσπαρασχών[101], ὡς Ὅμηρος τοῦτο δεδήλωκεν[102], εἰ τῷ ἱκανὸς τεκμηριῶσαι[103]. καὶ ἐν τοῦ σκήπτρου ἅμα τῇ παραδόσει[104], εἰρῆκεν αὐτὸν « πολλῆσι νήσοισι καὶ Ἀργεῖ παντὶ ἀνάσσειν ». Οὐκ ἂν οὖν νήσων, ἔξω τῶν περιοικίδων[105] (αὗται δὲ οὐκ ἂν πολλαὶ εἶησαν), ἠπειρώτης ὢν ἐκράτει, εἰ μή τι καὶ ναυτικὸν εἶχεν. Εἰκάζειν δὲ χρὴ καὶ ταύτῃ τῇ στρατείᾳ[106], οἷα ἦν τὰ πρὸ αὐτῆς.

Καὶ ὅτι μὲν Μυκῆναι μικρὸν[107] ἦν, ἤ εἴ τι τῶν τότε πόλισμα νῦν μὴ ἀξιόχρεων[108] δοκεῖ εἶναι, οὐκ ἀκριβεῖ ἄν τις σημείῳ χρώμενος ἀπιστοίη[109] μὴ γενέσθαι τὸν στόλον τοσοῦτον, ὅσον οἵ τε ποιηταὶ εἰρήκασι καὶ ὁ λόγος κατέχει[110]. Λακεδαιμονίων γὰρ εἰ ἡ πόλις ἐρημωθείη, λειφθείη δὲ τά τε

στήρων. Ὁ δὲ πατὴρ της λαβὼν ὅρκον παρ' ὅλων αὐτῶν, ἂν ὁ προκριθεὶς νυμφίος ἀδικηθῇ ὑπό τινος, νὰ βοηθῶνται ὑφ' ὅλων τῶν ἄλλων, ἔδοσαν αὐτὴν εἰς τὸν Μενέλαον ἀδελφὸν τοῦ Ἀγαμέμνονος. Κατὰ τὸν ὅρκον ἄρα τοῦτον ὅταν ἡ Ἑλένη ἡρπάγη ὑπὸ Ἀλεξάνδρου τοῦ Πάριδος, βασιλόπαιδος τῆς Τρῳάδος, ὅλοι οἱ Ἕλληνες βασιλεῖς ἦσαν ὑποχρεοι νὰ συνεκστρατεύσωσι μετὰ τοῦ Μενελάου. [85]) Ἀντὶ: τὰ σαφέστατα συμβάντα τῆς ἱστορίας τῶν Πελοποννησίων. [86]) Υἱὸς τοῦ Ταντάλου, βασιλεὺς τῆς Φρυγίας ἐν μικρᾷ Ἀσίᾳ, μετοικήσας ἐκ δεῦρο τὸ ὄνομά του εἰς τὴν Πελοπόννησον. [87]) Ἔχων, ἦλθεν ἐκ τῆς Ἀσίας εἰς ἀνθρώπους.

[88]) Κατ' ἄλλ. ἐπήλυδα. [89]) Ἔσχε τὴν ἐπωνυμίαν, δηλ. κατώρθωσε νὰ ἐπιβάλῃ αὐτήν.

[90]) Τὴν δύναμιν. [91]) Ὁ Εὐρυσθεὺς ἐκ τῆς οἰκογενείας τῶν Περσειδῶν, καταδιώξας τὸν συγγενῆ του Ἡρακλέα, κατεπολεμήθη ἔπειτα ὑπὸ τῶν υἱῶν αὐτοῦ, καὶ ἐφονεύθη εἰς τὴν Ἀττικήν. [92]) Ὁ Ἀτρεὺς υἱὸς τοῦ Πέλοπος. θεῖος τοῦ Εὐρυσθέως. [93]) Πόλις τῆς Ἀργολίδος, καθέδρα τοῦ Εὐρυσθέως. [94]) Διὰ τὴν συγγένειαν. [95]) Τὸν Ἀτρέα. ἐφόνευσε τὸν ἀδελφὸν τε Χρύσιππον. [96]) Ἐπέστρεψε. [97]) Φοβούμενοι μὴ ἐπιστρέψωσιν οἱ Ἡρακλεῖδαι.

[98]) Κολακεύσαντα. [99]) Τὴν ὁποίαν κατάστασιν τῶν πραγμάτων. [100]) Ποιήσασθαι τὴν στρ. συναγαγὼν (αὐτὴν) οὐ χάριτι, ὅτι χαριζομένων αὐτῷ τῶν συστρατευόντων.

[101]) Νῆας. [102]) Ἰλ. Β'. 612. [103]) Εἶτινι πιστευτὸς φαίνεται ὥστε τεκμήριον λαβεῖν ἐκ τῶν λόγων του. [104]) Ἐν Ἰλ. Β'. 108, ὅπου ὁ Ὅμηρος διηγεῖται πῶς τὸ ἀνακτορικὸν σκῆπτρον παρεδόθη ἀπὸ προκατόχου εἰς διάδοχον μέχρι τοῦ Ἀγαμέμνονος. [105]) Τῶν πλησίον τῆς Ἀργολικῆς παραλίας οἰκουμένων. [106]) Ὡς ἐξ αὐτῆς τῆς ἐκστρατείας, τῆς κατὰ Τροίας. [107]) Πόλισμα. [108]) Ἀξιόλογον. [109]) Οὐκ ἀπιστοίη ἄν τις μὴ γενέσθαι, χρώμενος ὡς σημείῳ τῷ ὅτι αἱ Μ. μικρὸν ἦν, ἢ ἄλλο τι κτλ. Δὲν πρέπει νὰ ἀπιστῇ τις τεκμαιρόμενος ἐκ τοῦ ὅτι αἱ Μ. ἦσαν μικρὸν πόλισμα κτλ. [110]) Ἡ φήμη διαβάλλει.

ἱερὰ καὶ τῆς κατασκευῆς[111] τὰ ἐδάφη, πολλὴν ἂν οἶμαι ἀπιστίαν τῆς δυνάμεως, προελθόντος πολλοῦ χρόνου, τοῖς ἔπειτα πρὸς τὸ κλέος αὐτῶν εἶναι[112]· καίτοι Πελοποννήσου τῶν πέντε τὰς δύο μοίρας[113] νέμονται, τῆς τε ξυμπάσης ἡγοῦνται[114], καὶ τῶν ἔξω[115] ξυμμάχων πολλῶν· ὅμως δὲ οὔτε ξυνοικισθείσης[116] πόλεως, οὔτε ἱεροῖς καὶ κατασκευαῖς πολυτελέσι χρησαμένης, κατὰ κώμας[117] δὲ τῷ παλαιῷ τῆς Ἑλλάδος τρόπῳ οἰκισθείσης, φαίνοιτ' ἂν ὑποδεεστέρα· Ἀθηναίων δὲ τὸ αὐτὸ τοῦτο παθόντων[118], διπλασίαν τὴν δύναμιν εἰκάζεσθαι[119] ἀπὸ τῆς φανερᾶς ὄψεως τῆς πόλεως, ἣ ἔστιν. Οὐκουν ἀπιστεῖν εἰκὸς, οὐδὲ τὰς ὄψεις τῶν πόλεων μᾶλλον σκοπεῖν ἢ τὰς δυνάμεις· νομίζειν δὲ τὴν στρατιὰν ἐκείνην, μεγίστην μὲν γενέσθαι τῶν πρὸ αὐτῆς, λειπομένην[120] δὲ τῶν νῦν, τῇ Ὁμήρου αὖ ποιήσει εἴτι χρὴ κἀνταῦθα πιστεύειν· ἣν[121] εἰκὸς ἐπὶ τὸ μεῖζον μὲν ποιητὴν ὄντα κοσμῆσαι, ὅμως δὲ φαίνεται καὶ οὕτως ἐνδεεστέρα. πεποίηκε γὰρ χιλίων καὶ διακοσίων νεῶν τὰς μὲν Βοιωτῶν εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν, τὰς δὲ Φιλοκτήτου, πεντήκοντα, δηλῶν, ὡς ἐμοὶ δοκεῖ, τὰς μεγίστας καὶ τὰς ἐλαχίστας· ἄλλων γοῦν μεγέθους πέρι[122] ἐν νεῶν καταλόγῳ[123] οὐκ ἐμνήσθη· αὐτερέται[124] δὲ ὅτι ἦσαν καὶ μάχιμοι πάντες, ἐν ταῖς Φιλοκτήτου ναυσὶ δεδήλωκε· τοξάτας γὰρ πάντας πεποίηκε τοὺς προσκώπους· περίνεως[125] δὲ οὐκ εἰκὸς πολλοὺς ξυμπλεῖν, ἔξω τῶν βασιλέων καὶ τῶν μάλιστα ἐν τέλει, ἄλλως τε καὶ μέλλοντας πέλαγος περαιώσεσθαι μετὰ σκευῶν· οὐδ' αὖ τὰ πλοῖα κατάφρακτα ἔχοντας[126], ἀλλὰ τῷ παλαιῷ τρόπῳ λῃστικώτερον παρεσκευασμένα. πρὸς τὰς μεγίστας γοῦν καὶ ἐλαχίστας ναῦς τὸ μέσον σκοποῦντι, οὐ πολλοὶ φαίνονται ξυνελθόντες ὡς ἀπὸ πάσης τῆς Ἑλλάδος κοινῇ πεμπόμενοι.

Αἴτιον δ' ἦν οὐχ ἡ ὀλιγανθρωπία τοσοῦτον, ὅσον ἡ ἀχρηματία. τῆς γὰρ τροφῆς ἀπορίᾳ, τόν τε στρατὸν ἐλάσσω ἤγαγον, καὶ ὅσον ἤλπιζον αὐτόθεν πολεμοῦντα βιοτεύσειν[127]· ἐπειδὴ δὲ ἀφικόμενοι μάχῃ ἐκράτησαν, (δῆλον δὲ[128]· τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ οὐκ ἂν ἐτειχίσαντο)· φαίνονται δ' οὐδ' ἐνταῦθα πάσῃ τῇ δυνάμει χρησάμενοι, ἀλλὰ πρὸς γεωργίαν τῆς Χερρονήσου[129] τραπόμενοι καὶ λῃστείαν, τῆς τροφῆς ἀπορίᾳ· ἢ[130] καὶ μᾶλλον οἱ Τρῶες, αὐτῶν διεσπαρμένων, τὰ δέκα ἔτη ἀντεῖχον βίᾳ τοῖς ἀεὶ ὑπολειπομένοις ἀντίπαλοι[131] ὄντες· περιουσίαν δὲ εἰ ἦλθον ἔχοντες τροφῆς, καὶ ὄντες ἀθρόοι, ἄνευ λῃστείας καὶ γεωργίας ξυνεχῶς τὸν πόλεμον διέφερον[132], ῥᾳδίως ἂν μάχῃ κρατοῦντες εἶλον· οἵγε καὶ οὐκ ἀθρόοι, ἀλλὰ μέρει τῷ ἀεὶ παρατυχόντι ἀντεῖχον· πολιορκίᾳ δ' ἂν προσκαθεζόμενοι, ἐν ἐλάσσονί τε χρόνῳ, καὶ ἀπονώτερον τὴν Τροίαν εἶλον· ἀλλὰ δι' ἀχρηματίαν τά τε

111) Τῶν οἰκοδομῶν. 112) Νομίζω ὅτι οἱ ἔπειτα θέλουν δυσπιστεῖ πρὸς τὴν φήμην αὐτῶν. 113) Τὰ δύω πέμπτα τῆς Πελοπ. (ἡ Λακωνία κ' ἡ Μεσσηνία). 114) Ἡγεμονεύουσι, προεδρεύουσι. 115) Ἔξω τοῦ Ἰσθμοῦ, τῶν Βοιωτῶν καὶ ἄλλων. 116) Γενικὴ τοῦ συγκριτικοῦ Ὑποδεεστέρα. 117) Εἰς διαφόρους συνοικίας διηρημένης. 118) Ἐπιθετ. Ἐὰν ἔπασχον. 119) Οἶμαι. 120) Ἐλάσσονα. 121) Στρατιὰν ἢ στρατείαν. 122) Περὶ μεγέθους ἄλλων. 123) Ἐν Ἰλ. Β. 124) Οἱ αὐτοὶ ἐρέται, κωπηλάται καὶ στρατιῶται. 125) Ἁπλοῖ ἐπιβάται μὴ καὶ ἐρέται οἱ αὐτοί. 126) Μὲ κατασκρώματα. 127) Ὅτι θέλει πορισθῇ τὰ πρὸς τὸ ζῆν. 128) Ὅτι ἐκράτησαν, ἐκ τούτου, ὅτι οὐκ ἂν ἐτειχίσαντο. 129) Τὸ μέρος τοῦ Ἑλλησπόντου τὸ ἀντίκρυ τῆς Τροάδος. 130) Ἐφ' ᾗ αἰτίᾳ, δι' ὅ. 131) Ἰσοδύναμοι. 132) Ἐξηκολούθουν. Δ. Β. 4.

πρὸ τούτων[135] ἀσθενῆ ἦν, καὶ αὐτά γε δὴ ταῦτα[134], ὀνομαστότατα τῶν πρὶν γενόμενα, δηλοῦται τοῖς ἔργοις ὑποδεέστερα ὄντα τῆς φήμης καὶ τοῦ νῦν περὶ αὐτῶν διὰ τοὺς ποιητὰς[135] λόγου κατεσχηκότος[136].

Ἐπεὶ καὶ μετὰ τὰ Τρωϊκὰ ἡ Ἑλλὰς ἔτι μετανίστατό[137] τε καὶ μετῳκίζετο, ὥστε μὴ ἡσυχάσασα αὐξηθῆναι. Ἥ τε γὰρ ἀναχώρησις τῶν Ἑλλήνων ἐξ Ἰλίου χρονία γενομένη πολλὰ ἐνεόχμωσε[138], καὶ στάσεις ἐν ταῖς πόλεσιν ὡς ἐπὶ πολὺ ἐγίγνοντο, ἀφ' ὧν ἐκπίπτοντες τὰς πόλεις ἔκτιζον[139]. Βοιωτοί τε γὰρ οἱ νῦν, ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν, ἐξ Ἄρνης[140] ἀναστάντες ὑπὸ Θεσσαλῶν, τὴν νῦν μὲν Βοιωτίαν, πρότερον δὲ Καδμηΐδα γῆν καλουμένην ᾤκισαν (ἦν δὲ αὐτῶν καὶ ἀπόδασμος[141] πρότερον ἐν τῇ γῇ ταύτῃ ἀφ' ὧν καὶ εἰς Ἴλιον ἐστράτευσαν)· Δωριῆς τε ὀγδοηκοστῷ ἔτει ξὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον[142]. μόγις τε ἐν πολλῷ χρόνῳ ἡσυχάσασα ἡ Ἑλλὰς βεβαίως, καὶ οὐκ ἔτι ἀνισταμένη[143], ἀποικίας ἐξέπεμψε· καὶ Ἴωνας[144] μὲν Ἀθηναῖοι, καὶ νησιωτῶν τοὺς πολλοὺς ᾤκιταν· Ἰταλίας δὲ καὶ Σικελίας τὸ πλεῖστον Πελοποννήσιοι, τῆς τε ἄλλης Ἑλλάδος ἔχουσί τινα χωρία. πάντα δὲ ταῦτα ὕστερον τῶν Τρωϊκῶν ἐκτίσθη.

Δυνατωτέρας δὲ γενομένης τῆς Ἑλλάδος, καὶ τῶν χρημάτων τὴν κτῆσιν ἔτι μᾶλλον ἢ πρότερον ποιουμένης, τὰ πολλὰ τυραννίδες ἐν ταῖς πόλεσι καθίσταντο, τῶν προσόδων μειζόνων γιγνομένων· (πρότερον δὲ ἦσαν ἐπὶ ῥητοῖς γέρασι[145] πατρικαὶ βασιλεῖαι·) ναυτικά τε ἐξηρτύετο[146] ἡ Ἑλλὰς καὶ τῆς θαλάσσης μᾶλλον ἀντείχοντο[147]. Πρῶτοι δὲ Κορίνθιοι λέγονται ἐγγύτατα τοῦ νῦν τρόπου μεταχειρίσαι τὰ περὶ τὰς ναῦς[148], καὶ τριήρεις ἐν Κορίνθῳ πρῶτον τῆς Ἑλλάδος[149] ναυπηγηθῆναι. Φαίνεται δὲ καὶ Σαμίοις Ἀμεινοκλῆς, Κορίνθιος ναυπηγός, ναῦς ποιήσας τέτταρας· ἔτη δ' ἐστὶ μάλιστα[150] τριακόσια εἰς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου[151], ὅτε Ἀμεινοκλῆς Σαμίοις ἦλθε· ναυμαχία τε παλαιοτάτη ὧν ἴσμεν γίγνεται Κορινθίων πρὸς Κερκυραίους[152]· ἔτη δὲ μάλιστα καὶ ταύτη ἑξήκοντα καὶ διακόσιά ἐστι μέχρι τοῦ αὐτοῦ χρόνου· οἰκοῦντες γὰρ τὴν πόλιν οἱ Κορίνθιοι ἐπὶ τοῦ ἰσθμοῦ, ἀεί ποτε ἐμπόριον εἶχον, τῶν Ἑλλήνων τὸ πάλαι κατὰ γῆν τὰ πλείω ἢ κατὰ θάλασσαν, τῶν τε ἐντὸς Πελοποννήσου καὶ τῶν ἔξω, διὰ τῆς ἐκείνων[153] παρ' ἀλλήλους ἐπιμισγόντων· χρήμασί τε δυνατοὶ ἦσαν, ὡς καὶ τοῖς παλαιοῖς ποιηταῖς δεδήλωται· εὐφυῶς[154] γὰρ ἐπωνόμασαν τὸ χωρίον. ἐπειδή τε οἱ Ἕλληνες μᾶλλον ἐπλωΐζοντο, τὰς ναῦς κτησάμενοι, τὸ ληστικὸν[155]

---

[133]) Πράγματα τῶν Ἑλλήνων. [134]) Τὰ Τρωϊκά. [135]) Ἐξ αἰτίας τῶν ποιητῶν.
[136]) Ἐπικρατήσαντος. [137]) Δηλ. ἐν Ἑλλάδι ἐγίνοντο μεταναστάσεις. [138]) Πολλοὺς ἐπέφερε νεωτερισμούς. [139]) Ἀφ' ὧν στάσεων διωκομενοί τινες ἔκτιζον ἄλλας πόλεις.
[140]) Θεσσαλικὴ πόλις. [141]) Μέρος, ἀπόσπασμα. [142]) Οἱ Δωριεῖς, Θεσσαλικὸς λαός, ἐκυρίευσαν τὴν Πελοπόννησον ἐπὶ προφάσει ὅτι κατάγουσι τοὺς διωχθέντας ἀπογόνους τοῦ Ἡρακλέους. [143]) Ὑποκειμένη εἰς ἀναστατώσεις. [144]) Τὴν Ἰωνίαν ἐν μικρᾷ Ἀσίᾳ.
[145]) Βασιλεῖς μὲ ὡρισμένα προνόμια, (καθὼς λέγομεν τώρα, Συνταγματικοί).
[146]) Παρεσκεύαζε, κατεσκεύαζε. [147]) Ἐβίδοντο εἰς τὴν θάλασσαν οἱ Ἕλλ.
[148]) Τὴν κατασκευὴν τῶν νεῶν. [149]) Γεν. διαιρετικὴ τοῦ πρῶτον. Κατὰ πρῶτον ἀφ' ὅλα τὰ μέρη τῆς Ἑλλάδος. [150]) Περίπου. [151]) Τοῦ Πελοποννησιακοῦ. [152]) Ὅτε οἱ Κερκυραῖοι ἐφόνευσαν Λυκόφρονα τὸν Περιάνδρου, τυράννου τῶν Κορινθίων. [153]) Πόλεως ἢ χώρας. [154]) Ὀλοὺσιον, ποιητ. Ἰλ. Β. 570. [155]) Περίληψις. ἀντὶ τοῦ ληστάς.

καθήρουν[155]· καὶ ἐμπόριον παρέχοντες ἀμφότερα[157], δυνατὴν ἔσχον χρημάτων προσόδῳ τὴν πόλιν. Καὶ ὕστερον πολὺ γίγνεται ναυτικὸν ἐπὶ Κύρου, Περσῶν πρώτου βασιλεύοντος, καὶ Καμβύσου τοῦ υἱέως[158] αὐτοῦ τῆς τε καθ' ἑαυτοὺς θαλάσσης, Κύρῳ πολεμοῦντες, ἐκράτησαν τινὰ χρόνον. Καὶ Πολυκράτης Σάμου τυραννῶν ἐπὶ Καμβύσου, ναυτικῷ ἰσχύων, ἄλλας τε τῶν νήσων ὑπηκόους ἐποιήσατο, καὶ Ῥήνειαν[159] ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ· Φωκαεῖς[160] τε Μασσαλίαν οἰκίζοντες, Καρχηδονίους ἐνίκων ναυμαχοῦντες.

Δυνατώτατα γὰρ ταῦτα[161] τῶν ναυτικῶν ἦν. Φαίνεται δὲ καὶ ταῦτα[162] πολλαῖς γενεαῖς ὕστερα γενόμενα τῶν Τρωϊκῶν, τριήρεσι[163] μὲν ὀλίγαις χρώμενα, πεντηκοντόροις[164] δ' ἔτι καὶ πλοίοις μακροῖς[165] ἐξηρτυμένα, ὥσπερ ἐκεῖνα. Ὀλίγον τε πρὸ τῶν Μηδικῶν[166] καὶ τοῦ Δαρείου θανάτου, ὃς μετὰ Καμβύσην Περσῶν ἐβασίλευσε, τριήρεις περί τε Σικελίαν τοῖς τυράννοις ἐς πλῆθος ἐγένοντο, καὶ Κερκυραίοις· ταῦτα γὰρ τελευταῖα πρὸ τῆς Ξέρξου[167] στρατείας ναυτικὰ ἀξιόλογα ἐν τῇ Ἑλλάδι κατέστη. Αἰγινῆται γὰρ καὶ εἴ τινες ἄλλοι βραχέα ἐκέκτηντο, καὶ τούτων τὰ πολλὰ πεντηκοντόρους. Ὀψὲ τε ἀφ' οὗ Ἀθηναίους Θεμιστοκλῆς ἔπεισεν[168], Αἰγινήτας πολεμοῦντας, καὶ ἅμα τοῦ βαρβάρου προσδοκίμου ὄντος[169], τὰς ναῦς ποιήσασθαι, αἵπερ καὶ ἐναυμάχησαν· καὶ αὗται οὕπω εἶχον διὰ πάσης[170] καταστρώματα.

Τὰ μὲν οὖν ναυτικὰ τῶν Ἑλλήνων τοιαῦτα ἦν, τά τε παλαιὰ, καὶ τὰ ὕστερον γενόμενα· ἰσχὺν δὴ περιεποιήσαντο ὅμως οὐκ ἐλαχίστην οἱ προσχόντες αὐτοῖς, χρημάτων τε προσόδῳ, καὶ τῶν ἄλλων ἀρχῇ[171]. ἐπιπλέοντες γὰρ, τὰς νήσους κατεστρέφοντο[172], καὶ μάλιστα ὅσοι μὴ διαρκῆ[173] εἶχον χώραν. Κατὰ γῆν δὲ πόλεμος, ὅθεν τις καὶ δύναμις παρεγένετο[174], οὐδεὶς ξυνέστη· πάντες δὲ ἦσαν, ὅσοι καὶ ἐγένοντο πρὸς ὁμόρους τοὺς σφετέρους ἑκάστοις· καὶ ἐκδήμους στρατείας πολὺ ἀπὸ τῆς ἑαυτῶν[175] ἐπ' ἄλλων καταστροφῇ οὐκ ἐξήεσαν οἱ Ἕλληνες. οὐ γὰρ ξυνεστήκεσαν[176] πρὸς τὰς μεγίστας πόλεις αἱ ὑπήκοοι[177], οὐδ' αὐτοὶ ἀπὸ τῆς ἴσης[178] κοινὰς στρατείας ἐποιοῦντο· κατ' ἀλλήλους δὲ μᾶλλον ὡς ἕκαστοι οἱ ἀστυγείτονες ἐπολέμουν. μάλιστα δὲ[179] ἐς τὸν πάλαι ποτὲ γενόμενον πόλεμον Χαλκιδέων καὶ Ἐρετριέων[180], καὶ τὸ ἄλλο Ἑλληνικὸν[181] ἐς ξυμμαχίαν ἑκατέρων διέστη.

---

155) Οἱ Κορίνθιοι. 157) Κατ' ἀμφότερα, κατά τε ξηρὰν καὶ θάλασσαν. 158) Ἀττικῶς ἐξ νομ. Γίεύς. 159) Μικρὰ νῆσος περὶ τὴν Δῆλον. 160) Κάτοικοι Φωκαίας, Ἰωνικῆς πόλεως παρὰ τὴν Σμύρνην. 161) Τὰ εἰρημένα. 162) Τὰ ναυτικά. 163) Τριήρης, πλοῖον ἔχον τρεῖς ἐπαλλήλους σειρὰς κωπῶν. 164) Πλοῖα ἔχοντα μίαν σειρὰν πεντήκοντα κωπῶν. 165) Μακρὰ ἐλέγοντο τὰ πολεμικά, κοῖλα δὲ τὰ ἐμπορικά. 166) Τῆς ἐκστρατείας τῶν Περσῶν κατὰ τῆς Ἑλλάδος. 167) Γνωστὸν, ὅτι δύω ἐγένοντο τῶν Περσῶν εἰσβολαὶ ἐν Ἑλλάδι, ἡ πρώτη ὑπὸ Δαρεῖον, ἡ δὲ δευτέρα ὑπὸ Ξέρξην. 168) Ὀψὲ ἦν ἀφ' οὗ ἔπεισε, δηλ. ἐξώρας ἔπεισε. 169) Προσδοκωμένης τῆς εἰσβολῆς τῶν βαρβάρων. 170) Τῆς νεὼς ἡ τῆς ἐκτάσεως. 171) Οἱ προσσχόντες, οἱ ἐπιμεληθέντες τὰ ναυτικὰ ἔγιναν ἰσχυροὶ διότι καὶ χρήματα ἀπέκτησαν, καὶ τῶν ἄλλων πολεων ἦρξαν. 172) Ἐκυρίευον. 173) Ἐπαρκῆ. 174) Πόλεμος τοιοῦτος, ὥστε νὰ προσγίνῃ ἐξ αὐτοῦ δύναμις εἴς τινα. 175) Πολὺ μεμακρυσμένας ἀπὸ τὰς χώρας των. 176) Συνενοῦντο. 177) Αἱ αὐτόνομοι Ἑλλ. πόλεις αἱ ὑπὸ τὴν ἡγεμονίαν οὖσαι ἄλλων μεγαλητέρων, ἐλέγοντο ὑπήκοοι. 178) Δίδοντες ἴσως συνεισφοράς. 179) Ἰδιαιτέρως δέ. 180) Δύω πόλεων τῆς Εὐβοίας. Τὸν πόλεμον διηγεῖται ὁ Στράβων. 181) Καὶ οἱ ἄλλοι Ἕλληνες.

Ἐπεγίγνοντο δὲ ἄλλοις τε ἄλλοθι κωλύματα μὴ αὐξηθῆναι, καὶ Ἴωσι, προχωρησάντων ἐπὶ μέγα τῶν πραγμάτων[182], Κῦρος καὶ ἡ Περσικὴ βασιλεία, Κροῖσον[183] καθελοῦσα καὶ ὅσα ἐντὸς Ἅλυος[184] ποταμοῦ πρὸς θάλασσαν[185], ἐπεστράτευσε, καὶ τὰς ἐν τῇ ἠπείρῳ[186] πόλεις ἐδούλωσε· Δαρεῖός τε ὕστερον, τῷ Φοινίκων ναυτικῷ κρατῶν[187] καὶ τὰς νήσους.

Τύραννοι δὲ ὅσοι ἦσαν ἐν ταῖς Ἑλληνικαῖς πόλεσι, τὸ ἐφ' ἑαυτῶν[188] μόνον προορώμενοι, ἔς τε τὸ σῶμα καὶ ἐς τὸν τοῦ ἰδίου οἶκον αὔξειν, δι' ἀσφαλείας ὅσον ἠδύναντο μάλιστα τὰς πόλεις ᾤκουν[189]· ἐπράχθη τε ἀπ' αὐτῶν οὐδὲν ἔργον ἀξιόλογον· εἰ μὴ εἴ τι πρὸς περιοίκους τοὺς αὑτῶν ἑκάστοις. οἱ γὰρ[190] ἐν Σικελίᾳ ἐπὶ πλεῖστον ἐχώρησαν δυνάμεως. Οὕτω πανταχόθεν ἡ Ἑλλὰς ἐπὶ πολὺν χρόνον κατείχετο[191], μήτε κοινῇ φανερὸν κατεργάζεσθαι, κατὰ πόλεις τε ἀτολμοτέρα εἶναι[192].

Ἐπειδὴ δὲ οἵτε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης Ἑλλάδος, ἐπιπολὺ καὶ πρὶν τυραννευθεῖσης[193], οἱ πλεῖστοι καὶ τελευταῖοι, πλὴν τῶν ἐν Σικελίᾳ, ὑπὸ Λακεδαιμονίων κατελύθησαν· (ἡ γὰρ Λακεδαίμων, μετὰ τὴν κτίσιν τῶν νῦν ἐνοικούντων αὐτὴν Δωριέων[194], ἐπὶ πλεῖστον ὧν ἴσμεν χρόνον[195] στασιάσασα, ὅμως ἐκ παλαιτάτου καὶ εὐνομήθη· καὶ ἀεὶ ἀτυράννευτος ἦν. ἔτη γάρ ἐστι μάλιστα τετρακόσια καὶ ὀλίγῳ πλείω ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ἀφ' οὗ Λακεδαιμόνιοι τῇ αὐτῇ πολιτείᾳ χρῶνται· καὶ δι' αὐτὸ δυνάμενοι, καὶ τὰ ἐν ταῖς ἄλλαις πόλεσι καθίσταν[196].) μετὰ δὲ[196a] τὴν τῶν τυράννων κατάλυσιν ἐκ τῆς Ἑλλάδος, οὐ πολλοῖς ἔτεσιν ὕστερον, καὶ ἡ ἐν Μαραθῶνι μάχη Μήδων πρὸς Ἀθηναίους ἐγένετο. Δεκάτῳ δὲ ἔτει μετ' αὐτὴν, αὖθις ὁ Βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος[197] ἦλθε· καὶ μεγάλου κινδύνου ἐπικρεμασθέντος, οἵτε Λακεδαιμόνιοι τῶν ξυμπολεμησάντων Ἑλλήνων ἡγήσαντο[198], δυνάμει προύχοντες, καὶ οἱ Ἀθηναῖοι, ἐπιόντων τῶν Μήδων, διανοηθέντες ἐκλιπεῖν τὴν πόλιν, καὶ ἀνασκευασάμενοι[199], ἐς τὰς ναῦς ἐμβάντες, ναυτικοὶ ἐγένοντο· κοινῇ τε ἀπωσάμενοι τὸν Βάρβαρον, ὕστερον οὐ πολλῷ διεκρίθησαν[200] πρός τε Ἀθηναίους καὶ Λακεδαιμονίους, οἵτε ἀποστάντες βασιλέως Ἕλληνες, καὶ οἱ ξυμπολεμήσαντες[201]. δυνάμει γὰρ ταῦτα[202] μέγιστα διεφάνη· ἴσχυον γὰρ οἱ μὲν κατὰ γῆν, οἱ δὲ ναυσί. καὶ ὀλίγον μὲν χρόνον ξυνέμειναν ἡ ὁμαιχμία· ἔπειτα δὲ διενεχθέντες οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι, ἐπολέμησαν μετὰ τῶν

182) Τοῦ Κύρου ἡ αὐτῶν τῶν Ἰώνων. 183) Τὸν Λυδῶν βασιλέα. 184) Ποταμὸς μεταξὺ Λυδίας καὶ Ἰωνίας. 185) Καθελοῦσα ἡ Περσῶν βασιλεία, ἢ μᾶλλον καθιστᾶσα ὁ Κῦρος. 186) Τῇ Ἰωνικῇ. 187) Ἰσχύων τῷ ναυτικῷ τῶν Φοινίκων, τοὺς ὁποίως εἶχε συμμάχους. 188) Φροντίζοντες περὶ μόνου τοῦ ἰδίου αὐτῶν συμφέροντος, ὡς πρὸς τὴν ὠφέλειαν τοῦ σώματος τῶν κτλ. 189) Κατῴκουν ἢ διῴκουν τὰς πόλεις ὡς ὅποιον τρόπον ἐδύναντο νὰ ἦνε ἀσφαλέστατος εἰς αὐτάς, ὅλ. μὴ ἐκστρατευόντες. 190) Ἀντὶ ἐναντιωματικοῦ, ἢ αἰτιολογεῖ τὸ ἀνωτέρω, ὅτι πολεμοῦντες τοὺς περιοίκους ηὔξησαν οἱ ἐν Σικελίᾳ τύραννοι. 191) Ἐμποδίζετο. 192) Κατείχετο ὥστε εἶναι. 193) Ὑπὸ τυράννων διοικηθείσης. 194) Ἀφ' οὗ ἐκτίσθη ὑπὸ τῶν Δωρ. ἴδ. ἀνωτέρω §. 16'. 195) Ἐπὶ πλεῖστον χρόνον ὅλων τῶν πόλεων ἃς ἴσμεν. 196) Διέταξαν, ἔβαλαν εἰς τάξιν. 196a) Ἴσως ἦσαν δ' ἡ, ὡς ἐπανάληψις τοῦ ἐν ἀρχῇ τοῦ παραγράφου Ἐπειδή. 197) Ὅπως δουλώσῃ αὐτήν. 198) Ἐγένοντο ἡγεμόνες, ἔλαβον τὴν ὁδηγίαν. 199) Ἀναλαβόντες τὰ σκεύη των. 200) Συνεμάχησαν μετὰ τῶν μὲν ἡ τῶν δέ. 201) μετὰ τοῦ βασιλέως (τοῦ τῶν Περσῶν). 202) Τὰ ἔθνη, οἱ Δθ. καὶ οἱ Δακ.

ξυμμάχων πρὸς ἀλλήλους· καὶ τῶν ἄλλων Ἑλλήνων εἴ τινές που διεστασίασαν[203], πρὸς τούτους ἦδη ἐχώρουν· ὥστε ἀπὸ τῶν Μηδικῶν ἐς τόνδε ἀεὶ τὸν πόλεμον, τὰ μὲν σπενδόμενοι, τὰ δὲ πολεμοῦντες, ἢ ἀλλήλοις, ἢ τοῖς ἑαυτῶν ξυμμάχοις ἀφισταμένοις, εὖ παρεσκευάσαντο τὰ πολέμια[204], καὶ ἐμπειρότεροι ἐγένοντο, μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι.

Καὶ οἱ μὲν Λακεδαιμόνιοι, οὐχ ὑποτελεῖς ἔχοντες φόρου[205] τοὺς ξυμμάχους, ἡγοῦντο, κατ' ὀλιγαρχίαν δὲ σφίσιν αὐτοῖς μόνον ἐπιτηδείως ὅπως πολιτεύσωσι θεραπεύοντες[206]. Ἀθηναῖοι δὲ ναῦς τε τῶν πόλεων τῷ χρόνῳ[207] παραλαβόντες, ἦρχον, πλὴν Χίων καὶ Λεσβίων, καὶ χρήματα τοῖς πᾶσι τάξαντες[208] φέρειν· καὶ ἐγένετο αὐτοῖς εἰς τόνδε τὸν πόλεμον ἡ ἰδία παρασκευὴ μείζων, ἢ ὡς τὰ κράτιστά ποτε μετὰ ἀκραιφνοῦς τῆς ξυμμαχίας ἦνθησαν[209].

ΒΙΒΛΙΟΝ Β'. §. 72—79.

Τοῦ δ' ἐπιγιγνομένου θέρους[1], οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐς μὲν τὴν Ἀττικὴν οὐκ ἐσέβαλον, ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν[2]· ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς· καὶ καθίσας[3] τὸν στρατὸν ἔμελλε δῃώσειν τὴν γῆν. Οἱ δὲ Πλαταιῆς, εὐθὺς πρέσβεις πέμψαντες πρὸς αὐτὸν, ἔλεγον τοιάδε· »Ἀρχίδαμε καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε, οὐδ' ἄξια οὔτε ὑμῶν, οὔτε πατέρων ὧν[4] ἐσε, ἐς γῆν τὴν Πλαταιέων στρατεύοντες. Παυσανίας γὰρ ὁ Κλεομβρότου, Λακεδαιμόνιος, ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων, μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι[5] τὸν κίνδυνον τῆς μάχης, ἢ παρ' ἡμῖν[6] ἐγένετο, θύσας ἐν τῇ Πλαταιέων ἀγορᾷ Διὶ ἐλευθερίῳ ἱερά, καὶ ξυγκαλέσας πάντας τοὺς ξυμμάχους, ἀπεδίδου Πλαταιεῦσι, γῆν καὶ πόλιν τὴν σφετέραν ἔχοντας αὐτονόμους οἰκεῖν· στρατεῦσαί[8] τε μηδένα ποτὲ ἀδίκως ἐπ' αὐτοὺς, μηδ' ἐπὶ δουλείᾳ[9]· εἰ δὲ μή, ἀμύνειν τοὺς παρόντας ξυμμάχους, κατὰ δύναμιν. Τάδε μὲν ἡμῖν πατέρες οἱ ὑμέτεροι ἔδοσαν, ἀρετῆς[10] ἕνεκα καὶ προθυμίας τῆς ἐν ἐκείνοις τοῖς κινδύνοις γενομένης[11]· ὑμεῖς δὲ τἀναντία ὁρᾶτε· μετὰ γὰρ Θηβαίων, τῶν ἡμῖν ἐχθίστων, ἐπὶ δουλείᾳ τῇ ἡμετέρᾳ ἥκετε. Μάρτυρας δὲ θεοὺς τούς τε ὁρκίους[12] τότε γενομένους ποιούμενοι, καὶ τοὺς ὑμετέρους πατρῴους καὶ ἡμετέρους ἐγχωρίους, λέγομεν ὑμῖν τὴν γῆν τὴν Πλαταιΐδα μὴ ἀδικεῖν,

---

203) Ἂν τινες εἶχόν τινα διαφορὰν μεταξὺ των ἐνοῦντο μεθ' ἑκατέρων. 204) Καλῶς ἡτοιμάσθησαν πρὸς τὸν πόλεμον. 205) Δὲν ἐλάμβανον, ὡς οἱ Ἀθηναῖοι, φόρον ἀπὸ τοὺς συμμάχους των. 206) Ἡγοῦντο δὲ θεραπεύοντες αὐτοὺς ὅπως πολιτεύσωσι κατ' ὀλιγαρχίαν, ἐπιτηδείως σφίσιν αὐτοῖς, ὡς ἐαύμφερεν εἰς αὐτοὺς τοὺς Λακ. 207) Ὀλίγον κατ' ὀλίγον. 208) Προσδιορίσαντες, ἐπιβαλόντες πόσα ἔπρεπε νὰ φέρῃ ἑκάστη πόλις. 209) Ἀφ' ὅ,τι ποτὲ ἤνθησαν ὅτε εἶχον ἀκραιφνεῖς συμμάχους, πρὶν δηλ. καταστήσωσιν αὐτοὺς ὑπηκόους.

1) Τοῦ 429 ἔτους Π. Χ. Ὀλ. 87, δ'. 2) Ἡ αὐτὴ πόλις καὶ Πλαταιαὶ, εἰς τὴν Βοιωτίαν, ὑπὸ τὸν Κιθαιρῶνα. Ἦτον σύμμαχος τῶν Ἀθηναίων. 3) Ἀποκαταστήσας, στρατοπεδεύσας. 4) Παῖδες. 5) Νὰ συκώσωσι μαζῆ του, ὡς ὁ κίνδυνος νὰ ἦτον βάρος τι, νὰ μεθέξωσι. 6) Ἐν Πλαταιαῖς. Ἴδε, ἀνωτ. Ὀλοντ. Ἀριστ. Τόμ. Β'. 7) Τῷ προστάτῃ τῆς ἐλευθερίας. 8) Ὥστε ἡ ἐκήρυξε στρατεῦσαι. 9) Πρὸς ὑποδούλωσίν των. 10) Στρατιωτικῆς ἀνδρίας. 11) Τῆς γενομένης ἡμῖν. 12) Προστάτας τῶν ὅρκων.

μηδὲ παραβαίνειν τοὺς ὅρκους, ἐᾶν δὲ[45] οἰκεῖν αὐτονόμους, καθάπερ Παυσανίας ἐδικαίωσε[46].α

Τοσαῦτα εἰπόντων Πλαταιέων, Ἀρχίδαμος ὑπολαβὼν εἶπε· »Δίκαια λέγετε, ὦ ἄνδρες Πλαταιῆς, ἢν ποιῆτε ὅμοια τοῖς λόγοις[47]. καθάπερ γὰρ Παυσανίας ὑμῖν παρέδωκεν[48], αὐτοί τε αὐτονομεῖσθε[49], καὶ τοὺς ἄλλους ξυνελευθεροῦτε, ὅσοι μετασχόντες τῶν τότε κινδύνων, ὑμῖν τε ξυνώμοσαν[50], καὶ εἰσὶ νῦν ὑπ' Ἀθηναίοις[51]. Παρασκευὴ τε τοσήδε καὶ πόλεμος[52] γεγένηται αὐτῶν ἕνεκα καὶ τῶν ἄλλων ἐλευθερώσεως. ἧς[53] μάλιστα μὲν μετασχόντες καὶ αὐτοὶ[54] ἐμμείνατε τοῖς ὅρκοις· εἰ δὲ μὴ (ἅπερ[55] καὶ τοπρότερον ἤδη προὐκαλεσαίμεθα), ἡσυχίαν ἄγετε, νεμόμενοι τὰ ὑμέτερα αὐτῶν[56]· καὶ ἔστε μηδὲ μεθ' ἑτέρων[57]· δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ, μηδ' ἑτέρους. Καὶ τάδε ἡμῖν ἀρέσκει[58]." Ὁ μὲν Ἀρχίδαμος τοσαῦτα εἶπεν· οἱ δὲ Πλαταιέων πρέσβεις, ἀκούσαντες ταῦτα, ἐσῆλθον ἐς τὴν πόλιν, καὶ τῷ πλήθει τὰ ῥηθέντα κοινώσαντες, ἀπεκρίναντο αὐτῷ, ὅτι ἀδύνατά σφισιν εἴη ποιεῖν ἃ προκαλεῖται ἄνευ Ἀθηναίων[59]. παῖδες γὰρ σφῶν καὶ γυναῖκες παρ' ἐκείνοις εἶησαν[60]. δεδιέναι δὲ καὶ περὶ τῇ πάσῃ πόλει[61], μὴ, ἐκείνων ἀπορωρησάντων, Ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν, ἢ Θηβαῖοι, ὡς ἔνορκοι ὄντες κατὰ τὰ ἀμφοτέρους δέχεσθαι[62], αὖθις σφῶν τὴν πόλιν πειράσωσι καταλαβεῖν. Ὁ δὲ, θαρσύνων[63] αὐτοὺς, πρὸς ταῦτα ἔφη· »Ὑμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας παράδοτε ἡμῖν τοῖς Λακεδαιμονίοις, καὶ γῆς ὅρους ἀποδείξατε[64], καὶ δένδρα ἀριθμῷ τὰ ὑμέτερα, καὶ ἄλλο εἴ τι ῥᾴστον εἰς ἀριθμὸν ἐλθεῖν[65]· αὐτοὶ δὲ μεταχωρήσατε ὅποι βούλεσθε, ἕως ἂν ὁ πόλεμος ᾖ· ἐπειδὰν δὲ παρέλθῃ, ἀποδώσομεν. Μέχρι δὲ τοῦδε[66] ἕξομεν παρακαταθήκην[67], ἐργαζόμενοι, καὶ φόρον φέροντες[68], ἢ ἂν ὑμῖν μέλλῃ ἱκανὴ ἔσεσθαι."

Οἱ δ' ἀκούσαντες, ἐσῆλθον αὖθις ἐς τὴν πόλιν, καὶ βουλευσάμενοι μετὰ τοῦ πλήθους, ἔλεξαν ὅτι βούλονται, ἃ προκαλεῖται[69], Ἀθηναίοις κοινῶσαι πρῶτον, καὶ ἢν πείθωσιν αὐτοὺς, ποιεῖν ταῦτα· μέχρι δὲ τούτου σπείσασθαι[70] σφισιν ἐκέλευον, καὶ τὴν γῆν μὴ δῃοῦν. Ὁ δὲ ἡμέρας[71] τε ἐσπείσατο, ἐν αἷς εἰκὸς ἦν κομισθῆναι[72], καὶ τὴν γῆν οὐκ ἔτεμνεν. Ἐλθόντες δὲ οἱ Πλαταιῆς πρέσβεις ὡς[73] τοὺς Ἀθηναίους, καὶ βουλευσάμενοι μετ' αὐτῶν, πάλιν ἦλθον ἀπαγγέλλοντες τοῖς ἐν τῇ πόλει τοιάδε· »Οὔτ' ἐν τῷ προτοῦ

---

45) Ἡμᾶς. 46) Δικαίως ὑπὲρ ἡμῶν ἀπεφάσισε. 47) Τοῖς λόγοις ἐνθυμίζετε τοὺς ἐπὶ Μήδων ἀγῶνας, ἀλλὰ τοῖς ἔργοις τοὺς ληστμονεῖτε, θέλοντες νὰ καταδουλώσητε εἰς τοὺς Ἀθηναίους τοὺς τότε συναγωνισθέντας Ἕλληνας. 48) Σᾶς ἐπέτρεψε. 47) Ἐγκλ. προσακτ. 48) Ἐπὶ τῶν Μηδικῶν. 49) Οἱ Λακεδαιμόνιοι ἐπὶ τοῦ Πελοποννησ. πολέμου κατηγόρουν τοὺς Ἀθ. ὅτι εἶχον ὑποδουλώσει τοὺς συμμάχους των ἐπιβλόντες εἰς αὐτοὺς φόρον ᾧ ἐπαγγέλλοντο νὰ τοὺς ἐλευθερώσωσι. 50) Ὁ παρὼν Πελοποννησ. 51) Παρασκευῆς. 52) Ὑμεῖς. 53) Καθάπερ. 54) Κτήματα. 55) Ὑπερβ. ἀντὶ μετὰ Μηδετέρων. 56) Καὶ εἰς αὐτὰ ἀρκούμεθα. 57) Μὴ συγκατατεθέντων καὶ τῶν Ἀθηναίων. 58) Ἀπεκρίναντο ὅτι εἶησαν. Κ. §. 400. 59) Ὑπὲρ πάσης τῆς πόλεως Κ. §. 438. Περὶ, 6'. 2. 60) Ὡς συμπεριλαμβανομένοι εἰς τοὺς ὅρκους τοὺς γενησομένους κατὰ τοῦτο, νὰ δέχωνται ἀμφοτέρους ὡς φίλους. 61) Ἐνθαῤῥύνων. 62) Δείξατε μας τῆς γῆς τὰ σύνορα. 63) Ἀριθμηθῆναι. 64) Ἐκείνου τοῦ καιροῦ. 65) Τὰς γαίας σας, ἐργαζόμενοι αὐτάς. 66) Δίδοντές σας εἰσόδημα. 67) Προτείνει τοὺς προσκαλεῖ νὰ πρίξωσι. 68) Ἔλεγον τοὺς Λακ. νὰ κάμωσι σπονδὰς πρὸς αὐτούς. 69) Ἐπὶ πόσας ἡμέρας. 70) Ἀθήνηθεν ἀποστραιν. 71) Εἷς.

χρόνῳ, ὦ ἄνδρες Πλαταιῆς, ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα, Ἀθηναῖοί φασιν ἐν οὐδενὶ ἡμᾶς πρόσθαι ἀδικουμένους, οὔτε νῦν περιόψεσθαι, βοηθήσειν δὲ κατὰ δύναμιν. Ἐπισκήπτουσι[42] δ' ὑμῖν, πρὸς τῶν ὅρκων[43], οὓς οἱ πατέρες ὤμοσαν, μηδὲν νεωτερίζειν[44] περὶ τὴν ξυμμαχίαν. »

Τοιαῦτα τῶν πρέσβεων ἀπαγγειλάντων, οἱ Πλαταιῆς ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι, ἀλλ' ἀνέχεσθαι καὶ γῆν τεμνομένην, εἰ δεῖ, ὁρῶντας[45], καὶ ἄλλο πάσχοντας, ὅτι ἂν ξυμβαίνῃ· ἐξελθεῖν τε μηδένα ἔτι, ἀλλ' ἀπὸ τοῦ τείχους ἀποκρίνασθαι, ὅτι ἀδύνατά σφισι ποιεῖν ἐστιν ἃ Λακεδαιμόνιοι προκαλοῦνται. Ὡς δὲ ἀπεκρίναντο, ἐντεῦθεν δὴ πρῶτον μὲν[46] ἐς ἐπιμαρτυρίαν καὶ θεῶν καὶ ἡρώων τῶν ἐγχωρίων Ἀρχίδαμος ὁ βασιλεὺς κατέστη[47], λέγων ὧδε. « Θεοί, ὅσοι γῆν τὴν Πλαταιΐδα ἔχετε, καὶ ἥρωες, ξυνίστορές[48] ἐστε, ὅτι οὔτε τὴν ἀρχὴν[49] ἀδίκως[50], ἐκλιπόντων[51] τῶνδε πρότερον τὸ ξυνώμοτον[52], ἐπὶ γῆν τήνδε ἤλθομεν, ἐν ᾗ οἱ πατέρες ἡμῶν εὐξάμενοι ὑμῖν Μήδων ἐκράτησαν, καὶ παρέσχετε αὐτὴν[53] εὐμενῆ ἐναγωνίσασθαι τοῖς Ἕλλησιν[54]· οὔτε νῦν, ἤν τι ποιῶμεν[55], ἀδικήσομεν· προκαλεσάμενοι γὰρ πολλὰ καὶ εἰκότα, οὐ τυγχάνομεν[56]. Ξυγγνώμονες[57] δὲ ἐστε, τῆς μὲν ἀδικίας κολάζεσθαι τοῖς ὑπάρχουσι προτέροις, τῆς δὲ τιμωρίας τυγχάνειν τοῖς ἐπιφέρουσι νομίμως[58]. »

Τοσαῦτα ἐπιθειάσας[59], καθίστη[60] ἐς πόλεμον τὸν στρατόν. Καὶ πρῶτον μὲν περιεσταύρωσεν[61] αὐτοῖς τοῖς δένδρεσιν, ἃ ἔκοψαν, τοῦ μηδένα ἔτι ἐξιέναι[62]· ἔπειτα χῶμα ἔχουν[63] πρὸς τὴν πόλιν, ἐλπίζοντες ταχίστην αἵρεσιν ἔσεσθαι αὐτῶν[64], στρατεύματος τοσούτου ἐργαζομένου. Ξύλα μὲν οὖν τέμνοντες ἐκ τοῦ Κιθαιρῶνος, παρῳκοδόμουν ἑκατέρωθεν[65], φραγμὸν[66] ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο ἐπιπολὺ τὸ χῶμα· ἐφόρουν δὲ ὕλην[67] ἐς αὐτό, καὶ λίθους, καὶ γῆν, καὶ εἴτι ἄλλο ἀνύτειν[68] μέλλοι ἐπιβαλλόμενον· ἡμέρας δὲ ἔχουν ἑβδομήκοντα καὶ νύκτας ξυνεχῶς, διηρημένοι κατ' ἀναπαύλας[69], ὥστε τοὺς μὲν φέρειν, τοὺς δὲ ὕπνον τε καὶ σῖτον αἱρεῖσθαι. Λακεδαιμονίων τε οἱ ξεναγοὶ[70] ἑκάστης πόλεως ξυνεφεστῶτες ἠνάγκαζον ἐς

---

42) Ἐντέλλονται ἐπιμόνως. Α Σ. Ἐπισκήπτω· 2). 43) Κ. Σ. 458, Πρὸς ά. 3).

44) Μεταβάλλειν. 45) Ἀλλὰ νὰ ὁμοιένουν βλέποντες καὶ τὴν γῆν των λεηλατουμένην, ἂν ἦτον ἀνάγκη. 46) Πρῶτον μέν, ἔχει τὴν ἀπόδοσιν εἰς τὸ Καθίστη τὸν στρατόν.

47) Κατέστη εἰς ἐπιμαρτυρίαν, ἤρχισε νὰ καλῇ εἰς μάρτυρας. 48) Συμμάρτυρες, ὁμοῦ μεθ' ἡμῶν ἠξεύροντες. 49) Κατ' ἀρχάς, κατὰ πρῶτον. 50) Τὸ ἀδίκως ἀποδοτέον μᾶλλον εἰς τὸ ἤλθομεν, καὶ ὄχι ὡς συνήθως τὸ ἀποδίδεσιν εἰς τὸ ἐκλιπόντων· διότι κατωτέρω ἐπιφέρει, οὔτε νῦν ἀδικήσομεν. 51) Ἐπειδὴ ἐξέλιπον. 52) Τοὺς ὅρκους τοὺς ὁποίους ὤμοσαν μὲ τοὺς λοιποὺς Ἕλληνας. 53) Ἀντὶ ἀναφορικῆς ἔτρεψε τὴν φράσιν εἰς εὐθεῖαν, ὡς διὰ μέσου κειμένην. 54) Παρέσχετε αὐτὴν τοῖς Ἕλλ. εὐμενῆ ὥστε ἐναγ., εὐνοϊκήν, εὐτυχίαν φέρουσαν (βαρβ. ὑγουρλούδικην) εἰς τὸν ἀγῶνά των. 55) Ἐχθρικὸν δηλ. 56) Προκαλ. τοὺς Πλατ. πολλά, δὲν ἐπετύχαμεν αὐτῶν. 57) Τὴν αὐτὴν ἔχοντες γνώμην, συνεργοί. 58) Συγγνώμονες ἐστε τοῖς προτέροις ὑπάρχουσιν (ἀρχομένοις) τῆς ἀδικίας (ὥςε) κολάζεσθαι τοῖς δὲ ἐπιφέρουσι νομίμως τὴν τιμωρίαν (ἀντεκδίκησιν, ὥστε) τυγχάνειν αὐτῆς. 59) Τοὺς θεοὺς ἐπικαλεσθείς. 60) Ἀποκατέστησεν ἕτοιμον. 61) Περιετείχισε τὴν πόλιν μὲ μακροὺς ὀρθίους πασσάλους. 62) Ἕνεκα τοῦ. Κατ' ἄλλα χειρόγραφα, ἐπεξιέναι, ἀντὶ Ἔτι ἐξ.

63) Ἐπεσώρευον, οἱ περὶ τὸν Ἀρχ. 64) Ἄλωσιν αὐτῶν (τῶν Πλ.) ὅτι θέλουσι τάχιστα κυριεύσει τὰς Πλ. 65) Τοῦ χώματος. 66) Ἐν εἶδει ψάθας, πλεκτά. 67) Φρύγανα.

68) Ἄνυτω καὶ ἄνυω, νὰ συντελέσῃ. 69) Κατὰ τάξεις, ἀμοιβαδὸν ἀναπαυομένας.

70) Στρατηγοὶ Λακεδαιμόνιοι, ἡγούμενοι τῶν ἐνόν συμμάχων.

τὸ ἔργον. Οἱ δὲ Πλαταιῆς, ὁρῶντες τὸ χῶμα αἰρόμενον, ξύλινον τεῖχος ξυνθέντες, καὶ ἐπιστήσαντες τῷ ἑαυτῶν τείχει ᾗ προσεχώρουτο[71], ἐσῳκοδόμουν εἰς αὐτὸ πλίνθους[72], ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες. Ξύνδεσμος δ' ἦν αὐτοῖς τὰ ξύλα[73], τοῦ μὴ ὑψηλὸν γιγνόμενον, ἀσθενὲς εἶναι τὸ οἰκοδόμημα· καὶ προκαλύμματα εἶχε δέρρεις καὶ διφθέρας[74], ὥστε τούς ἐργαζομένους καὶ τὰ ξύλα μήτε πυρφόροις ὀϊστοῖς βάλλεσθαι, ἐν ἀσφαλείᾳ τε εἶναι. Ἦν δὲ τὸ ὕψος τοῦ τείχους μέγα, καὶ τὸ χῶμα οὐ σχολαίτερον ἀντανήει αὐτῷ[75]. Καὶ οἱ Πλαταιῆς τοιόνδε τι ἐπινοοῦσι· διελόντες τοῦ τείχους[76] ᾗ προσέπιπτε τὸ χῶμα, ἐσεφόρουν τὴν γῆν.

Οἱ δὲ Πελοποννήσιοι, αἰσθόμενοι, ἐν ταρσοῖς[77] καλάμου πηλὸν ἐνείλλοντες[78] εἰσέβαλον εἰς τὸ διῃρημένον, ὅπως μὴ διαχεόμενον[79], ὥσπερ ἡ γῆ, φοροῖτο. Οἱ δὲ, ταύτῃ ἀποκλειόμενοι[80], τοῦτο μὲν ἐπέσχον[81], ὑπόνομον δ' ἐκ τῆς πόλεως ὀρύξαντες, καὶ ξυντεκμηράμενοι[82] ὑπὸ τὸ χῶμα, ὑφεῖλκον αὖθις παρὰ σφᾶς[83] τὸν χοῦν· καὶ ἐλάνθανον ἐπὶ πολὺ[84] τοὺς ἔξω, ὥς' ἐπιβάλλοντας ἧσσον ἀνύτειν[85], ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος, καὶ ἰζάνοντος ἀεὶ ἐπὶ τὸ κενούμενον. Δεδιότες δὲ, μὴ οὐδ' οὕτω ὀλίγοι πρὸς πολλοὺς ἀντέχειν, προσεπεξεύρον τόδε· τὸ μὲν μέγα οἰκοδόμημα[86] ἐπαύσαντο ἐργαζόμενοι τὸ κατὰ τὸ χῶμα· ἔνθεν δὲ καὶ ἔνθεν[87] αὐτοῦ ἀρξάμενοι, ἀπὸ τοῦ βραχέος τείχους[88] ἐκ τοῦ ἐντὸς ἐς τὴν πόλιν[89] μηνοειδὲς[90] προσῳκοδόμουν, ὅπως, εἰ τὸ μέγα τεῖχος ἁλίσκοιτο, τοῦτ' ἀντέχοι, καὶ δέοι τοὺς ἐναντίους αὖθις πρὸς αὐτὸ χοῦν[91]· καὶ προχωροῦντας ἔσω, διπλάσιόν τε πόνον ἔχειν, καὶ ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι. Ἅμα δὲ τῇ χώσει καὶ μηχανὰς προσῆγον τῇ πόλει οἱ Πελοποννήσιοι, μίαν μὲν, ἣ τοῦ μεγάλου οἰκοδομήματος[92] κατὰ τὸ χῶμα προσαχθεῖσα, ἐπὶ μέγα τε[93] κατέσεισε, καὶ τοὺς Πλαταιῆς ἐφόβησεν· ἄλλας δὲ ἄλλῃ τοῦ τείχους, ἃς, βρόχους τε περιβάλλοντες[94], ἀνέκλων οἱ Πλαταιῆς, καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἀλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς τομῆς ἑκατέρωθεν[95], ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων καὶ ὑπερτεινουσῶν[96], ὑπὲρ τοῦ τείχους ἀνελκύ-

---

71) Καθ' ὃ μέρος ὑψοῦτο κατ' αὐτοῦ τὸ πρόγωμα τῶν ἐχθρῶν. 72) Τὸ ἐπλήρουν ἔσωθεν ἠπλήρουν τὰ κενὰ μὲ πλ., 73) Τὰ ξύλα ἐχρησίμευον εἰς δεσμὸν ἢ ζερίωσιν τῶν πλ., ἕνεκα τοῦ μὴ εἶναι. 74) Διφθέρα τὸ εἰργασμένον θέρμα, δέρρις δὲ τὸ ἀνέργαστον, ἢ προβιά. 75) Ἀνθωψοῦτο κατ' αὐτοῦ ὄχι ἀμελέστερον, ἀλλὰ μὲ τὸ αὐτὸ τάχος. 76) Διασχίσαντες τὸ τεῖχος των καθ' ὃ μέρος ἤγγιζε πρὸς αὐτὸ τὸ χῶμα, ἔσυρον μέσα τὴν γῆν. 77) Καλάθοις. 78) Ἐντυλίσσοντες. 79) Εἶπεν οὐδετέρως ἐννοῶν ὅλον τὸ σκεύασμα, ταρσοὺς ἢ πηλὸν κτλ. 80) Ἐμποδιζόμενοι ἀπὸ τοῦ. 81) Παραίτησαν. 82) Καὶ τεκμηράμενοι πόσην ἔκτασιν ἢ ποίαν διεύθυνσιν ἔπρεπε νὰ τῷ δώσωσι διὰ νὰ φθάσωσιν ὑπὸ τὸ χῶμα. 83) Πρὸς τὸ μέρος των. 84) Ἐπὶ πολὺν χρόνον. 85) Ἐπισωρεύοντες ὀλιγώτερον ἔπροχώρουν ἀπὸ πρότερον. 86) Τὸ ξύλινον τεῖχος περὶ οὗ ἀνωτέρω εἶπε. 87) Ἀπὸ τὰ δύω πέρατα. 88) Ἀπὸ τοῦ χαμηλοτέρου, πρὸς ἀντιδιαστολὴν τοῦ ὑψηλοῦ ξυλίνου τὸ ὁποῖον εἶχον ἀρχίσει νὰ ἐποικοδομῶσι. 89) Ἀντὶ ἔσωθεν πρὸς τὴν πολιν. 90) Ἄλλο τεῖχος ἐν σχήματι ἡμικυκλίου. 91) Νὰ ὑψώσωσι νέον πρόγωμα. Κυριεύσαντες τὸ προσβαλλόμενον μέρος τοῦ τείχους οἱ Λακ. ἢ εἰσπηδήσαντες δι' αὐτοῦ, ἤθελον εὑρεθῇ πάλιν ἔξω τοῦ μηνοειδοῦς τὸ ὁποῖον συνείχετο μὲ τὸ παλαιόν. 92) Πρὸς τὰ μέγα οἰκοδόμημα τῶν Πλ. 93) Κατέσεισεν αὐτὸ ἐπὶ μέγα, εἰς μεγάλην ἔκτασιν. 94) Ἔρριπτον σχοινία εἰς αὐτὰς, καὶ ἀνασύροντες τὰς συνέτριβον. 95) Αἱ δοκοὶ εἶχον ἐντομὰς εἰς τὰ δύω ἄκρα των, ἢ εἰς αὐτὰς ἦσαν δεμέναι αἱ ἁλύσεις. 96) Κεραῖα πᾶν ξύλον προέχον, ἰδίως ἡ ἀντέννα τοῦ πλοίου. Ἑπομένως δύω ξύλα ἐξεῖχον ὄχι ὄρθια, ἀλλὰ κεκλιμένα ἔξω ἀπὸ τὸ τεῖχος.

σαντές ἐγκαρσίως[97], ὁπότε προσπεσεῖσθαί πη μέλλοι ἡ μηχανή, ἄφεσαν τὴν δοκὸν χαλαραῖς ταῖς ἁλύσεσι, καὶ οὐ διὰ χειρὸς ἔχοντες[98]· ἡ δὲ, ῥύμῃ[99] ἐμπίπτουσα, ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς[100].

Μετὰ δὲ τοῦτο, οἱ Πελοποννήσιοι, ὡς αἵ τε μηχαναὶ οὐδὲν ὠφέλουν, καὶ τῷ χώματι τὸ ἀντιτείχισμα[101] ἐγίγνετο, νομίσαντες ἄπορον[102] εἶναι ἀπὸ τῶν παρόντων δεινῶν[103] ἑλεῖν τὴν πόλιν, πρὸς τὴν περιτείχισιν[104] παρεσκευάζοντο. Πρότερον δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶσαι, εἰ δύναιντο, πνεύματος γενομένου, ἐπιῤῥέξαι τὴν πόλιν, οὖσαν οὐ μεγάλην. πᾶσαν γὰρ εἰδέαν ἐπενόουν, εἴπως σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας[105] προσαχθείη. Φορυῦντες δὲ ὕλης φακέλλους, παρέβαλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προσχώσεως[106]. Ταχὺ δὲ πλήρους γενομένου[107] διὰ πολυχειρίαν, ἐπιπαρέντησαν[108] καὶ τῆς ἄλλης πόλεως[109] ὅσον ἐδύναντο ἀπὸ τοῦ μετεώρου πλεῖστον ἐπισχεῖν[110]. ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ πίσσῃ, ἦψαν τὴν ὕλην, καὶ ἐγένετο φλὸξ τοσαύτη, ὅσην οὐδείς πω ἐς γε ἐκεῖνον τὸν χρόνον χειροποίητον εἶδεν. ἡδὴ γὰρ ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ' ἀνέμων πρὸς αὐτήν, ὑπὸ ταυτομάτου πῦρ καὶ φλόγα ὑπ' αὐτοῦ[111] ἀνῆκε[112]. τοῦτο δὲ μέγα τε ἦν[113], καὶ τοὺς Πλαταιέας, τἆλλα διαφυγόντας, ἐλαχίστου ἐδέησε[114] διαφθεῖραι. ἐντὸς γὰρ πολλοῦ χωρίου τῆς πόλεως οὐκ ἦν πελάσαι πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ ἐπίφορον[115] (ὅπερ καὶ ἠλπιζον οἱ ἐναντίοι), οὐκ ἂν διέφυγον. Νῦν δὲ καὶ τόδε λέγεται ξυμβῆναι, ὕδωρ ἐξ οὐρανοῦ πολὺ καὶ βροντὰς γενομένας σβέσαι τὴν φλόγα, καὶ οὕτω παυθῆναι τὸν κίνδυνον.

Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ καὶ τούτου διήμαρτον, μέρος μέν τι καταλιπόντες τοῦ στρατοῦ, τὸ δὲ λοιπὸν ἀφέντες[116], περιετείχιζον τὴν πόλιν κύκλῳ, διελόμενοι κατὰ πόλεις τὸ χωρίον[117]. Τάφρος δὲ ἐντός τε ἦν καὶ ἔξωθεν[118], ἐξ ἧς ἐπλινθεύσαντο[119]. Καὶ ἐπειδὴ πᾶν ἐξεἰργαστο περὶ ἀρκτούρου ἐπιτολὰς[120], καταλιπόντες φύλακας τοῦ ἡμίσεος τείχους (τὸ δὲ ἥμισυ Βοιωτοὶ ἐφύλασσον), ἀνεχώρησαν τῷ στρατῷ[121], καὶ διελύθησαν κατὰ πόλεις. Πλαταιῆς δὲ παῖδας μὲν καὶ γυναῖκας καὶ τοὺς πρεσβυτάτους τε, καὶ πλῆθος τὸ ἄχρειον[122] τῶν ἀνθρώπων πρότερον ἐκκεκομισμένοι ἦσαν[123] ἐς τὰς Ἀθήνας·

---

97) Ὁριζοντίως, ὄχι καθέτως. 98) Χωρὶς νὰ τὰς κρατῶσι. 99) Μὲ ὁρμήν.
100) Ἀπεκεφάλιζε τὸ ἐμπροσθινὸν μέρος τῆς μηχανῆς, ἤτις εἶχεν ἔμβολον.
101) Τὸ μηνοειδὲς ἐννοεῖ. 102) Ἀδύνατον. 103) Μὲ τὰς δυσκολίας ὅσας ἀπήντων.
104) Δηλ. εἰς τὸ ν' ἀνεγείρωσιν ἄλλο τεῖχος ἐκτὸς τοῦ τείχους τῶν Πλαταιέων.
105) Διὰ τοῦ νέου περιτειχίσματος δὲν εἶχον ἀνάγκην πολλῶν στρατευμάτων διὰ τὴν πολιορκίαν, καὶ ἐδύναντο νὰ ὑποχρεώσωσι τοὺς πολιορκουμένους διὰ τῆς πείνης νὰ παραδοθῶσι. 106) Ἀπὸ ἐπάνω ἀπὸ τὸ πρόχωμα τὰς ἔῤῥιπτον. Τὸ αὐτὸ δὲ εἶπε χῶμα καὶ πρόσχωσιν. 107) Τοῦ μεταξύ. 108) Ἐπεσώρευσαν ἄλλους ἐπ' ἄλλων, ἐκ τοῦ νέω, σωρεύω.
109) Τοπ. καὶ εἰς τὴν ἄλλην πόλιν. 110) Νὰ φθάσωσι. 111) Τοῦ πυρός. 112) Ἀνίημι.
113) Καθ' ὃ χειροποίητον. 114) Ὀλίγον ἔλειψε. 115) Φέρον τὸ πῦρ πρὸς αὐτὴν, τὴν πόλιν. 116) Δηλ. διαλύσαντες. 117) Δόσαντες εἰς τοὺς στρατιώτας ἑκάστης πόλεως νὰ περιτειχίσωσιν ὡρισμένην τινὰ ἔκτασιν. 118) Δηλ. ἔσκαπτον ἑκατέρωθεν τάφρον.
119) Ἔλαβον τὰς πλ. 120) Καθ' ἣν ἐποχὴν ἀνατέλλη ὁ ἀρκτοῦρος (λαμπρὸς ἀστὴρ περὶ τὴν οὐρὰν τῆς μεγάλης ἄρκτου) πρὸ τῆς ἀναταλῆς τοῦ ἡλίου, δηλ. περὶ τὰς ἀρχὰς τοῦ φθινοπώρου· δυτικὴ δὲ ἐπιτολὴ τοῦ ἀρκτούρου λέγεται ὅταν ἀνατέλλη ὁ ἀστὴρ οὗτος μετὰ τὴν δύσιν τοῦ ἡλίου, δηλ. περὶ τὸ ἔαρ. 121) Σὺν τῷ στρατῷ. 122) Τὸ ἄχρηστον.
123) Εἶχον ἐκκομίσει.

αὐτοὶ δ' ἐπολιορκοῦντο ἐγκαταλελειμμένοι τετρακόσιοι, Ἀθηναίων δὲ ὀγδοήκοντα, γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί. Τοσοῦτοι ἦσαν οἱ ξύμπαντες, ὅτε ἐς τὴν πολιορκίαν καθίσταντο[123]· καὶ ἄλλος οὐδεὶς ἦν ἐν τῷ τείχει, οὔτε δοῦλος, οὔτε ἐλεύθερος. Τοιαύτη μὲν ἡ Πλαταιέων πολιορκία κατεσκευάσθη.

ΒΙΒΛΙΟΝ Γ'. (§. 20—24 καὶ 52—69).

Τοῦ δ' αὐτοῦ χειμῶνος[1], οἱ Πλαταιῆς (ἔτι γὰρ ἐπολιορκοῦντο ὑπὸ τῶν Πελοποννησίων καὶ τῶν Βοιωτῶν), ἐπειδὴ τῷ τε σίτῳ ἐπιλιπόντι ἐπιέζοντο[2], καὶ ἀπὸ τῶν Ἀθηνῶν οὐδεμία ἦν ἐλπὶς τιμωρίας[3], οὐδὲ ἄλλη σωτηρία ἐφαίνετο, ἐπιβουλεύουσιν[4] αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι[5], πρῶτον μὲν πάντες ἐξελθεῖν, καὶ ὑπερβῆναι τὰ τείχη τῶν πολεμίων, ἢν δύνωνται βιάσασθαι, ἐσηγησαμένων τὴν πεῖραν αὐτοῖς[6] Θεαινέτου τε τοῦ Τιμίδου, ἀνδρὸς μάντεως, καὶ Εὐμολπίδου τοῦ Δαϊμάχου, ὃς καὶ ἐστρατήγει· ἔπειτα οἱ μὲν ἡμίσεις ἀπώκνησάν πως[7], τὸν κίνδυνον μέγαν ἡγησάμενοι· ἐς δὲ ἄνδρας διακοσίους καὶ εἴκοσι[8] μάλιστα ἐνέμειναν τῇ ἐξόδῳ ἐθελονταὶ, τρόπῳ τοιῷδε[9]. Κλίμακας ἐποιήσαντο ἴσας τῷ τείχει τῶν πολεμίων· ξυνεμετρήσαντο δὲ[10] ταῖς ἐπιβολαῖς τῶν πλίνθων, ᾗ[11] ἔτυχε πρὸς σφᾶς οὐκ ἐξαλειλιμμένον[12] τὸ τεῖχος αὐτῶν· ἠριθμοῦντο δὲ πολλοὶ ἅμα τὰς ἐπιβολάς· καὶ ἔμελλον οἱ μέν τινες ἁμαρτήσεσθαι, οἱ δὲ πλείους τεύξεσθαι τοῦ ἀληθοῦς λογισμοῦ, ἄλλως τε καὶ πολλάκις ἀριθμοῦντες, καὶ ἅμα οὐ πολὺ ἀπέχοντες, ἀλλὰ ῥᾳδίως καθορωμένου ἐς ὃ ἐβούλοντο[13] τοῦ τείχους. Τὴν μὲν οὖν ξυμμέτρησιν τῶν κλιμάκων οὕτως ἔλαβον, ἐκ τοῦ πάχους τῆς πλίνθου εἰκάσαντες τὸ μέτρον[14].

Τὸ δὲ τεῖχος ἦν τῶν Πελοποννησίων τοιόνδε τῇ οἰκοδομήσει· εἶχε μὲν δύο τοὺς περιβόλους, πρός τε Πλαταιῶν[15], καὶ εἴ τις ἔξωθεν ἀπ' Ἀθηναίων ἐπίοι[16]· διεῖχον δὲ οἱ περίβολοι ἑκκαίδεκα πόδας μάλιστα ἀπ' ἀλλήλων· τὸ οὖν μεταξὺ τοῦτο, οἱ ἑκκαίδεκα πόδες, τοῖς φύλαξιν οἰκήματα διανενεμημένα ᾠκοδόμητο[17]· καὶ ἦν ξυνεχῆ, ὥστε ἓν φαίνεσθαι τεῖχος παχύ, ἐπάλξεις ἔχον ἀμφοτέρωθεν· διὰ δέκα δὲ ἐπάλξεων[18] πύργοι ἦσαν μεγάλοι, καὶ ἰσοπλατεῖς τῷ τείχει[19], διήκοντες ἔς τε τὸ ἔσω μέτωπον αὐτοῦ, καὶ οἱ αὐτοὶ

---

[123]) Ὅταν ἤρχισεν ἡ πολιορκία των. [125]) Ἔγινεν, ἡτοιμάσθη· οὕτω καὶ κατωτέρω, § 85, ναυμαχίαν κατασκευάζεσθαι.

[1]) Τοῦ 428 Π. Χ. (Ὀλ. 88, ά.) τετάρτου ἔτους τοῦ πολέμου. [2]) Ἐστενοχωροῦντο.

[3]) Βοηθείας. [4]) Συμβουλευθέντες ἀποφασίζουσι. [5]) Ὅτε μετεκόμισαν εἰς Ἀθήνας τὰς γυναῖκας καὶ τοὺς παῖδας τῶν Πλαταιέων (ἴδε Β', § 72) ἔπεμψαν οἱ Ἀθηναῖοι εἰς Πλαταιὰς φρουρὰν (Β'. § 6): Συμβουλευσάντων αὐτοῖς τὴν δοκιμὴν ταύτην. [7]) Ἀπεβιάσαντο τρόπον τινά. [8]) Ἄνδρες δὲ ἐς διακοσίους. Τὸ δὲ μάλιστα, περίπου. [9]) Ἐνέμειναν ἐν τῇ ἐξόδῳ (καὶ ἐξετέλεσαν αὐτὴν) τρόπῳ τοιῷδε. [10]) Τὸ τεῖχος, τὸ ὕψος τοῦ τ. διὰ τοῦ ἀριθμοῦ τῶν στιβάδων τῶν πλίνθων. [11]) Ὅπου. [12]) Μὲ πηλόν. [13]) Διὰ τὸν σκοπὸν ὅ. ὃν ἤθελον νὰ τὸ βλέπωσι. [14]) Γνωρίζοντες τὸν ἀριθμὸν καὶ κατ' εἰκασίαν τὸ πάχος τῶν πλίνθων, ὑπελογίζοντο τὸ μῆκος τῶν κλιμάκων. [15]) Πρὸς τὸ μέρος τῶν Πλ. Κ. §. 438, Πρὸς, ά. 2). [16]) Ἐλλειπτικὴ φράσις, ἀντὶ, καὶ πρὸς τὰ ἔξω, ὥστε κωλύειν εἴ.

[17]) Ἦτον ᾠκοδομημένον μὲ οἰκήματα, δηλ. κατεῖχετο ἀπὸ οἰκήματα. [18]) Ἀνὰ πᾶσας 10 ἐπάλξεις. [19]) Τῷ ὅλῳ τείχει, τοῖς δυσὶ τείχεσι μετὰ τοῦ μεταξύ.

καὶ ἐς τὸ ἔξω[20]. ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον[21], ἀλλὰ δι' αὐτῶν μέσων[22] διῆσαν. Τὰς οὖν νύκτας, ὁπότε χειμὼν εἴη νοτερὸς[23], τὰς μὲν ἐπάλξεις ἀπέλειπον, ἐκ δὲ τῶν πύργων, ὄντων δι' ὀλίγου[24] καὶ ἄνωθεν σεγανῶν, τὴν φυλακὴν ἐποιοῦντο. Τὸ μὲν οὖν τεῖχος, ᾧ περιεφρουροῦντο οἱ Πλαταιῆς, τοιοῦτον ἦν.

Οἱ δ', ἐπειδὴ παρεσκεύαστο[25] αὐτοῖς, τηρήσαντες νύκτα χειμέριον ὕδατι[26] καὶ ἀνέμῳ, καὶ ἅμα ἀσέληνον, ἐξῆσαν. Ἡγοῦντο δὲ, οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν[27]. Καὶ πρῶτον μὲν τὴν τάφρον διέβησαν, ἣ περιεῖχεν[28] αὐτούς, ἔπειτα προσέμιξαν τῷ τείχει τῶν πολεμίων, λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν[29], οὐ προϊδόντων αὐτῶν[30], ψόφῳ δὲ, τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς, ἀντιπαταγοῦντος τοῦ ἀνέμου, οὐ κατακουσάντων[31]. Ἅμα δὲ καὶ διέχοντες πολὺ ἦσαν[32], ὅπως τὰ ὅπλα μὴ κρουόμενα πρὸς ἄλληλα αἴσθησιν παρέχοι. Ἦσαν δὲ εὐσταλεῖς[33] τε τῇ ὁπλίσει, καὶ τὸν ἀριστερὸν πόδα μόνον ὑποδεδεμένοι, ἀσφαλείας ἕνεκα[34] τῆς πρὸς τὸν πηλόν. Κατὰ οὖν μεταπύργιον[35] προσέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες, ὅτι ἔρημοί εἰσι, πρῶτον μὲν οἱ τὰς κλίμακας φέροντες, καὶ προσέθεσαν· ἔπειτα ψιλοὶ δώδεκα σὺν ξιφιδίῳ καὶ θώρακι ἀνέβαινον· ὧν ἦγεῖτο Ἀμμέας ὁ Κοροίβου, καὶ πρῶτος ἀνέβη. Μετὰ δὲ αὐτὸν οἱ ἑπόμενοι, ἓξ ἐφ' ἑκάτερον τῶν πύργων[37], ἀνέβαινον· ἔπειτα ψιλοὶ ἄλλοι μετὰ τούτους ξὺν ὁρατίοις ἐχώρουν· οἷς ἕτεροι κατόπιν τὰς ἀσπίδας ἔφερον, ὅπως ἐκεῖνοι ῥᾷον προβαίνοιεν, καὶ ἔμελλον δώσειν[37], ὁπότε πρὸς τοῖς πολεμίοις[38] εἶεν. Ὡς δὲ ἄνω πλείους ἐγένοντο[39], ᾔσθοντο οἱ ἐκ τῶν πύργων φύλακες. κατέβαλε γάρ τις τῶν Πλαταιέων, ἀντιλαμβανόμενος, ὑπὸ τῶν ἐπάλξεων κεραμίδα· ἡ πεσοῦσα ψόφον ἐποίησε, καὶ αὐτίκα βοὴ ἦν. Τὸ δὲ στρατόπεδον ἐπὶ τὸ τεῖχος ὥρμησεν· οὐ γὰρ ᾔδει, ὅτι ἦν δεινόν[40], σκοτεινῆς νυκτὸς, καὶ χειμῶνος ὄντος. Καὶ ἅμα οἱ ἐν τῇ πόλει τῶν Πλαταιέων ὑπολελειμμένοι ἐξελθόντες προσέβαλον τῷ τείχει τῶν Πελοποννησίων, ἐκ τοὐμπαλιν ἢ[41] οἱ ἄνδρες αὐτῶν ὑπερέβαινον, ὅπως ἥκιστα πρὸς αὐτοὺς[42] τὸν νοῦν ἔχοιεν. Ἐθορυβοῦντο[43] μὲν οὖν κατὰ χώραν[44] μένοντες, βοηθεῖν δὲ οὐδεὶς ἐτόλμα ἐκ τῆς ἑαυτῶν φυλακῆς· ἀλλ' ἐν ἀπόρῳ[45] ἦσαν εἰκάσαι τὸ γιγνόμενον. Καὶ οἱ τριακόσιοι αὐτῶν, οἷς ἐτέτακτο[46] παραβοηθεῖν, εἴ τι δέοι, ἐχώρουν ἔξω τοῦ τείχους πρὸς τὴν βοήν· φρυκτοὶ

---

20) Δηλ. ἐκτεινομένη ἀπὸ τὸ μέσα ἕως τὸ ἔξω μέτωπον. 21) Παρὰ τὸν πύργον δὲν ἐδύνατό τις νὰ διαβῇ. 22) Διὰ μέσου αὐτῶν. 23) Ὑγρὸς, δηλ. βροχερός. 24) Εἰς ὀλίγην ἀπόστασιν μεταξύ των. 25) Αἱ παρασκευαὶ ἐγένοντο. 26) Χειμέριον ὕδατι, δηλ. θυελλώδη καὶ βροχερὰν κτλ. 27) Δηλ. οἱ δύω προτρέψαντες. 28) Περιεκύκλωνεν. Εἶπεν ἀνωτέρω ὅτι οἱ Δακεδ. ἔσκαψαν διπλῆν τάφρον, ἔσωθεν καὶ ἔξωθεν (Β'. §. 78). 29) Ἐξ αἰτίας τοῦ σκότους. 30) Ἠδύνατο νὰ εἰπῇ Οὐ προϊδόντας. 31) Οὐ κατακουσάντων, τοῦ ἀνέμου ἀντιπαταγοῦντος τῷ ψόφῳ τῷ γινομένῳ ἐκ τοῦ προσιέναι αὐτούς. 32) Ἐπορεύοντο οἱ Πλαταιεῖς. 33) Ἐλαφροί. 34) Ἵνα μὴ σφάλλωνται διὰ νὰ μὴ γλιστροῦν. 35) Εἰς ἓν μεταπύργιον, διάστημα μεταξὺ δύω πύργων. 36) Ἀνὰ ἓξ εἰς ἑκάτερον. 37) Τὰς ἀσπίδας. 38) Πλησίον τῶν πολ. 39) Πολλοὶ ἀνέβησαν. 40) Τί κακὸν συνέβαινε. 41) Εἰς τὸ ἀπέναντι μέρος ἀπὸ ἐκεῖνο ὅπου. 42) Τοὺς ὑπερβαίνοντας προσέχοιεν οἱ Πελοπον. 43) Οἱ Πελοποννήσιοι. 44) Ὅπου εὑρίσκοντο. 45) Ἐν ἀπορίᾳ. 46) Εἶχε δοθῇ προσταγή.

σε ἤροντο ἐς τὰς Θήβας πολέμιοι[47]· παρανίσχον[48] δὲ καὶ οἱ ἐκ τῆς πόλεως Πλαταιῆς ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλούς, πρότερον παρεσκευασμένους ἐς αὐτὸ τοῦτο, ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις[49] ᾖ, καὶ μὴ βαυθείεν, ἄλλο τι νομίσαντες τὸ γιγνόμενον εἶναι, ἢ τὸ ὄν. πρὶν σφῶν οἱ ἄνδρες οἱ ἐξιόντες διαφύγοιεν καὶ τοῦ ἀσφαλοῦς[50] ἀντιλάβοιντο.

Οἱ δ' ὑπερβαίνοντες τῶν Πλαταιέων ἐν τούτῳ[51], ὡς οἱ πρῶτοι αὐτῶν ἀνεβεβήκεσαν, καὶ τοῦ πύργου ἑκατέρου τοὺς φύλακας διαφθείραντες, ἐκεκρατήκεσαν, τάς τε διόδους[52] τῶν πύργων αὐτοὶ ἑστάντες ἐφύλασσον, μηδένα δι' αὐτῶν ἐπιβοηθεῖν[53], καὶ κλίμακας προσθέντες ἀπὸ τοῦ τείχους τοῖς πύργοις[54], καὶ ἐπαναβιβάσαντες ἄνδρας πλείους, οἱ μὲν ἀπὸ τῶν πύργων τοὺς ἐπιβοηθοῦντας καὶ κάτωθεν καὶ ἄνωθεν[55] εἶργον βάλλοντες· οἱ δ' ἐν τούτῳ, οἱ πλείους, πολλὰς προσθέντες κλίμακας ἅμα, καὶ τὰς ἐπάλξεις ἀπώσαντες, διὰ τοῦ μεταπυργίου ὑπερέβαινον· ὁ δὲ διακομιζόμενος ἀεί[56], ἵστατο ἐπὶ τοῦ χείλους τῆς τάφρου[57], καὶ ἐντεῦθεν ἐτόξευόν τε καὶ ἠκόντιζον, εἴτις[58] παραβοηθῶν παρὰ τὸ τεῖχος κωλυτὴς γίγνοιτο τῆς διαβάσεως. Ἐπεὶ δὲ πάντες διεπεπεραίοντο, οἱ ἀπὸ τῶν πύργων χαλεπῶς οἱ τελευταῖοι καταβαίνοντες[59] ἐχώρουν ἐπὶ τὴν τάφρον· καὶ ἐν τούτῳ οἱ τριακόσιοι αὐτοῖς ἐπεφέροντο, λαμπάδας ἔχοντες. Οἱ μὲν οὖν Πλαταιῆς ἐκείνους ἑώρων μᾶλλον ἐκ τοῦ σκότους ἑστῶτες ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ ἐτόξευόν τε καὶ ἐσηκόντιζον ἐς τὰ γυμνά[60]· αὐτοὶ δὲ ἐν τῷ ἀφανεῖ ὄντες, ἧσσον διὰ τὰς λαμπάδας[61] καθεωρῶντο, ὥστε φθάνουσι τῶν Πλαταιέων καὶ οἱ ὕστατοι διαβάντες τὴν τάφρον, χαλεπῶς δὲ καὶ βιαίως. κρύσταλλός τε γὰρ ἐπεπήγει οὐ βέβαιος ἐν αὐτῇ, ὥστ' ἐπελθεῖν[62], ἀλλ' οἷος ἀπηλιώτου[63], ἢ βορέου, ὑδατώδης μᾶλλον· καὶ ἡ νὺξ τοιούτῳ ἀνέμῳ ὑπονιφομένη[64] πολὺ τὸ ὕδωρ ἐν αὐτῇ[65] ἐπεποιήκει, ὃ μόλις ὑπερέχοντες ἐπεραιώθησαν. Ἐγένετο δὲ καὶ ἡ διάφευξις αὐτοῖς μᾶλλον διὰ τοῦ χειμῶνος τὸ μέγεθος.

Ὁρμήσαντες δὲ ἀπὸ τῆς τάφρου οἱ Πλαταιῆς, ἐχώρουν ἀθρόοι τὴν ἐς Θήβας φέρουσαν ὁδόν, ἐν δεξιᾷ ἔχοντες τὸ τοῦ Ἀνδροκράτους ἡρῷον· νομίζοντες ἥκιστα σφᾶς ταύτην αὐτοὺς ὑποτοπῆσαι τραπέσθαι[66], τὴν ἐς τοὺς πολεμίους· καὶ ἅμα ἑώρων τοὺς Πελοποννησίους τὴν πρὸς Κιθαιρῶνα καὶ Δρυὸς κεφαλὰς[67], τὴν ἐπ' Ἀθηνῶν φέρουσαν μετὰ λαμπάδων διώκοντας. Καὶ

---

47) Πυραὶ πολέμιαι (πολέμου, ἐν πολέμῳ ἐθιζόμεναι) ἤροντο ἀπὸ τοὺς Πελοποννησίους εἰς τὰς Θήβας, δηλ. διὰ νὰ τὰς ἰδῶσιν οἱ ἐν Θήβαις, πρὸς τὴν διεύθυνσιν τῶν Θηβῶν. Ἀπέχουσι δὲ αἱ Θῆβαι τῶν Πλαταιῶν περίπου τρεῖς ὥρας. 48) Πλησίον τῶν φρυκτῶν τούτων ἀνήγειρον καὶ οἱ Πλαταιεῖς ἄλλους. 49) Τοῖς Θηβαίοις. 50) Ἀντὶ ἀφηρημ. τῆς ἀσφαλείας. 51) Τῷ χρόνῳ. 52) Τὰς πύλας δι' ὧν διήρχοντο ἀπὸ πύργου εἰς πύργον. 53) Ὥστε ἐπιβοηθεῖν. 54) Τοὺς ἕστησαν ἐπάνω εἰς τὸ τεῖχος κατὰ τῶν πύργων. 55) Κάτωθεν ἀπὸ τὰ οἰκήματα καὶ ἄνωθεν ἀπὸ τὸ τεῖχος. 56) Ἀεί, δηλ. ἕκαστος μετακομιζόμενος. 57) Τῆς ἔξω τάφρου. 58) Τὸν ὅστις. 59) Ἄλλοι στίζουσι κακῶς μὲ τὴν λέξιν Πύργων, διότι οἱ ἀπὸ τῶν πύργων κατέβησαν προφανῶς οἱ τελευταῖοι. 60) Μέρη τοῦ σώματός των. 61) Ἐπειδὴ οἱ Πελοπ. ἐκράτουν λαμπάδας. 62) Ὄχι ἀρκετὰ στερεὸς ὥστε νὰ πατήσῃ τις εἰς αὐτόν. 63) Οἷος εἶναι ὁ κρύσταλλος τοῦ ἀπηλιώτου, ὅστις γίνεται ὅταν φυσᾷ ὁ ἀπηλιώτης, ὁ ἀνατολικὸς ἄνεμος. 64) Χιονιζομένη. Ἤδη Γ' πρὸ κολόζει τὸ Νιφομένη, διότι τὸ πίπτον δὲν ἦτον χιών, ἀλλὰ νεροχιόνον. 65) Τῇ τάφρῳ. 66) Ὅτι πολλὰ ὀλίγον θὰ ὑποπτεύσωσιν οἱ Λακ. ὅτι αὐτοὶ ἐτράπησαν πρὸς ταύτην τὴν ὁδὸν τὴν ἄγουσαν εἰς τοὺς πολεμίους. 67) Ἡ ἐπὶ τοῦ Κιθαιρῶνος στενωπὸς ἐκ Βοιωτίας πρὸς Ἀττικήν, τὴν

ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ σταδίους οἱ Πλαταιῆς τὴν ἐπὶ τῶν Θηβῶν ἐχώρησαν, ἔπειθ' ὑποστρέψαντες ἦσαν τὴν πρὸς τὸ ὄρος φέρουσαν ὁδὸν, ἐς Ἐρυθρὰς καὶ Ὑσιὰς[68] καὶ λαβόμενοι τῶν ὀρῶν[69], διαφεύγουσιν ἐς τὰς Ἀθήνας, ἄνδρες ὀλίγῳ δεκὰ καὶ διακόσιοι ἀπὸ πλειόνων[70]. εἰσὶ γάρ τινες αὐτῶν οἱ ἀπετράποντο ἐς τὴν πόλιν, πρὶν ὑπερβαίνειν· εἷς δ' ἐπὶ τῇ ἔξω τάφρῳ τοξότης ἐλήφθη. Οἱ μὲν οὖν Πελοποννήσιοι κατὰ χώραν ἐγένοντο[71], τῆς βοηθείας παυσάμενοι· οἱ δ' ἐκ τῆς πόλεως Πλαταιῆς, τῶν μὲν γεγενημένων εἰδότες οὐδὲν, τῶν δὲ ἀποτραπομένων σφίσιν ἀπαγγειλάντων[72], ὡς οὐδεὶς περίεστι[73], κήρυκα ἐκπέμψαντες, ἐπεὶ ἡμέρα ἐγένετο, ἐσπένδοντο ἀναίρεσιν[74] τοῖς νεκροῖς· μαθόντες δὲ τὸ ἀληθὲς, ἐπαύσαντο. Οἱ μὲν δὴ τῶν Πλαταιέων ἄνδρες οὕτως ὑπερβάντες ἐσώθησαν.

ΒΙΒΛΙΟΝ Γ'. (52—69.)

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου[1] καὶ οἱ Πλαταιῆς, οὐκέτι ἔχοντες σῖτον, οὐδὲ δυνάμενοι πολιορκεῖσθαι, ξυνέβησαν[2] τοῖς Πελοποννησίοις τοιῷδε τρόπῳ. Προσέβαλον[3] αὐτῶν τῷ τείχει, οἱ δὲ οὐκ ἐδύναντο ἀμύνεσθαι. Γνοὺς δὲ ὁ Λακεδαιμόνιος ἄρχων τὴν ἀσθένειαν αὐτῶν, βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν. εἰρημένον γὰρ ἦν αὐτῷ ἐκ Λακεδαίμονος, ὅπως, εἰ σπονδαί γίγνοιντό ποτε πρὸς Ἀθηναίους, καὶ ξυγχωροῖεν[4], ὅσα πολέμῳ[5] χωρία ἔχουσιν ἑκάτεροι, ἀποδίδοσθαι, μὴ ἀνάστατος[6] εἴη ἡ Πλάταια, ὡς αὐτῶν ἑκόντων προσχωρησάντων· προσπέμπει δὲ αὐτοῖς κήρυκα λέγοντα, εἰ βούλονται, παραδοῦναι τὴν πόλιν ἑκόντες τοῖς Λακεδαιμονίοις, καὶ δικασταῖς ἐκείνοις χρήσασθαι, τούς τε ἀδίκους κολάζειν[7], παρὰ δίκην δὲ[8], οὐδένα. Τοσαῦτα μὲν ὁ κήρυξ εἶπεν. Οἱ δὲ (ἦσαν γὰρ ἤδη ἐν τῷ ἀσθενεστάτῳ[9],) παρέδοσαν τὴν πόλιν· καὶ τοὺς Πλαταιέας ἔτρεφον οἱ Πελοποννήσιοι ἡμέρας τινὰς, ἐν ὅσῳ οἱ ἐκ τῆς Λακεδαίμονος δικασταὶ πέντε ἄνδρες ἀφίκοντο. Ἐλθόντων δὲ αὐτῶν, κατηγορία μὲν οὐδεμία προετέθη[10]· ἠρώτων δὲ αὐτοὺς, ἐπικαλεσάμενοι[11], τοσοῦτον μόνον, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷ καθεστῶτι ἀγαθόν τι[12] εἰργασμένοι εἰσίν. Οἱ δ' ἔλεγον[13] αἰτησάμενοι μακρότερα εἰπεῖν, καὶ προτάξαντες σφῶν αὐτῶν[14] Ἀστύμαχόν τε τὸν Ἀσωπολάου, καὶ Λάκωνα τὸν Ἀειμνήστου, πρόξενον[15] ὄντα Λακεδαιμονίων, καὶ ἐπελθόντες, ἔλεγον τοιάδε·

σήμερον στενὸν τῆς Κάζας. 68) Δύο πόλεις τῆς Βοιωτίας παρὰ τὸν Κιθαιρῶνα, ἀρκτικῶς τῶν Δρυὸς κεφαλῶν. 69) Πιάσαντες τὰ ὄρη, φθάσαντες εἰς τὰ ὄρη. 70) Ἐν ᾧ ἦσαν πλείονες εἰς τὴν ἔξοδον. 71) Ἐπέστρεψαν εἰς τὴν θέσιν των. 72) Ἡ φράσις ἤθελεν εἶσθαι ὁμαλωτέρα οὕτως: εἰδότες μὲν οὐδὲν, ἀπαγγειλάντων δὲ σφίσι, διότι στρυφνὸν φαίνεται νὰ συνδέωσιν οὕτως ὁ Μὲν καὶ Δὲ: οὐδὲν μὲν εἰδότες τῶν γεγενημένων (πραγμάτων), τῶν δὲ ἀποτραπομένων Πλαταιέων ἀπαγγειλάντων. 73) Διεσώθη. 74) Διὰ σπονδῶν ἐζήτουν ἀναίρεσιν, δηλ. νὰ λάβωσι τοὺς νεκροὺς των.

1) Τοῦ 427 ἔτους π. Χ. (Ὀλ. 88, β'), πέμπτου ἔτους τοῦ πολέμου. 2) Ἐσυμβιβάσθησαν. 3) Οἱ Λακεδαιμόνιοι. 4) Συγκατετίθεντο ἑκάτεροι. 5) Διὰ τῆς βίας τοῦ πολέμου. 6) Ἀποδοτέα. 7) Λέγοντα κολάζειν, ὅτι οἱ Λακεδαιμόνιοι θέλουσι κολάσει. 8) Ἀδίκαστον. 9) Εἰς τὴν πλέον ἀσθενῆ των κατάστασιν. 10) Δὲν ἐπροτείνοντο οἱ Δικασταὶ κατὰ τῶν Πλαταιέων οὐδεμίαν κατηγορίαν. 11) Προσκαλέσαντες τους ἐμπρός των. 12) Τὸ Τι τοῦτο ἴσως ἀφαιρετέον, διότι ἡ ἐπανάληψις περιττή. 13) Ἀπεκρίνοντο. 14) Δοθέντες ὡς ἀρχηγοὺς των. 15) Πλαταιέα δεχόμενον τοὺς εἰς Πλαταιὰς ἐρχομένους

» Τὴν μὲν παράδοσιν τῆς πόλεως, ὦ Λακεδαιμόνιοι, πιστεύσαντες ὑμῖν, ἐποιησάμεθα, οὐ τοιάνδε δίκην οἰόμενοι ὑφέξειν[46], νομιμωτέραν δέ τινα ἔσεσθαι[47]· καὶ ἐν δικασταῖς οὐκ ἐν ἄλλοις δεξάμενοι (ὥσπερ καὶ ἐσμὲν[48]) γενέσθαι ἢ ὑμῖν[49], ἡγούμενοι τὸ ἴσον μάλιστ' ἂν φέρεσθαι[50]· νῦν δὲ φοβούμεθα, μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν. τόν τε γὰρ ἀγῶνα περὶ τῶν δεινοτάτων[51] εἶναι, εἰκότως ὑποπτεύομεν, καὶ ὑμᾶς, μὴ οὐ κοινοὶ[52] ἀποθῆτε τεκμαιρόμενοι, προκατηγορίας τε ἡμῶν οὐ προγεγενημένης, ἢ χρὴ ἀντειπεῖν (ἀλλ' αὐτοὶ λόγων ἡτησάμεθα), τό, τε ἐπερώτημα βραχὺ ὄν[53], ᾧ τὰ μὲν ἀληθῆ ἀποκρίνασθαι, ἐναντία γίγνεται[54], τὰ δὲ ψευδῆ, ἔλεγχον ἔχει[55]. Πανταχόθεν δὲ ἄποροι καθεστῶτες, ἀναγκαζόμεθα, καὶ ἀσφαλέστερον δοκεῖ εἶναι, εἰπόντας τι κινδυνεύειν. καὶ γὰρ ὁ μὴ ῥηθεὶς λόγος τοῖς ὠδ' ἔχουσιν[56] αἰτίαν ἂν παράσχοι[57], ὡς, εἰ ἐλέχθη, σωτήριος ἂν ἦν. Χαλεπῶς δὲ ἔχει ἡμῖν[58] πρὸς τοῖς ἄλλοις καὶ ἡ πειθώ. ἀγνῶτες μὲν γὰρ ὄντες ἀλλήλων[59], ἐπεισενεγκάμενοι μαρτύρια ὧν ἄπειροι ἦτε, ὠφελούμεθ' ἄν[60]· νῦν δὲ πρὸς εἰδότας πάντα λελέξεται· καὶ δέδιμεν οὐχί, μὴ, προκαταγνόντες ἡμῶν τὰς ἀρετὰς ἴσσους εἶναι τῶν ὑμετέρων, ἔγκλημα αὐτὸ ποιῆτε, ἀλλὰ μὴ, ἄλλοις χάριν φέροντες[61], ἐπὶ διεγνωσμένῳ[62] κρίσιν καθιστώμεθα.»

» Παρεχόμενοι δὲ ὅμως ἃ ἔχομεν δίκαια, πρός τε τὰ Θηβαίων διάφορα[63], καὶ ἐς ὑμᾶς καὶ ἐς τοὺς ἄλλους Ἕλληνας, τῶν εὖ δεδρασμένων ὑπόμνησιν ποιησόμεθα, καὶ πειθειν πειρασόμεθα. Φαμὲν γὰρ πρὸς τὸ ἐρώτημα τὸ βραχύ, εἴτε Λακεδαιμονίους καὶ τοὺς συμμάχους ἐν τῷ πολέμῳ τῷδε ἀγαθὸν πεποιήκαμεν· εἰ μὲν ὡς πολεμίους ἐρωτᾶτε, οὐκ ἀδικεῖσθαι ὑμᾶς[64], μὴ εὖ παθόντας· φίλους δὲ νομίζοντας, αὐτοὺς[65] ἁμαρτάνειν μᾶλλον, τοὺς ἡμῖν ἐπιστρατεύσαντας. Τὰ δ' ἐν τῇ εἰρήνῃ[66] καὶ πρὸς τὸν Μῆδον ἀγαθοὶ γεγενήμεθα, τὴν μὲν οὐ λύσαντες νῦν πρότεροι, τῷ δὲ ξυνεπιθέμενοι τότε ἐς ἐλευθερίαν τῆς Ἑλλάδος μόνοι Βοιωτῶν[67]. καὶ γὰρ ἠπειρῶταί τε ὄντες ἐναυμαχήσαμεν ἐπ' Ἀρτεμισίῳ[68], μάχῃ τε τῇ ἐν τῇ ἡμετέρᾳ γῇ γενομένῃ παρεγενόμεθα ὑμῖν τε καὶ Παυσανίᾳ. Εἴτε τι ἄλλο κατ' ἐκεῖνον τὸν χρόνον ἐγένετο ἐπικίνδυνον τοῖς Ἕλλησι, πάντων παρὰ δύναμιν[69] μετ-

---

Δακεδαιμονίους, καὶ φροντίζοντα περὶ τῶν ἐν Πλαταιαῖς ὑποθέσεων τῶν Λακεδ.

46) Ὅτι θὰ ὑποβληθῶμεν εἰς τοιαύτην δίκην. 47) Τὴν δίκην, ἣν ὑφέξειν ἐμέλλομεν.

48) Ὥσπερ καὶ ἐσμὲν οὐκ ἐν ἄλλοις· ἢ, ἐν ταῖς περιστάσεσιν ἐν αἷς ἐσμεν.

49) Νὰ ὑποβληθῶμεν εἰς ἄλλους δικαστὰς ἀπὸ σᾶς. 50) Δικαιοσύνην ἀπολαύειν παρ' ὑμῶν μάλιστα. 51) Περὶ θανάτου, τὸν ὁποῖον κατ' εὐφημίαν ἀποσιωπᾷ. 52) Ἀμερόληπτοι, ἴσοι πρὸς τὰ δύω μέρη. 53) Ὑποπτεύομεν τεκμαιρόμενοι ταῦτα, οὐ προηγουμένης (γεν. ἀπόλ.), καὶ ὄν (ὀνομ. ἀπόλ. ἀπροσώπου. Κ. §. 439, β'.)· διότι δὲν προέγινε, καὶ διότι εἶναι.

54) Δηλ. τὰ ἀληθῆ, ἂν ἀποκριθῶμεν αὐτά, γίνονται ἐναντία (ἐπιβλαβῆ) εἰς ἡμᾶς. Ὁμαλώτερον δὲ ἤθελεν ἔχει ἡ φράσις ἂν ἦτον: ἐναντίον (τὸ ἀποκρίνεσθαι) γίνεται, ἢ ᾧ τὰ ἀληθῆ ἀποκριυόμενα, λεγόμενα εἰς ἀπόκρισιν, γίνεται ἡμῖν ἐναντία. 55) Ἐλέγχονται εὐκόλως ψευδῆ ὄντα. 56) Τοῖς οὖσιν εἰς ἣν κατάστασιν ἡμεῖς εἴμεθα. 57) Ἤθελε προσάψει κατηγορίαν. 58) Δύσκολος μᾶς εἶναι. 59) Μὴ γνωριζόμενοι μεταξύ μας. 60) Ἀπ' αὐτά.

61) Τοῖς ἐχθροῖς των Θηβαίοις, οἵτινες ἐζήτουν τὴν καταδίκην των. 62) Δεδικασμένην ἤδη 63) Ὡς πρὸς τὴν διαφοράν μας, τὴν φιλονεικίαν μας τὴν πρὸς τοὺς Θηβαίους.

64) Ἂν μᾶς ἐρωτᾶτε θεωροῦντες μας ὡς ἐχθρούς σας, δὲν ἠδικήθητε μὴ εὐεργετηθέντες ἀπὸ ἡμᾶς, διότι τίς εὐεργετεῖται ἀπὸ ἐχθρούς. 65) Ἡμᾶς. 66) Ὡς πρὸς τὰ ἐν τῇ εἰρ.

67) Οἱ λοιποὶ Βοιωτοὶ δὲν ἐλάβον ὅπλα κατὰ τοῦ Μήδου. 68) Ἀκρωτήριον Εὐβοίας ὅπου τὸ πρῶτον ἐναυμάχησαν οἱ Ἑλλ. κατὰ τῶν Περσῶν. 69) Ἐπὲρ τὴν δύναμίν μας.

ἐσχομεν. Καὶ ὑμῖν, ὦ Λακεδαιμόνιοι, ἰδίᾳ, ὅτε περ δὴ μέγιστος φόβος περιέστη τὴν Σπάρτην, μετὰ τὸν σεισμὸν, τῶν ἐς Ἰθώμην Εἱλώτων ἀποστάντων[40], τὸ τρίτον μέρος ἡμῶν αὐτῶν ἐξεπέμψαμεν ἐς ἐπικουρίαν. Ὧν οὐκ εἰκὸς ἀμνημονεῖνα.

β Καὶ τὰ μὲν παλαιὰ[41] καὶ τὰ μέγιστα τοιοῦτοι ἠξιώσαμεν εἶναι· πολέμιοι δὲ ἐγενόμεθα ὕστερον ὑμεῖς ὁ αἴτιοι. Δεομένων γὰρ ξυμμαχίας[42], ὅτε Θηβαῖοι ἡμᾶς ἐβιάσαντο[43], ὑμεῖς ἀπεώσασθε, καὶ πρὸς Ἀθηναίους ἐκελεύετε τραπέσθαι, ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν ἀποικούντων. Ἐν μέντοι τῷ πολέμῳ οὐδὲν ἐκπρεπέστερον[44] ὑπὸ ὑμῶν οὔτε ἐπάθετε, οὔτε ἐμελήσατε[45]. Εἰ δ' ἀποστῆναι Ἀθηναίων οὐκ ἐβελήσαμεν, ὑμῶν κελευσάντων, οὐκ ἠδικοῦμεν. καὶ γὰρ ἐκεῖνοι ἐβοήθουν ἡμῖν ἐναντία Θηβαίοις, ὅτε ὑμεῖς ἀπωκνεῖτε, καὶ προσῆσαν αὐτοὺς οὐκέτι ἦν καλὸν, ἄλλως τε καὶ οἷς[46] εὖ παθών τις καὶ αὐτὸς δεόμενος προσηγάγετο ξυμμάχους, καὶ πολιτείας μετέλαβεν[47]· ἰέναι δὲ εἰς τὰ παραγγελλόμενα εἰκὸς ἦν προθύμως[48]. ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε[49] τοῖς ξυμμάχοις, οὐχ οἱ ἑπόμενοι αἴτιοι, εἴ τε μὴ καλῶς εὑρᾶτε, ἀλλ' οἱ ἄγοντες ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα α.

γ Θηβαῖοι δὲ πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἠδίκησαν, τὸ δὲ τελευταῖον, αὐτοὶ ξύνιστε, οἷ ἅπερ καὶ τάδε πάσχομεν. Πόλιν γὰρ αὐτοὺς τὴν ἡμετέραν καταλαμβάνοντας ἐν σπονδαῖς[50], καὶ προσέτι ἱερομηνίᾳ[51], ὀρθῶς [τε] ἐτιμωρησάμεθα, κατὰ τὸν πᾶσι νόμον καθεστῶτα[52], τὸν ἐπιόντα[53] πολέμιον ὅσιον εἶναι ἀμύνεσθαι· καὶ νῦν οὐκ ἂν εἰκότως δι' αὐτοὺς βλαπτοίμεθα. Εἰ γὰρ τῷ αὐτίκα χρησίμῳ ὑμῶν τε καὶ ἐκείνων πολεμίῳ τὸ δίκαιον λήψεσθε[54], τοῦ μὲν ὀρθοῦ φανεῖσθε οὐκ ἀληθεῖς κριταὶ ὄντες, τὸ δὲ ξυμφέρον μᾶλλον θεραπεύοντες. Καίτοι, εἰ νῦν ὑμῖν ὠφέλιμοι δοκοῦσιν εἶναι, πολὺ καὶ ἡμεῖς καὶ οἱ ἄλλοι Ἕλληνες μᾶλλον τότε[55], ὅτε ἐν μείζονι κινδύνῳ ἦτε. Νῦν μὲν γὰρ ἑτέροις ὑμεῖς ἐπέρχεσθε δεινοί[56]· ἐν ἐκείνῳ δὲ τῷ καιρῷ, ὅτε πᾶσι δουλείαν ἐπέφερεν ὁ βάρβαρος, οἵδε[57] μετ' αὐτοῦ ἦσαν. Καὶ δίκαιον, ἡμῶν τῆς νῦν ἁμαρτίας (εἰ ἄρα ἡμάρτηταί τι) ἀντιθεῖναι[58] τὴν τότε προθυμίαν· καὶ μείζω τε πρὸς ἐλάσσω εὑρήσετε, καὶ ἐν καιροῖς, οἷς σπάνιον ἦν, τῶν Ἑλλήνων τινὰ ἀρετὴν τῇ Ξέρξου δυνάμει ἀντιτάξασθαι· ἐπῃνοῦντό τε μᾶλλον οἱ μὴ τὰ ξύμφορα πρὸς τὴν ἔροδον αὐτοῖς ἀσφαλείᾳ πράσσοντες[60], ἐθέλοντες δὲ τολμᾶν μετὰ κινδύνων τὰ βέλτιστα. Ὧν ἡμεῖς γενόμενοι, καὶ τιμηθέντες ἐς τὰ πρῶτα, νῦν ἐπὶ τοῖς αὐτοῖς[61] δέοιμεν μὴ

---

40) Π. Χ. 464, Ὀλ. 79, ά. 41) Ὡς πρὸς τὰ παλαιά. 42) Ἀντὶ ἐβιάσαντο ἡμᾶς δεομένους, εἶπεν εἰς γεν. ἀπόλ. δεομένων, ὡς ἀνωτέρω. 43) Ἐστενοχωρουν. 44) Ξεχωριστὸ τί ποτε, κανὲν μέγα κακόν. 45) Οὔτε ἐμέλλετε νὰ πάθετε. 46) Οὓς ἄλλως τε καὶ προσηγάγετο. Τὸ δὲ Τις ἐννοεῖ αὐτοὺς τοὺς ὁμιλοῦντας. 47) Οἱ Πλαταιεῖς ἐπολιτογραφήθησαν Ἀθηναῖοι, ὡς φαίνεται καὶ κατωτέρω § 63. 48) Προθύμως ἰέναι. 49) Ὡδηγοῦσατε. 50) Ἐν καιρῷ εἰρήνης. 51) Ἑορτῇ. 52) Κατὰ τὸν παρὰ πᾶσι καθεστῶτα νόμον εἶναι ὅσιον ἀμύνεσθαι. 53) Τὸν ἔξωθεν ἐπερχόμενον, τὸν ἐπιθετικόν. 54) Ἂν θεωρήσετε τὴν δικαιοσύνην κατὰ τὸ ὅτι οἱ Θηβαῖοι σᾶς εἶναι τώρα χρήσιμοι καὶ κατὰ τὴν ἐχθρὰν αὐτῶν πρὸς ἡμᾶς διάθεσιν. 55) Ἡμεθα. 56) Φοβεροί. 57) Οἱ Θηβαῖοι. 58) Θεῖναι ἀντὶ τῆς νῦν ἁμαρτίας, τοῦ παροντος σφάλματός μας. 59) Τὴν προθυμίαν μείζω πρὸς τὴν ἁμαρτίαν ἐλάσσω. 60) Οἱ μὴ πράττοντες ὡς πρὸς τὴν ἔροδον τὰ συμφέροντα ἑαυτοῖς (ἐν) ἀσφαλείᾳ.

61) Διότι ἠκολουθήσαμεν τὰς αὐτὰς ἀρχάς.

διαφθαρῶμεν, Ἀθηναίους ἑλόμενοι δικαίως μᾶλλον ἢ ὑμᾶς κερδαλέως[62]. Καίτοι χρὴ ταὐτὰ περὶ τῶν αὐτῶν ὁμοίως φαίνεσθαι γιγνώσκοντας[63], καὶ τὸ ξυμφέρον μὴ ἄλλο τι νομίσαι, ἢ τῶν ξυμμάχων τοῖς ἀγαθοῖς ὅταν ἀεὶ βέβαιον τὴν χάριν τῆς ἀρετῆς ἔχωσι[64], καὶ τὸ παραυτίκα που ἡμῖν ὠφέλιμον καθιστῆται[65] α.

β Προσκέψασθέ τε, ὅτι νῦν μὲν παράδειγμα τοῖς πολλοῖς τῶν Ἑλλήνων[66] ἀνδραγαθίας νομίζεσθε· εἰ δὲ περὶ ἡμῶν γνώσεσθε μὴ εἰκότα (οὐ γὰρ ἀφανῆ κρινεῖτε τὴν δίκην τήνδε, ἐπαινούμενοι δὲ περὶ οὗ ἡμῶν μεμπτῶν[67]), ὁρᾶτε ὅπως μὴ οὐκ ἀποδέξωνται[68], ἀνδρῶν ἀγαθῶν πέρι, αὐτοὺς[69] ἀμείνους ὄντας, ἀπρεπές τι ἐπιγνῶναι, οὐδὲ πρὸς ἱεροῖς τοῖς κοινοῖς[70] σκῦλα ἀπὸ ἡμῶν τῶν εὐεργετῶν τῆς Ἑλλάδος ἀνατεθῆναι. Δεινὸν δὲ δόξει εἶναι, Πλάταιαν Λακεδαιμονίου πορθῆσαι· καὶ τοὺς μὲν πατέρας ἀναγράψαι ἐς τὸν τρίποδα τὸν ἐν Δελφοῖς δι' ἀρετὴν τὴν πόλεν[71], ὑμᾶς δὲ καὶ ἐκ παντὸς τοῦ Ἑλληνικοῦ[72] πανοικεσίᾳ διὰ Θηβαίους ἐξαλεῖψαι. Ἐς τοῦτο γὰρ δὴ ξυμφορᾶς προκεχωρήκαμεν, οἵτινες Μήδων τε κρατησάντων ἀπωλλύμεθα[73], καὶ νῦν ἐν ὑμῖν, τοῖς πρὶν φιλτάτοις, Θηβαίων ἥσσώμεθα[74], καὶ δύο ἀγῶνας τοὺς μεγίστους ὑπέστημεν, τότε μὲν[75], τὴν πόλιν εἰ μὴ παρέδομεν, λιμῷ διαφθαρῆναι, νῦν δὲ, θανάτου δίκη κρίνεσθαι. Καὶ περιεώσμεθα[76] ἐκ πάντων[77] Πλαταιῆς, οἱ παρὰ δύναμιν πρόθυμοι ἐς τοὺς Ἕλληνας, ἔρημοι καὶ ἀτιμώρητοι· καὶ οὔτε τῶν τότε ξυμμάχων ὠφελεῖ οὐδείς, ὑμεῖς τε, ὦ Λακεδαιμόνιοι, ἡ μόνη ἐλπίς[78], δεδιμεν, μὴ οὐ βέβαιοι ἦτε π.

β Καί τοι ἀξιοῦμέν γε καὶ θεῶν ἕνεκα τῶν ξυμμαχικῶν ποτε γενομένων[79], καὶ τῆς ἀρετῆς τῆς ἐς τοὺς Ἕλληνας, γναμφθῆναι[80] ὑμᾶς, καὶ μεταγνῶναι, εἴ τι ὑπὸ Θηβαίων ἐπείσθητε, τήν τε ὥρεαν ἀνταπαιτῆσαι[81] αὐτούς, μὴ κτείνειν οὓς μὴ ὑμῖν πρέπει· σώφρονά τε ἀντὶ αἰσχρᾶς κομίσασθαι χάριν[82], καὶ μὴ, ἡδονὴν δόντας[83] ἄλλοις, κακίαν αὐτοὺς ἀντιλαβεῖν. βραχὺ γὰρ τὸ

---

62) Μᾶλλον ἐκείνους συμφώνως μὲ τὸ δίκαιον, παρὰ σᾶς συμφώνως μὲ τὸ κέρδος μας. 63) Τοὺς ἀνθρώπους φρονοῦντας πάντοτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν. 64) Ὅταν ἀγαθοὶ ὑμμαχοι εὑρίσκωσι βεβαίαν ἀνταμοιβὴν τῆς ἀρετῆς των (ὡς δηλ. καὶ ἡμεῖς ἐμείναμεν ἀγαθοὶ σύμμαχοι τοῖς Ἀθηναίοις). 65) Καὶ ἄλλο συμφέρον εἶναι νὰ ὠφελώμεθα ἀπὸ τὰ παραυτίκα, ἀπὸ τὴν παρουσιαζομένην περίστασιν. Τὸ που σημαίνει· ὅταν συμπίπτῃ. Τὸ ἡμῖν δὲ ἀορίστως· ἔστρεψε δηλ. εἰς ἀ. πρόσωπον, ὅτι ἀνωτέρω εἶπεν εἰς γ'. 66) Ἐξαιρεῖ πιθανῶς τοὺς Ἀθηναίους. 67) Κρινεῖτε σεῖς οἱ ἐπαινούμενοι Λακεδαιμόνιοι, περὶ ἡμῶν τῶν Πλαταιέων, οὐκ ὄντων καὶ ἡμῶν εὐκαταφρονήτων. 68) Ἐγκρίνουσι. 69) Σᾶς ὄντας ἀμείνους περὶ ἡμῶν ἀνδρῶν ἀγαθῶν. 70) Εἰς τοὺς κοινοὺς ναοὺς τῆς Ἑλλάδος, ὁποῦς ἦν ὁ τῶν Δελφῶν. 71) Οἱ πατέρες σας (μετὰ τὰ Μηδικὰ) ἀνέγραψαν εἰς τὸν ἀφιερωθέντα εἰς Δελφοὺς διὰ τὴν νίκην κατὰ τοῦ Μαρδονίου τὴν πόλιν μας ἕνεκα τῆς ἀρετῆς αὐτῆς. 72) Γένους. Περίφρ. ἀντὶ ἐκ πάσης τῆς Ἑλλάδος. 73) Ἐν ἄλλοις: Ἀπολλύμεθα. 74) Παρ' ὑμῖν μένομεν ὀπίσω τῶν Θ., μᾶς προκιμᾶτε τοὺς Θηβαίους. 75) Ἐσχάτως δηλ. ὅτε παρεδόθησαν. 76) Περιωθῶ. 77) Μεταξὺ ὅλων μόνοι. 78) Οἵτινες εἴσθε μόνη ἐλπὶς μας. 79) Τῶν προσκαίρων τῆς ἀρχαίας συμμαχίας μας. Πρὸ τῆς μάχης τῶν Πλαταιῶν ὁ Παυσανίας ἐπεκαλέσθη τοὺς θεοὺς καὶ ἥρωας τῆς Πλαταιίδος. Ἰδ. Πλουτ. Ἀριστ. Τόμ. Β'. σελ. 43. 80) Καμφθῆναι. 81) Ἀξιοῦμεν ἀνταπαιτῆσαι, νὰ ἀνταπαιτήσωμεν ἡμεῖς ἀντὶ τῆς παλαιᾶς ἀρετῆς μας τὴν ὥρεάν νὰ μὴ κτείνετε σεῖς κτλ. 82) Εὐχαριστηθῆναι σώφρονα ἀπὸ ἡμᾶς, ἀντὶ αἰσχρᾶς ἀπὸ τοὺς Θηβ. 83) (Ἡμᾶς) δόντας ἄλλοις (τοῖς Θηβ.) ἡδονὴν, ἀντιλαβεῖν κακίαν, μοιρὴν κακίας.

τὰ ἡμέτερα σώματα διαφθεῖραι, ἐπίπονον δὲ, τὴν οὐσκλειαν αὐτοῦ[87] ἀφανίσαι. Οὐκ ἐχθροὺς γὰρ ἡμᾶς εἰκότως τιμωρήσεσθε, ἀλλ' εὐνους, κατ' ἀνάγκην πολεμησαντας. Ὥστε καὶ τῶν σωμάτων ἄδειαν ποιοῦντες[88], ὅσια ἂν δικάζητε, καὶ προνοοῦντες[89], ὅτι ἑκόντας τε ἐλάβετε[87], καὶ χεῖρας προϊσχομένους (ὁ δὲ νόμος τοῖς Ἕλλησι, μὴ κτείνειν τούτους), ἔτι δὲ καὶ εὐεργέτας γεγενημένους διαπαντός. Ἀποβλέψατε γὰρ ἐς πατέρων τῶν ὑμετέρων θήκας[88], οὓς ἀποθανόντας ὑπὸ Μήδων, καὶ ταφέντας ἐν τῇ ἡμετέρᾳ, ἐτιμῶμεν κατ' ἔτος ἕκαστον δημοσίᾳ ἐσθήμασί[89] τε καὶ τοῖς ἄλλοις νομίμοις, ὅσα τε ἡ γῆ ἡμῶν ἀνεδίδου ὡραῖα[90], πάντων ἀπαρχὰς ἐπιφέροντες, εὐνοι μὲν ἐκ φιλίας χώρας[91], ξύμμαχοι δὲ ὁμαίχμιοι ποτὲ γενομένοις. Ὧν ὑμεῖς τοὐναντίον ἂν δράσαιτε μὴ ὀρθῶς γνόντες. Σκέψασθε δὲ· Παυσανίας μὲν γὰρ ἔθαπτεν αὐτοὺς, νομίζων ἐν γῇ τε φιλίᾳ τιθέναι καὶ παρ' ἀνδράσι τοιούτοις· ὑμεῖς δὲ, εἰ κτενεῖτε ἡμᾶς, καὶ χώραν τὴν Πλαταιΐδα Θηβαΐδα ποιήσετε, τί ἄλλο[92] ἢ ἐν πολεμίᾳ τε καὶ παρὰ τοῖς αὐθένταις[93] πατέρας τοὺς ὑμετέρους καὶ ξυγγενεῖς, ἀτίμους γερῶν, ὧν[94] νῦν ἴσχουσι, καταλείψετε; πρὸς δὲ, καὶ γῆν, ἐν ᾗ ἠλευθερώθησαν οἱ Ἕλληνες, δουλώσετε; ἱερά τε Θεῶν, οἷς εὐξάμενοι Μήδων ἐκράτησαν, ἐρημοῦτε; καὶ θυσίας τὰς πατρίους τῶν εἰσαμένων[95] καὶ κτισάντων ἀφαιρήσεσθε; »

» Οὐ πρὸς τῆς ὑμετέρας δόξης, ὦ Δακεδαιμόνιοι, τάδε, οὔτε ἐς τὰ καινὰ τῶν Ἑλλήνων νόμιμα καὶ ἐς τοὺς προγόνους ἁμαρτάνειν[96], οὔτε ἡμᾶς τοὺς εὐεργέτας, ἀλλοτρίας ἕνεκα ἔχθρας[97], μὴ αὐτοὺς ἀδικηθέντας διαφθεῖραι· φείσασθαι δὲ καὶ ἐπικλασθῆναι τῇ γνώμῃ[98], οἶκτον σώφρονα λαβόντας, μὴ, ὧν πεισόμεθα, μόνον δεινότητα[99] κατανοοῦντας, ἀλλ' οἷοί τε ἂν ὄντες πάθοιμεν, καὶ ὡς ἀστάθμητον τὸ τῆς ξυμφορᾶς[100], ᾧ τινί ποτ' ἂν καὶ ἀναξίως ξυμπέσοι. Ἡμεῖς τε, ὡς πρέπον ἡμῖν, καὶ ὡς ἡ χρεία προάγει[101], αἰτούμεθα ὑμᾶς, θεοὺς τοὺς ὁμοβωμίους καὶ κοινοὺς τῶν Ἑλλήνων ἐπιβοώμενοι, πεῖσαι τάδε[102], προφερόμενοι ὅρκους, οὓς οἱ πατέρες ὑμῶν ὤμοσαν, μὴ ἀμνημονεῖν[103]. ἐκέται γιγνόμεθα ὑμῶν τῶν πατρῴων τάφων[104], καὶ ἐπικαλούμεθα τοὺς κεκμηῶτας[105], μὴ γενέσθαι ὑπὸ Θηβαίοις, μηδὲ τοῖς ἐχθίστοις φίλτατοι[106] ὄντες παραδοθῆναι· ἡμέρας τε ἀναμιμνησκομεν ἐκείνης, ᾗ τὰ λαμπρότατα μετ' αὐτῶν πράξαντες, νῦν ἐν τῇδε τὰ δεινότατα κινδυνεύομεν[107] παθεῖν. Ὅπερ δὲ ἀναγκαῖόν τε καὶ χαλεπώτατον τοῖς ὧδε ἔχουσι,

---

87) Τῆς πράξεως ταύτης, τοῦ διαφθεῖραι. 88) Ἀσφάλειαν τῆς ζωῆς. 89) Ἐνθυμούμενοι, σκεπτομενοι. 87) Ἡμᾶς. 88) Τοὺς τάφους. 89) Ἔσθημα ἐκ τοῦ ἑσθῆς, φόρεμα. Εἰς τοὺς τάφους τῶν νεκρῶν ἀφιέρουν ἐνδύματα. 90) Κατὰ πᾶσαν ὥραν τοῦ χρόνου. 91) Ἡμεῖς εὐνοι αὐτοῖς ὄντες καὶ ἐπιφέροντες ἐκ τῆς ἡμετέρας χώρας οὔσης φιλίας. 92) Ποιήσετε. 93) Αὐθέντης ἐκ τοῦ αὐτὸς ἐντης, ὁ αὐτουργὸς, καὶ ἰδίως τοῦ φονου. 94) Ἀττ. ἀντὶ Ἕ. 95) Εἰσαμένων, ἀόριστ. ἐκ τοῦ Ἕζω, ἱδρυμένων. Αἱ πλεῖσται ἐκδόσεις φέρουσι κακῶς ἐσσαμένων, ἐκ τοῦ ἔννυμι, τοῦ ἐνδύω. 96) Ἀντὶ προστακτικῆς. 97) Τῆς τῶν Θ. 98) Κατωθῆτε. 99) Ὄχι μόνον ἐννοοῦντες πόσον δεινὸν εἶναι ὅτι κινδυνεύομεν νὰ πάθωμεν. 100) Χρῆμα. Ἄδηλον, ἀβέβαιον, εἰς ποῖόν τινά ποτε ἐνδέχεται νὰ συμπέσῃ παρ' ἀξιαν. 101) Ὡς τὸ φέρει, ὡς τὸ ἀπαιτεῖ ἡ χρεία. 102) Ἐπιβοώμενοι θεοὺς, αἰτούμενοι πεῖσαι ὑμᾶς. 103) Τῶν ὅρκων τούτων. 104) Δηλ. ὡς οἱ καθήμενοι ἐπὶ τῶν βωμῶν καὶ ἱκετεύοντες, οὕτω καὶ ἡμεῖς ἐπὶ τῶν τάφων. 105) Ἀντὶ κεκμηκότας κατὰ συγκοπὴν, ὡς τὸ καθυπνῶτας καὶ ἄλλα. 106) Φίλτατοι τοῖς νεκροῖς, ὡς συμπολεμήσαντες αὐτοῖς. 107) Τὸ Ἦ μόνον εἰς τὸ πράξαντες καὶ ὄχι εἰς τὸ κινδυνεύομεν· ὥστε ἡ φράσις ἔπρεπε

λόγου τελευτᾶν[108], διότι καὶ τοῦ βίου ὁ κίνδυνος ἐγγὺς μετ' αὐτοῦ, παυόμενοι, λέγομεν ἤδη, ὅτι οὐ Θηβαίοις παρέδομεν τὴν πόλιν (εἰλόμεθα γὰρ ἂν πρό γε τούτου, τῷ αἰσχίστῳ ὀλέθρῳ, λιμῷ, τελευτῆσαι)· ὑμῖν δὲ πιστεύσαντες προσήλθομεν, καὶ δίκαιον, εἰ μὴ πείθομεν, ἐς τὰ αὐτὰ καταστήσαντας[109], τὸν ξυντυχόντα κίνδυνον ἐᾶσαι ἡμᾶς αὐτοὺς ἑλέσθαι. Ἐπισκήπτομέν τε ἅμα, μὴ Πλαταιᾶς ὄντες οἱ προθυμότατοι περὶ τοὺς Ἕλληνας γενόμενοι, Θηβαίοις, τοῖς ἡμῖν ἐχθίστοις, ἐκ τῶν ὑμετέρων χειρῶν, καὶ τῆς ὑμετέρας πίστεως, ἱκέται ὄντες, ὦ Λακεδαιμόνιοι, παραδοθῆναι· γενέσθαι τε σωτῆρας ἡμῶν, καὶ μή, τοὺς ἄλλους Ἕλληνας ἐλευθεροῦντας, ἡμᾶς διολέσαι».

Τοιαῦτα μὲν οἱ Πλαταιῆς εἶπον. Οἱ δὲ Θηβαῖοι, δείσαντες, πρὸς τὸν λόγον αὐτῶν μή οἱ Λακεδαιμόνιοί τι ἐνδῶσι, παρελθόντες ἔφασαν καὶ αὐτοὶ βούλεσθαι εἰπεῖν, ἐπειδὴ καὶ ἐκείνοις[110], παρὰ γνώμην τὴν αὐτῶν, μακρότερος λόγος ἐδόθη τῆς πρὸς τὸ ἐρώτημα ἀποκρίσεως[111]. Ὡς δ' ἐκέλευσαν[112], ἔλεγον τοιάδε.

α Τοὺς μὲν λόγους οὐκ ἂν ἠτιασάμεθα εἰπεῖν, εἰ καὶ αὐτοὶ βραχέως τὸ ἐρωτηθὲν ἀπεκρίναντο[113], καὶ μὴ ἐπ' ἡμᾶς τραπόμενοι[114], κατηγορίαν ἐποιήσαντο, καὶ περὶ αὐτῶν, ἔξω τῶν προκειμένων, καὶ ἅμα οὐδὲ ἠτιασμένων[115], πολλὴν τὴν ἀπολογίαν, καὶ ἔπαινον, ὧν[116] οὐδεὶς ἐμέμψατο. Νῦν δὲ πρὸς μὲν τὰ[117] ἀντειπεῖν δεῖ, τῶν δὲ[118] ἔλεγχον ποιήσασθαι· ἵνα μήτε ἡ ἡμετέρα αὐτοὺς κακία[119] ὠφελῇ, μήτε ἡ τούτων δόξα, τὸ δ' ἀληθὲς περὶ ἀμφοτέρων ἀκούσαντες, κρίνητε. Ἡμεῖς δὲ αὐτοῖς διάφοροι ἐγενόμεθα[120] τὸ πρῶτον, ὅτι, ἡμῶν κτισάντων Πλάταιαν, ὕστερον τῆς ἄλλης Βοιωτίας[121], καὶ ἄλλα χωρία μετ' αὐτῆς, ἃ ξυμμίκτους ἀνθρώπους[122] ἐξελάσαντες ἔσχομεν[123], οὐκ ἠξίουν οὗτοι, ὥσπερ ἐτάχθη τὸ πρῶτον, ἡγεμονεύεσθαι ὑφ' ἡμῶν, ἔξω[124] δὲ τῶν ἄλλων Βοιωτῶν παραβαίνοντες τὰ πάτρια, ἐπειδὴ προσηναγκάζοντο[124], προσεχώρησαν πρὸς Ἀθηναίους, καὶ μετ' αὐτῶν πολλὰ ἡμᾶς ἔβλαπτον, ἀνθ' ὧν καὶ ἀντέπασχον.

β Ἐπειδὴ δὲ καὶ ὁ βάρβαρος ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, φασὶ μόνοι Βοιωτῶν οὐ μηδίσαι, καὶ τούτῳ[125] μάλιστα αὐτοί τε ἀγάλλονται, καὶ ἡμᾶς λοιδοροῦσιν. Ἡμεῖς δὲ μηδίσαι μὲν αὐτοὺς οὐ φαμεν, διότι οὐδ' Ἀθηναίους[126]· τῇ μέντοι αὐτῇ ἰδέᾳ[127] ὕστερον, Ἀθηναίων ἰόντων ἐπὶ τοὺς Ἕλληνας, μόνους

μᾶλλον νὰ συνδεθῇ διὰ συνδέσμου· ἢ ἐπράξαμεν, νῦν δὲ κινδυνεύομεν. [108]) Ποιοῦντες ὅπερ... Τὸ τελευτᾶν λόγου. [109]) Ἀποκαταστήσαντες ἡμᾶς ὅπου ἤμεθα πρὶν παραδοθῶμεν. [110]) Τοῖς Πλαταιεῦσι. [111]) Τῆς ἀποκρίσεως τὴν ὁποίαν ἀπῄτει τὸ ἐρώτημα. [112]) Οἱ Λακεδαιμόνιοι. [113]) Μεταβατικῶς λέγει ἀπεκρίναντο τὸ ἐρωτηθὲν, ἐννοῶν, αὐτὸ ἰσόνομον, διὰ ναί, ἢ οὔ. Οὗτοι δὲ ἀπεκρίθησαν πρὸς τὸ ἐρωτηθὲν διὰ μακρῶν λόγων. [114]) Τὸν λόγον τρέψαντες καθ' ἡμῶν. [115]) Ἀπολογίαν τῶν οὐκ ἠτιασμένων, τῶν ὅσα δὲν ἐκατηγορήθησαν. [116]) Ἔπαινον ἐκείνων ἅ. [117]) Ἀντὶ πρὸς τὰ μέν. [118]) Τοὺς δὲ ἐπαίνους ἐλέγξαι ψευδεῖς. [119]) Ἡ κακία τὴν ὁποίαν μᾶς προσάπτουσι. [120]) Διηνέχθημεν. [121]) Τῶν ἄλλων πόλεων τῆς Β. [122]) Ἀπὸ διαφόρων ἐθνῶν ἢ πόλεων μεμιγμένους. [123]) Οἱ Βοιωτοὶ ἦσαν Αἰολεῖς ἐλθόντες ἐκ Θεσσαλίας, καὶ διώξαντες τοὺς ἀρχαίους κατοίκους, Ἄονας, Ἐκτῆνας, Τέμμενας, Γαντας, Θρᾷκας. [125]) Μόνοι ἐκτός. [124]) Ἠθέλαμεν νὰ τοὺς βιάσωμεν νὰ ἀκολουθήσωσι τὰ πάτρια ἔθιμα καὶ νὰ ἡγεμονευθῶσιν ὑφ' ἡμῶν. [125]) Ἐπὶ τούτῳ. [126]) Μηδίσαι. [127]) Τῇ αὐτῇ ἰδέᾳ τῶν Μήδων, δηλ. ἐπὶ δουλείᾳ τῆς Ἑλλάδος.

αὖ Βοιωτῶν ἀττικίσαι[128]. Καίτοι σκέψασθε, ἐν οἵῳ εἶδει[129] ἑκάτεροι ἡμῶν τοῦτο ἔπραξαν. Ἡμῖν μὲν γὰρ ἡ πόλις τότε ἐτύγχανεν οὔτε κατ' ὀλιγαρχίαν ἰσόνομον[130] πολιτεύουσα, οὔτε κατὰ δημοκρατίαν· ὅπερ δὲ ἐπὶ νόμοις μὲν καὶ τῷ σωφρονεστάτῳ[131] ἐναντιώτατον, ἐγγυτάτω δὲ τυράννου[132], δυναστεία ὀλίγων ἀνδρῶν εἶχε τὰ πράγματα[133]· καὶ οὗτοι, ἰδίας δυνάμεις ἐλπίσαντες ἔτι μᾶλλον σχήσειν[134], εἰ τὰ τοῦ Μήδου[135] κρατήσειε, κατέχοντες ἰσχύϊ τὸ πλῆθος, ἐπηγάγοντο αὐτόν· καὶ ἡ ξύμπασα πόλις οὐκ αὐτοκράτωρ οὖσα ἑαυτῆς[136] τοῦτ' ἔπραξεν, οὐδ' ἄξιον αὐτὴ ὀνειδίσαι, ὧν μὴ μετὰ νόμων[137] ἥμαρτεν. Ἐπειδὴ γοῦν ὅ,τε Μῆδος ἀπῆλθε, καὶ τοὺς νόμους ἔλαβε[138], σκέψασθαι χρὴ Ἀθηναίων ὕστερον ἐπιόντων[139], τήν τε ἄλλην Ἑλλάδα καὶ τὴν ἡμετέραν χώραν πειρωμένων ὑφ' αὑτοῖς ποιεῖσθαι, καὶ κατὰ στάσιν ἤδη ἐχόντων αὐτῆς τὰ πολλά[140], εἰ, μαχόμενοι ἐν Κορωνείᾳ[141], καὶ νικήσαντες αὐτοὺς ἠλευθέρωσαν τὴν Βοιωτίαν, καὶ τοὺς ἄλλους νῦν προθύμως ξυνεξελευθεροῦμεν, ἵππους τε παρέχοντες, καὶ παρασκευήν, ὅσην οὐκ ἄλλοι τῶν ξυμμάχων. Καὶ τὰ μὲν ἐς τὸν μηδισμὸν τοσαῦτα ἀπολογούμεθα.

» Ὡς δὲ ὑμεῖς[142] μᾶλλόν τε ἠδικήκατε τοὺς Ἕλληνας, καὶ ἀξιώτεροί ἐστε πάσης ζημίας, πειρασόμεθα ἀποφαίνειν. Ἐγένεσθε ἐπὶ τῇ ἡμετέρᾳ τιμωρίᾳ[143], ὥς φατε, Ἀθηναίων ξύμμαχοι καὶ πολῖται. οὐκοῦν χρὴ τὰ πρὸς ἡμᾶς μόνον ὑμᾶς ἐπάγεσθαι αὐτούς[144], καὶ μὴ ξυνεπιέναι μετ' αὐτῶν ἄλλοις[145], ὑπάρχον τε ὑμῖν[146], εἴτι καὶ ἄκοντες προσήγεσθε ὑπ' Ἀθηναίων, τῆς τῶν Λακεδαιμονίων τῶνδε ἤδη ἐπὶ τῷ Μήδῳ ξυμμαχίας γεγενημένης[147], ἣν αὐτοὶ μάλιστα προβάλλεσθε· ἱκανή γε ἦν[148] ἡμᾶς τε ὑμῶν ἀποτρέπειν, καὶ, τὸ μέγιστον, ἀδεῶς παρέχειν βουλεύεσθαι[149]. Ἀλλ' ἑκόντες καὶ οὐ βιαζόμενοι ἔτι, εἵλεσθε μᾶλλον τὰ τῶν Ἀθηναίων[150]. Καὶ λέγετε, ὡς αἰσχρὸν ἦν προδοῦναι τοὺς εὐεργέτας· πολὺ δέ γε αἴσχιον καὶ ἀδικώτερον, τοὺς πάντας Ἕλληνας καταπροδοῦναι, οἷς ξυνωμόσατε[151], ἢ Ἀθηναίους μόνους· τοὺς μὲν[152], καταδουλουμένους τὴν Ἑλλάδα, τοὺς δὲ, ἐλευθεροῦντας. Καὶ οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀνταπέδοτε, οὐδὲ αἰσχύνης ἀπηλλαγμένην[153]. ὑμεῖς μὲν γὰρ ἀδικούμενοι αὐτούς, ὥς φατε, ἐπηγάγεσθε· τοῖς δὲ, ἀδικοῦσιν

---

128) Φαμὲν αὐτοὺς μόνους Ἀττικίσαι. Ἂν αὐτοὶ δὲν ἠνώθησαν μὲ τὸν Μῆδον ὅταν ἤρχετο νὰ δουλώσῃ τὴν Ἑλλάδα, ἠνώθησαν ὅμως μὲ τοὺς Ἀθηναίους ὅταν ἤρχοντο αὗτοι μὲ τὴν αὐτὴν ἰδέαν. 129) Εἶδος εἶναι ὅλα τὰ ἐξωτερικὰ τινος διακριτικὰ σημεῖα, ὅθεν ἐδώκαι περιστάσεις. 130) Χορηγοῦσαν τὴν ἐνώπιον τοῦ νόμου ἰσότητα. 131) Εἰς τὸ σωφρονέστατον σχῆμα κυβερνήσεως. 132) Ἡ δυναστεία εἶναι ἐγγυτάτω τυράννου, ὁμοιάζει τύραννον, τυραννίαν. 133) Δυναστεία εἶχεν, ὅπερ ἐστὶ νόμοις μὲν κτλ. 134) Ἴσχω, νὰ ἀποκτήσωσι. 135) Πράγματα. 136) Ἐυρία ἑαυτῆς. 137) Ἐν ἀπουσίᾳ νόμων. 138) Ἡ πόλις. 139) Ἐπὶ τοῦ ἱεροῦ πολέμου ἐν Ὀλ. 89, ἀ. Π. Χ. 448. 140) Καὶ κυριευόντων ἤδη τὰ πλεῖστα μέρη αὐτῆς τῆς Ἑλλάδος, διὰ τὴν στάσιν, δηλ. ἐξ αἰτίας τῶν ἐμφυλίων αὐτῶν στάσεων. 141) Ἐπὶ τοῦ πρώτου ἱεροῦ πολέμου, ὅτε οἱ Ἀθηναῖοι ἐβοήθουν τοὺς Φωκεῖς καταλαβόντας τὸν ναὸν τῶν Δελφῶν, ἐνικήθησαν κατὰ κράτος εἰς τὴν Κορώνειαν, πόλιν τῆς Βοιωτίας κειμένην ἐπὶ τοῦ Ἑλικῶνος, ἐν Ὀλ. 83. 6'. Π. Χ. 447. 142) Στρέφει τὸν λόγον κατ' εὐθεῖαν πρὸς τοὺς Πλαταιεῖς. 143) Ὅπως ἡμᾶς τιμωρήσητε. 144) Νὰ τοὺς φέρητε μόνον ὅπου ἀπήτει ὁ καθ' ἡμῶν πόλεμός σας, μόνον καθ' ἡμῶν. 145) Ἄλλοις Ἕλλησι. 146) Ἐνῷ τοῦτο σᾶς ἦτον δυνατόν. 147) Διότι ἦτον προγεγενημένη ἐπὶ τῶν Μήδων ἤδη ἡ πρὸς τοὺς Λ. συμμαχία σας. 148) Ἡ πρὸς τοὺς Λ. συμμαχία. 149) Καὶ νὰ σᾶς ἀφήσῃ τὴν ἐλευθερίαν τοῦ νὰ σκέπτεσθε ἀφόβως. 150) Τὴν συμμαχίαν τῶν Ἀθ. 151) Ὁμοῦ ὡμόσατε ἐπὶ Μήδων. 152) Ἀθ. 153) Αἰσχύνης διὰ σᾶς.

ἄλλους, ξυνεργοὶ κατέστητε. Καίτοι τὰς ὁμοίας χάριτας μὴ ἀντιδιδόναι[156] αἰσχρὸν μᾶλλον, ἢ τὰς μετὰ δικαιοσύνης μὲν ὠφεληθείσας, ἐς ἀδικίαν δὲ ἀποδιδομένας[157].

» Δῆλόν τε ἐποιήσατε, οὐδὲ τότε τῶν Ἑλλήνων ἕνεκα μόνοι οὐ μηδίσαντες, ἀλλ' ὅτι οὐδ' Ἀθηναῖοι[158]. Ὑμεῖς δὲ, τοῖς μὲν ταὐτὰ βουλόμενοι ποιεῖν, τοῖς δὲ τἀναντία, καὶ νῦν ἀξιοῦτε, ἀφ' ὧν οἱ ἑτέρους ἐγένεσθε ἀγαθοί[159], ἀπὸ τούτων ὠφελεῖσθαι. Ἀλλ' οὐκ εἰκὸς ὥσπερ δὲ Ἀθηναίους εἵλεσθε, τούτοις ξυναγωνίζεσθε. Καὶ μὴ προῆρετε τὴν τότε γενομένην ξυνωμοσίαν[160], ὡς χρὴ ἀπ' αὐτῆς νῦν σώζεσθαι. Ἀπελίπετε γὰρ αὐτὴν, καὶ παραβάντες ξυγκατεδουλοῦσθε μᾶλλον Αἰγινήτας, καὶ ἄλλους τινὰς τῶν ξυνομοσάντων, ἢ διεκωλύετε· καὶ ταῦτα, οὔτε ἄκοντες[161], ἔχοντές τε τοὺς νόμους[162], οὕσπερ μέχρι τοῦ δεῦρο[163], καὶ οὐδενὸς ὑμᾶς βιασαμένου, ὥσπερ ἡμᾶς. Τὴν τελευταίαν τε, πρὶν περιτειχίζεσθαι, πρόκλησιν[164] ἐς ἡσυχίαν ὑμῶν, ὥστε μηδετέροις ἀμύνειν, οὐκ ἐδέχεσθε. Τίνες ἂν οὖν ὑμῶν δικαιότερον πᾶσι τοῖς Ἕλλησι[165] μισοῖντο, οἵτινες ἐπὶ τῷ ἐκείνων κακῷ ἀνδραγαθίαν προὔθεσθε[166]; καὶ ἃ μέν ποτε χρηστοὶ ἐγένεσθε, ὡς φατε, οὐ προσγκοντα νῦν ἐπεδείξατε[167]· ἃ δὲ ἡ φύσις αἰεὶ ἐβούλετο, ἐξηλέγχθη ἐς τὸ ἀληθές· μετὰ γὰρ Ἀθηναίων ἄδικον ὀλίγον ὄντων ἐχωρήσατε. Τὰ μὲν οὖν ἐς τὸν ἡμέτερόν τε ἀκούσιον μηδισμὸν, καὶ τὸν ὑμέτερον ἑκούσιον ἀττικισμὸν τοιαῦτα ἀποφαίνομεν.

» Ἃ δὲ τελευταῖα φατε ἀδικηθῆναι (παρανόμως γὰρ ἐλθεῖν ἡμᾶς ἐν σπονδαῖς καὶ ἱερομηνίαις ἐπὶ τὴν ὑμετέραν πόλιν), οὐ νομίζομεν οὐδ' ἐν τούτοις ὑμῶν μᾶλλον ἁμαρτάνειν. Εἰ μὲν γὰρ ἡμεῖς αὐτοὶ πρός τε τὴν πόλιν ἐλθόντες ἐμαχόμεθα, καὶ τὴν γῆν ἐδῃοῦμεν ὡς πολέμιοι, ἀδικοῦμεν· εἰ δὲ ἄνδρες ὑμῶν οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει, βουλόμενοι τῆς μὲν ἔξω ξυμμαχίας[168] ὑμᾶς παῦσαι, ἐς δὲ τὰ κοινὰ τῶν πάντων Βοιωτῶν πάτρια[169] καταστῆσαι, ἐπεκαλέσαντο ἑκόντες[170], τί ἀδικοῦμεν; οἱ γὰρ ἄγοντες παρανομοῦσι μᾶλλον τῶν ἑπομένων[171]. Ἀλλ' οὔτ' ἐκεῖνοι[172], ὡς ἡμεῖς κρίνομεν, οὔθ' ἡμεῖς. Πολῖται δὲ ὄντες, ὥσπερ ὑμεῖς, καὶ πλείω παραβαλλόμενοι[173], τὸ ἑαυτῶν τεῖχος ἀνοίξαντες, καὶ ἐς τὴν αὐτῶν πόλιν φιλίως, οὐ πολεμίως, κομίσαντες[174], ἐβούλοντο τούς τε ὑμῶν χείρους μηκέτι μᾶλλον[175] γενέσθαι, τούς τε ἀμείνους τὰ ἄξια ἔχειν· σωφρονισταὶ ὄντες τῆς γνώμης, καὶ τῶν

---

156) Αἱ πλεῖσται ἐκδόσεις Τὸ μὴ, ἀλλὰ τότε τὸ νόημα δὲν ἔχει καλῶς, ἐκτὸς μόνον ἂν ἡ φράσις ἦναι ἐρωτηματική. 157) Τὰς χάριτας τὰς δικαίως μὲν ὀφειλομένας, ἀδίκως (διὰ ἀδικίας) δὲ ἀποδιδομένας. 158) Ἀλλὰ διὰ τὸν λόγον, ὅτι οὐδ' οἱ Ἀθηναῖοι ἐμήδισαν.

159) Ὠφελεῖσθαι ἐξ ἐκείνων ἃ ἑτέρους εὐεργετήσατε. Θέλετε νὰ ὠφεληθῆτε ἀπὸ τοὺς Λακεδαιμονίους, εὐεργετήσαντες, ἄλλους, τοὺς Ἀθηναίους. 158) Τοὺς μετὰ τῶν Ἑλλήνων ὅρκους σας. 159) Ὥσπερ ἡμεῖς ἐπὶ Μήδων. 160) Ἐνῷ ἡμεῖς δὲν τοὺς εἴχαμεν. 161) Μέχρι τοῦδε ἔχετε. 162) Τῶν Λακεδαιμονίων. 163) Ὑπὸ πάντων τῶν Ἑλλήνων. Κ. §. 365.

164) Ἐσκοπεύσατε νὰ ἀνδραγαθήσητε ἐπὶ τῷ κακῷ ἐκείνων. 165) Ἐδείξατε τώρα, ὅτι ὅσα τότε ἠνδραγαθήσατε δὲν ἀνήκουσιν εἰς τὴν φύσιν σας. 166) Τῆς ἐκτὸς τῆς Βοιωτίας, τῆς μετὰ τῶν Ἀθηναίων, 167) Νόμιμα, νόμους, τὴν μετὰ τῶν Θηβαίων συμμαχίαν.

168) Φατρία ἀριστοκρατικὴ ἐπροσκάλεσε τοὺς Θηβαίους εἰς Πλαταιάς. Ἴδε Θουκ. Β', 2. 169) Ἐπαναλαμβάνουσι τοὺς αὐτοὺς λόγους τῶν Πλαταιέων (§. 55, τέλος) φρέροντές τας εἰς ὄφελος ἑαυτῶν. 170) Παρανομοῦσι. 171) Περισσότερα διακινδυνεύοντες, διότι ἦσαν οἱ πλουσιώτεροι. 172) Ὑμᾶς. 173) Νὰμὴ γίνωσιν ἀκόμη χειρότεροι οἱ χειρότεροι μεταξύ σας.

σωμάτων[173] τὴν πόλιν οὐκ ἀλλοτριοῦντες, ἀλλ' ἐς τὴν ξυγγένειαν οἰκειοῦντες[174]· ἐχθροὺς οὐδενὶ καθιστάντες[175], ἅπασι δ' ὁμοίως ἐνσπόνδους.

» Τεκμήριον δὲ[176], ὡς οὐ πολεμίως ἐπράσσομεν· οὔτε γὰρ ἠδικήσαμεν οὐδένα, προείπομέν τε, τὸν βουλόμενον κατὰ τὰ τῶν πάντων Βοιωτῶν πάτρια πολιτεύειν ἰέναι πρὸς ἡμᾶς[177]. Καὶ ὑμεῖς ἄσμενοι χωρήσαντες[178], καὶ ξύμβασιν ποιησάμενοι, τὸ μὲν πρῶτον ἡσυχάζετε, ὕστερον δὲ κατανοήσαντες ἡμᾶς ὀλίγους ὄντας, εἰ ἄρα καὶ ἐδοκοῦμέν τι ἀνεπιεικέστερον[180] πρᾶξαι, οὐ μετὰ τοῦ πλήθους ὑμῶν[181] εἰσελθόντες, τὰ μὲν ὁμοῖα οὐκ ἀνταπέδοτε ἡμῖν[182], μήτε νεωτερίσειν ἔργῳ, λόγοις τε πείσειν[183], ὥστε ἐξελθεῖν· ἐπιθέμενοι δὲ παρὰ τὴν ξύμβασιν, οἷς μὲν ἐν χερσὶν[184] ἀπεκτείνατε, οὐχ ὁμοίως ἀλγοῦμεν[185] (κατὰ νόμον γὰρ δή τινα[186] ἔπασχον)· οὓς δὲ χεῖρας προϊσχομένους[187], καὶ ζωγρήσαντες, ὑποσχόμενοί τε ἡμῖν ὕστερον μὴ κτενεῖν, παρανόμως διεφθείρατε, πῶς οὐ δεινὰ εἰργασθε; καὶ ταῦτα, τρεῖς ἀδικίας ἐν ὀλίγῳ πράξαντες, τήν τε λυθεῖσαν ὁμολογίαν, καὶ τῶν ἀνδρῶν τὸν ὕστερον θάνατον, καὶ τὴν περὶ αὐτῶν ὑμῖν μὴ κτείνειν ψευσθεῖσαν ὑπόσχεσιν[188], ἣν τὰ ἐν τοῖς ἀγροῖς ὑμῖν μὴ ἀδικῶμεν. Ὅμως φατὲ ἡμᾶς παρανομῆσαι, καὶ αὐτοὶ ἀξιοῦτε μὴ ἀντιδοῦναι δίκην[189]. Οὐκ[190], ἤν γε οὗτοι τὰ ὀρθὰ γιγνώσκωσι· πάντων δὲ αὐτῶν ἕνεκα κολασθήσεσθε.

» Καὶ ταῦτα, ὦ Λακεδαιμόνιοι, τούτου ἕνεκα ἐπεξήλθομεν[191], καὶ ὑπὲρ ὑμῶν καὶ ἡμῶν, ἵνα ὑμεῖς μὲν εἰδῆτε δικαίως αὐτῶν καταγνωσόμενοι[192], ἡμεῖς δὲ ἔτι ὁσιώτερον τετιμωρημένοι. Καὶ μὴ παλαιᾶς ἀρετᾶς, εἴ τινες ἄρα[193] καὶ ἐγένοντο, ἀκούοντες ἐπικλασθῆτε, ἃς χρὴ τοῖς μὲν ἀδικουμένοις ἐπικούρους εἶναι[194] τοῖς δὲ αἰσχρόν τι δρῶσι, διπλασίας ζημίας[195], ὅτι οὐκ ἐκ προσηκόντων[196] ἁμαρτάνουσι· μηδὲ ὀλοφυρμῷ καὶ οἴκτῳ ὠφελεῖσθωσαν[197], πατέρων τε τάφους τῶν ὑμετέρων ἐπιβοώμενοι, καὶ τὴν σφετέραν ἐρημίαν[198]. Καὶ γὰρ ἡμεῖς ἀνταποφαίνομεν πολλῷ δεινότερα παθοῦσαν τὴν ὑπὸ τούτων ἡλικίαν[199] ἡμῶν διεφθαρμένην, ὧν πατέρες, οἱ μὲν, πρὸς ὑμᾶς τὴν Βοιωτίαν ἄγοντες ἀπέθανον ἐν Κορωνείᾳ, οἱ δὲ, πρεσβῦται λελειμμένοι[200], καὶ οἰκίαι ἔρημοι, πολλῷ δικαιοτέραν ὑμῶν ἱκετείαν ποιοῦνται, τούσδε τιμωρήσασθαι·

---

173) Τῶν πολιτῶν της. 174) Οἰκειοῦντες αὐτὴν πρὸς τοὺς συγγενεῖς της Βοιωτούς. 175) Τοὺς Πλαταιεῖς. 176) Τὸ ἑπόμενον. 177) Ὅτε εἰσέβαλον εἰς Πλαταιάς, ὡς Θουκ. Β, 3. 178) Προσελθόντες. 180) Ὄχι τόσον δίκαιον. 181) Μὲ τὴν γνώμην τοῦ πλήθους σας. 182) Καὶ ἂν ὑποτεθῇ ὅτι δὲν ἐφέρθημεν λίαν ἐπιεικῶς καὶ πρεπόντως, ἀλλὰ πάλιν σεῖς δὲν μᾶς ἀνταπεδώσατε τὸ ὅμοιον, δὲν ἐφέρθητε πρὸς ἡμᾶς ὡς ἡμεῖς πρὸς σᾶς. 183) Ὥστε μήτε νεωτερίζειν, λογοις τε πείσειν, δηλ. μήτε νὰ πράξετέ τι νεώτερον (αἰφνίδιον καθ' ὑστεροβουλίαν) καθ' ἡμῶν, ἀλλὰ νὰ μᾶς πείσετε μὲ λόγους νὰ ἐξέλθωμεν. 184) Ἐν καιρῷ συμπλοκῆς. 185) Τὸ ἀλγῶ μετ' αἰτιατ. εἶναι κατ' ἔλλειψιν τῆς Διά. 186) Τὸν νόμον τοῦ πολέμου. 187) Ἐκτείνοντες ἱκετικῶς τὰς χεῖρας. 188) Καὶ τὴν ψευσθεῖσαν ἡμῖν περὶ αὐτῶν ὑπόσχεσιν τοῦ μὴ κτείνειν αὐτούς. 189) Νὰ τιμωρηθῆτε. 190) Ἔσται ἃ ἀξιοῦτε. 191) Ἐπτομερῶς ἀνεπτύξαμεν. 192) Ὅτι σεῖς θέλετε τοὺς καταδικάσει δικαίως. 193) Τυχόν. 194) Αἱ ἐπιδεικνυόμεναι παλαιαὶ ἀρεταὶ βοηθοῦσι μᾶλλον τὴν κατηγορίαν τῶν ἀδικηθέντων, διότι οἱ ἀρετὰς λέγοντες, εἶναι ἔτι μᾶλλον ἔνοχοι ἂν ἠδίκησαν. 195) Αἱ ἀρεταὶ πρέπει νὰ ἦναι διπλάσιαι ζημίαι, διπλασίως ἐπιζήμιοι εἰς τοὺς αἰσχροπραγοῦντας. 196) Διότι ἁμαρτάνεσιν ὄχι ὡς ἐκ τοῦ ἀνήκοντος αὐτοῖς χαρακτῆρος, ὄχι βιαζόμενοι ἀπὸ τὴν φύσιν των, ἀλλ' ἐν γνώσει ὡς καὶ ἀνωτέρω. 197) Ἂς μὴ τοὺς ὠφελήσῃ ὁ ὀλοφυρμὸς των καὶ ὁ οἶκτός σας. 198) Ὅτι ἐμείναν ἔρημοι βοηθείας. 199) Νεολαίαν. 200) Θανατωθέντων των υἱῶν των εἰς τὴν ἐπιχείρησιν κατὰ τῶν Πλαταιῶν.

οἵκτου τε ἀξιώτεροι τυγχάνειν οἱ ἀπρεπές τι πάσχοντες[201] τῶν ἀνθρώπων· οἱ δὲ δικαίως[202], ὥσπερ οἵδε, τὰ ἐναντία ἐπίχαρτοι εἶναι[203]. Καὶ τὴν νῦν ἐρημίαν δι' ἑαυτοὺς[204] ἔχουσι. τοὺς γὰρ ἀμείνους ξυμμάχους ἑκόντες ἀπεώσαντο· παρηνόμησάν τε, οὐ προπαθόντες ὑφ' ἡμῶν, μίσει δὲ πλέον ἢ δίκῃ κρίναντες, καὶ οὐκ ἀνταποδόντες νῦν τὴν ἴσην τιμωρίαν[205]. Ἔννομα γὰρ πείσονται, καὶ οὐχὶ ἐκ μάχης χεῖρας προίσχόμενοι[206], ὥσπερ φασίν, ἀλλ' ἀπὸ ξυμβάσεως ἐς δίκην σφᾶς αὐτοὺς παραδόντες. Ἀμύνατε οὖν, ὦ Λακεδαιμόνιοι, καὶ τῷ τῶν Ἑλλήνων νόμῳ ὑπὸ τῶνδε παραβαθέντι, καὶ ἡμῖν ἄνομα παθοῦσιν ἀνταπόδοτε χάριν δικαίαν ὧν[207] πρόθυμοι γεγενήμεθα· καὶ μὴ τοῖς τῶνδε λόγοις περιωσθῶμεν ἐν ὑμῖν[208], ποιήσατε δὲ τοῖς Ἕλλησι παράδειγμα, οὐ λόγων τούτοις ἀγῶνας προθήσοντες, ἀλλ' ἔργων[209], ὧν ἀγαθῶν μὲν ὄντων, βραχεῖα ἡ ἀπαγγελία ἀρκεῖ· ἁμαρτανομένων δὲ, λόγοι ἔπεσι[210] κοσμηθέντες προκαλύμματα[211] γίγνονται· ἀλλ' ἦν οἱ ἡγεμόνες, ὥσπερ νῦν ὑμεῖς[212], κεφαλαιώσαντες πρὸς τοὺς ξύμπαντας[213] διαγνώμας[214] ποιήσησθε, ἧσσόν τις ἐπ' ἀδίκοις ἔργοις λόγους καλοὺς ζητήσει[215]. »

Τοιαῦτα μὲν οἱ Θηβαῖοι εἶπον. Οἱ δὲ Λακεδαιμόνιοι δικασταί, νομίζοντες τὸ ἐπερώτημά σφισιν ἁρμοδίως ἔξειν, εἴτι ἐν τῷ πολέμῳ ὑπ' αὐτῶν[216] ἀγαθὸν πεπόνθασι, διότι τόν τε ἄλλον χρόνον ἠξίουν δῆθεν[217] αὐτοὺς κατὰ τὰς παλαιὰς τοῦ Παυσανίου μετὰ τὸν Μῆδον σπονδὰς ἡσυχάζειν, καὶ ὅτε ὕστερον ἃ πρὸ τοῦ περιτειχίζεσθαι παρείχοντο[218] αὐτοῖς, κοινοὺς εἶναι κατ' ἐκεῖνα[219], ὡς οὐκ ἐδέξαντο[220], ἡγούμενοι τῇ ἑαυτῶν οἰκείᾳ βουλήσει ἔκσπονδοι ἢδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι[221], αὖθις τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες, εἴτι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἀγαθὸν ἐν τῷ πολέμῳ δεδρακότες εἰσίν, ὁπότε μὴ φαίεν[222], ἀπάγοντες ἀπέκτειναν· καὶ ἐξαίρετον ἐποιήσαντο[223] οὐδένα. Διέφθειραν δὲ Πλαταιέων μὲν αὐτῶν, οὐκ ἐλάσσους διακοσίων, Ἀθηναίων δὲ, πέντε καὶ εἴκοσιν, οἳ ξυνεπολιορ-

---

201) Οἱ ἀναξιοπαθοῦντές εἰσιν ἀξιώτεροι τυγχάνειν οἴκτου. 202) Τί πάσχοντες. 203) Ἄξιοί εἰσιν, ἐκ τοῦ ἐναντίου, ἐπίχαρτοι εἶναι, νὰ ἦναι χαρᾶς αἰτία διὰ τὴν τιμωρίαν των.
204) Ἐξ αἰτίας αὐτῶν τῶν ἰδίων. 205) Μὲ ὅσα ὡς τώρα ἔπαθον μὴ τιμωρηθέντες ἄξιως.
206) Τείναντες ἱκετίδας χεῖρας εἰς τὴν μάχην. 207) Δι' ὅσα ἐδείχθημεν πρόθυμοι πρὸς σᾶς. 208) Μὴ ἀποκρουσθῶμεν ἐν μέσῳ (ἐνώπιον) ὑμῶν διὰ τῶν λόγων αὐτῶν.
209) Ὅτι δὲν θὰ κρίνετε περὶ τῶν λόγων, ἀλλὰ περὶ τῶν ἔργων τῶν Πλαταιέων.
210) Ἐπη κυρίως οἱ στίχοι, ἐδῶ δὲ ἐννοεῖ καλλωπισμούς. 211) Τῶν ἔργων ἁμαρτανομένων. 212) Ὑμεῖς οἱ νῦν ὄντες ἡγεμόνες· ὑμεῖς οἱ ἡγεμόνες, καὶ γὰρ τοῦτο νῦν ἐστέ.
213) Πρὸς τοὺς ξύμπαντας Ἕλληνας, ὑπὲρ ὅλων τῶν Ἑλλ. 214) Ἀπόφασιν.
215) Εἰς τὸ μέλλον. 216) Τῶν Πλαταιέων. 217) Καθ' ἃ ἔλεγον οἱ Λακεδ. 218) Ἐπρότεινον. 219) Κοινοὺς, δηλ. οὐδετέρους, ὡς καὶ ἀνωτέρω. Κατ' ἐκεῖνα, δηλ. κατὰ τὰς προτάσεις ἃς ἐπρότεινον πρὸ τοῦ περιτειχίζεσθαι. Ἡ περίοδος ἐλλειπτικὴ οὕτως· Ἠξίουν αὐτοὺς ἡσυχάζειν τόν τε ἄλλον χρόνον, καὶ ὅτε (ἠξίουν αὐτοὺς) κοινοὺς εἶναι κατ' ἐκεῖνα ἃ.
220) Ἡ στίξις πρέπει νὰ ἦναι πρὸ τοῦ ὡς, διότι ἄλλως τὸ ὅτε ἢ τὸ ὡς πλησιάζει, ἢ τὸ κοινοὺς δὲν πρέπει νὰ ἦναι εἰς αἰτιατικὴν, ὡς ταυτοπροσωπούντος τοῦ ἀπαρεμ. εἶναι μὲ τὸ ῥῆμα ἐδέξαντο. 221) Ἡ ἡγούμενοι (οἱ Λ.) κακῶς πεπονθέναι (τοὺς Πλατ.) ὑπ' αὐτῶν (τῶν Λ.) τῇ ἑαυτῶν (τῶν Πλατ.) οἰκείᾳ βουλήσει ἐκσπόνδους ἤδη γενομένους. Ἀλλὰ τότε δὲν ἔχει καλῶς ἡ ὀνομ. ἐκσπονδοι· ἢ ἡγούμενοι (οἱ Πλατ.) ἐκσπονδοι τῇ ἑαυτῶν οἰκείᾳ (τὰ πλεῖστα χειρόγραφα φέρουσι δικαίᾳ) βουλήσει (παραιτηθέντες τῆς συμμαχίας τῶν Θηβαίων ἡ Δακ. δι' ἰδίας καὶ νομίμου θελήσεως), κακῶς πεπονθέναι ὑπ' αὐτῶν (ὅτι ἐκακόπαθον παρανόμως ὑπὸ τῶν Δακ.). 222) Ὁπότε φαίεν μὴ εἶναι διδρακότες.
223) Ἐξήρεσαν.

κοῦντο· γυναῖκας δὲ ἠνδραπόδισαν· τὴν δὲ πόλιν ἐνιαυτὸν μέν τινα[224] Θηβαῖοι Μεγαρέων ἀνδράσι κατὰ στάσιν ἐκπεπτωκόσι[225], καὶ ὅσοι[226] τὰ σφέτερα φρονοῦντες Πλαταιέων περιῆσαν, ἔδοσαν ἐνοικεῖν· ὕστερον δὲ, καθελόντες αὐτὴν ἐς ἔδαφος πᾶσαν, ἐκ τῶν θεμελίων ᾠκοδόμησαν πρὸς τῷ Ἡραίῳ[227] καταγώγιον[228] διακοσίων ποδῶν, πανταχῇ κύκλῳ οἰκήματα ἔχον κάτωθεν καὶ ἄνωθεν· καὶ ὀροφαῖς καὶ θυρώμασι τοῖς τῶν Πλαταιέων ἐχρήσαντο· καὶ τοῖς ἄλλοις, ἃ ἦν ἐν τῷ τείχει[229] ἔπιπλα, χαλκὸς καὶ σίδηρος, κλίνας κατασκευάσαντες, ἀνέθεσαν τῇ Ἥρᾳ, καὶ νεὼν ἑκατόμποδον[230] λίθινον ᾠκοδόμησαν αὐτῇ. Τὴν δὲ γῆν δημοσιώσαντες[231], ἀπεμίσθωσαν[232] ἐπὶ δέκα ἔτη, καὶ ἐνέμοντο Θηβαῖοι. Σχεδὸν δέ τι[233] καὶ τὸ ξύμπαν[234] περὶ Πλαταιῶν οἱ Λακεδαιμόνιοι οὕτως ἀποτετραμμένοι ἐγένοντο[235] Θηβαίων ἕνεκα, νομίζοντες ἐς τὸν πόλεμον αὐτοὺς ἄρτι τότε καθιστάμενον[236] ὠφελίμους εἶναι. Καὶ τὰ κατὰ Πλάταιαν, ἔτει τρίτῳ καὶ ἐννενηκοστῷ ἐπειδὴ Ἀθηναίων ξύμμαχοι ἐγένοντο[237], οὕτως ἐτελεύτησαν.

---

224) Περίπου ἕνα ἐνιαυτόν. 225) Ἐξωρισμένους δι' ἀποστασίας ἀπὸ τὰ Μέγαρα.
226) Καὶ ἐκείνοις ὅσοι. 227) Ναῷ τῆς Ἥρας. 228) Ξενοδοχεῖον. 229) Εἰς τὸ φρούριον. 230) Ἑκατὸν ποδῶν μῆκος ἔχοντα. 231) Δημεύσαντες. 232) Ἐνοικίασαν.
233) Κατὰ πᾶσαν πιθανότητα. 234) Καὶ ἐν γένει, ἐντελῶς. 235) Τόσον ἐχθρικοὶ ἐφάνησαν. 236) Τότε ἀρχίζοντα τὸν Πελοπον. πόλεμον. 237) Ἀφ' ὅτου οἱ Πλαταιεῖς ἔγιναν σύμμαχοι τῶν Ἀθηναίων, συνεμάχησαν δὲ ἐν Ὀλ. 65, 6'. πρ. Χρ. 519.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΤ'. ΗΡΟΔΟΤΟΥ.

Ὁ Ἡρόδοτος, γεννηθεὶς τὸ 484 π. Χ. (Ὀλ. 94, ά.) ἐν Ἁλικαρνασσῷ τῆς Καρίας πόλει, κατοικουμένῃ ἀπὸ Δωριεῖς Ἕλληνας, θεωρεῖται ὡς ὁ πατὴρ τῆς Ἱστορίας, διότι περιηγηθεὶς πολλὰ μέρη τοῦ τότε γνωστοῦ κόσμου, ἔγραψεν ἀκριβῆ, γλαφυρὰν καὶ χαριεστάτην αὐτῶν ἱστορίαν εἰς ἐννέα βιβλία, τῶν ὁποίων μέρος ἀνέγνω εἰς τὴν πανήγυριν τῶν Ὀλυμπίων ἐνώπιον ὅλων τῶν Ἑλλήνων, μέρος δὲ μετέπειτα εἰς Ἀθήνας. Αἱ συγγραφαὶ τοῦ Ἡροδότου ἐκίνησαν τὸν θαυμασμὸν τῶν ἀρχαίων, οἵτινες ὠνόμασαν τὰ ἐννέα βιβλία του ἐννέα Μούσας. Ἂν δὲ καὶ Δωριεὺς ὁ ἴδιος, ἔγραψεν ὅμως εἰς τὴν τότε κοινοτέραν καὶ ἐντελεστέραν τῶν διαλέκτων τῆς Μικρᾶς Ἀσίας, τὴν Ἰωνικήν,

Σημ. Τῆς ὁποίας πρώτιστοι χαρακτῆρες εἶναι οἱ ἑξῆς: ά.) Ἡ χρῆσις τοῦ η ἀντὶ τοῦ α καὶ μάλιστα τοῦ καθαροῦ. β'.) Ἡ τροπὴ τῆς αυ εἰς ω ἢ ου. γ'.) Ἡ συνήθης χρῆσις τῶν ψιλῶν συμφώνων ἀντὶ πρὸ δασυνομένων φωνηέντων. δ'.) Ἡ μὴ ἀποφυγὴ τῆς χασμῳδίας. έ.) Τὸ ἀσυναίρετον τῶν ῥημάτων. ς'.) Ἡ διάλυσις τῶν διφθόγγων. ζ'.) Ἡ παραμέλησις τῆς χρονικῆς αὐξήσεως. ή.) Ὁ σχηματισμὸς εἰς εω τῆς εἰς ου γεν. τῆς ά. κλίσεως. θ'.) Ἡ προσθήκη τοῦ ι εἰς τὰς δοτικὰς τὰς ληγούσας εἰς αις καὶ οις. ί.) Ὁ σχηματισμὸς εἰς έων καὶ άων τῆς πληθ. γενικῆς. ιά.) Ἡ χρῆσις τῶν προτακτικῶν ἄρθρων ἀντὶ τῶν ὑποτακτικῶν. Περὶ διαλέκτων ἴδ. Κ. Β. Βιβλ. πρῶτον.

ΒΙΒΛΙΟΝ Η'. ΟΥΡΑΝΙΑ. (§. 40—97.)

Οἱ δὲ Ἑλλήνων ναυτικὸς στρατὸς ἀπὸ τοῦ Ἀρτεμισίου[1], Ἀθηναίων διηθέντων, ἐς Σαλαμῖνα κατίσχει[2] τὰς νῆας. Τῶνδε δὲ εἵνεκα[3] προσεδεήθησαν αὐτέων[4] σχεῖν πρὸς Σαλαμῖνα Ἀθηναῖοι, ἵνα αὐτοὶ παῖδάς τε καὶ γυναῖκας ὑπεξαγάγωνται ἐκ τῆς Ἀττικῆς, πρὸς δὲ καὶ βουλεύσωνται τὸ παιητέον αὐτοῖσι[5] ἔσται. Ἐπὶ γὰρ τοῖσι[6] κατήκουσι[7] πρήγμασι βουλὴν ἔμελλον ποιήσεσθαι, ὡς ἐψευσμένοι γνώμης[8]. Δοκεόντες[9] γὰρ εὑρήσειν Πελοποννησίους πανδημεὶ ἐν τῇ Βοιωτίῃ[10] ὑποκατημένους[11] τὸν βάρβαρον, τῶν[12] μὲν εὗρον οὐδὲν ἐὸν[13], οἱ δὲ[14] ἐπυνθάνοντο τὸν Ἰσθμὸν αὐτοὺς τειχέοντας[15], ἐς τὴν Πελοπόννησον περὶ πλείστου τε ποιευμένους[16] περιεῖναι[17], καὶ ταύτην[18] ἔχοντας ἐν φυλακῇ[19], τὰ δὲ ἄλλα ἀπιέναι[20]. Ταῦτα δὴ πυνθανόμενοι, οὕτω προσεδεήθησάν σφεων[21] σχεῖν πρὸς τὴν Σαλαμῖνα.

Οἱ μὲν δὴ ἄλλοι κατέσχον ἐς τὴν Σαλαμῖνα, Ἀθηναῖοι δὲ ἐς τὴν ἑωυτῶν[22]. Μετὰ δὲ τὴν ἄπιξιν[23], κήρυγμα ἐποιήσαντο ὁ Ἀθηναίων τῇ[24] τις δύ-

[1]) Ἀκρωτήριον τῆς Εὐβοίας ὅπου οἱ Ἕλληνες ἐνίκησαν τὸν στόλον τοῦ Ξέρξου.
[2]) Ἐκράτησεν, ἄραξε. [3]) Εἵνεκα=ἕνεκα. [4]) Λυτέων=αὐτῶν. [5]) Αὐτοῖσι=αὐτοῖς. [6]) Τοῖσι=τοῖς. [7]) Κατήκουσι=Καθήκουσι. [8]) Ὡς ἀπατηθέντες εἰς τὰς προσδοκίας των. [9]) Δοκοῦντες. [10]) Βοιωτίᾳ. [11]) Ὑποκαθημένους, ἐνεδρεύοντας.
[12]) Τῶν=τούτων. [13]) Ἐὸν=ὄν. Οὐδὲν τούτων ὄν, δηλ. τοὺς Πελοποννησίους οὐκ ἐνεδρεύοντας. [14]) Οἱ δὲ (Ἀθηναῖοι). Ἐννοεῖ. ἀντὶ δὲ τούτου. [15]) Τειχοῦντας, τειχίζοντας.
[16]) Ποιευμένους=Ποιουμένους. [17]) Νὰ σωθῶσιν αὐτοί, ἀδιαφοροῦντες δηλ. διὰ τοὺς ἄλλους. [18]) Τὴν χώραν. [19]) Φυλάττοντες. [20]) Ἀφιέναι. [21]) Σφέων, αὐτῶν τῶν Πελοποννησίων. [22]) Ἑαυτῶν γῆν. [23]) Ἄφιξιν. [24]) Τῇ, εἰς ὅποιον μέρος.

ναται, σώζειν τὰ τέκνα τε καὶ τοὺς οἰκέτας ». Ἐνθαῦτα οἱ μὲν πλεῖστοι ἐς Τροιζῆνα ἀπέστειλαν, οἱ δὲ ἐς Αἴγιναν, οἱ δὲ ἐς Σαλαμῖνα. Ἔσπευσαν δὴ ταῦτα[25] ὑπεκθέσθαι, τῷ χρηστηρίῳ βουλόμενοι ὑπηρετέειν[26], καὶ δὴ καὶ τοῦδε[27] εἵνεκα οὐκ[28] ἧκιστα· λέγουσι οἱ Ἀθηναῖοι, ὄφιν μέγαν φύλακα τῆς ἀκροπόλιος ἐνδιαιτέεσθαι[29] ἐν τῷ ἱρῷ[30]. Λέγουσί τε ταῦτα, καὶ δὴ καὶ ὡς ἐόντι ἐπιμηνίᾳ ἐπιτελέουσι προτιθέντες[31]· τὰ δ' ἐπιμήνια, μελιτόεσσά[32] ἐστι. Αὕτη δ' ἡ μελιτόεσσα, ἐν τῷ πρόσθεν αἰεὶ χρόνῳ ἀναισιμουμένη[33], τότε ἦν ἄφαυστος. Σημηνάσης δὲ ταῦτα τῆς ἱερείης[34], μᾶλλόν τι[35] οἱ Ἀθηναῖοι καὶ προθυμότερον ἐξέλιπον τὴν πόλιν, ὡς καὶ τῆς θεοῦ ἀπολελοιπυίης τὴν ἀκρόπολιν[36]. Ὡς δὲ σφι πάντα ὑπεξέκειτο[37], ἔπλωον[38] ἐς τὸ στρατόπεδον.

Ἐπεὶ δὲ οἱ ἀπ' Ἀρτεμισίου ἐς Σαλαμῖνα κατέσχον τὰς νέας[39], συνέῤῥεε καὶ ὁ λοιπὸς πυνθανόμενος[40] ὁ τῶν Ἑλλήνων ναυτικὸς στρατὸς ἐκ Τροιζῆνος· ἐς γὰρ Πώγωνα τὸν Τροιζηνίων λιμένα προείρητο συλλέγεσθαι. Συνελέχθησάν τε δὴ πολλῷ πλεῦνες νέες[41] ἢ ἐπ' Ἀρτεμισίῳ ἐναυμάχεον, καὶ ἀπὸ πολλῶν πλεύνων[42]. Ναύαρχος μέν νυν ἦν ὁ αὐτὸς[43] ὅσπερ ἐπ' Ἀρτεμισίῳ, Εὐρυβιάδης ὁ Εὐρυκλείδεω[44], ἀνὴρ Σπαρτιήτης[45], οὐ μέντοι γένεός[46] γε τοῦ βασιληΐου ἐών[47]· νέας[48] δὲ πολλῷ πλείστας τε καὶ ἄριστα πλωούσας[49] παρείχοντο Ἀθηναῖοι.

Ἐστρατεύοντο δὲ οἵδε· Ἐκ μὲν Πελοποννήσου, Λακεδαιμόνιοι, ἑκκαίδεκα νῆας παρεχόμενοι· Κορίνθιοι δέ, τὸ αὐτὸ πλήρωμα[50] παρεχόμενοι τὸ καὶ ἐπ' Ἀρτεμισίῳ· Σικυώνιοι δὲ, πεντεκαίδεκα παρείχοντο νῆας· Ἐπιδαύριοι δὲ, δέκα· Τροιζήνιοι δὲ, πέντε· Ἑρμιονέες[51] δὲ, τρεῖς.

Μεγαρέες δὲ τωὐτὸ[52] πλήρωμα παρείχοντο τό καὶ ἐπ' Ἀρτεμισίῳ· Ἀμπρακιῶται δὲ, ἑπτὰ νέας ἔχοντες ἐπεβώθησαν[53]. Λευκάδιοι δὲ τρεῖς.

Νησιωτέων[54] δὲ, Αἰγινῆται τριήκοντα[55] παρείχοντο. Ἔσαν[56] μέν σφι[57] καὶ ἄλλαι πεπληρωμέναι νέες, ἀλλὰ τῇσι[58] μὲν τὴν ἑωυτῶν[59] ἐφύλασσον, τριήκοντα δὲ τῇσι[60] ἄριστα πλωούσῃσι[61] ἐν Σαλαμῖνι ἐναυμάχησαν. Μετὰ δὲ Αἰγινήτας, Χαλκιδέες τὰς ἐπ' Ἀρτεμισίῳ εἴκοσι παρεχόμενοι[62], καὶ Ἐρετριέες τὰς ἑπτά· μετὰ δὲ, Κεῖοι τὰς αὐτὰς παρεχόμενοι. Νάξιοι δὲ παρείχοντο τέσσερας[63]· ἀποπεμφθέντες μὲν ἐς τοὺς Μήδους ὑπὸ τῶν πολιητέων[64],

---

25) Τὰ τέκνα κτλ. 26) Ὑπηρετεῖν, πείθεσθαι. 27) Τοῦ ἑπομένου. 28) Οὐχ.
29) Ἐνδιαιτεῖσθαι. 30) Ἱρῷ=ἱερῷ. Τὸ ἱερὸν τῆς Ἀκροπόλεως ἐννοεῖ τὸ Ἐρέχθειον, τὸ ὁποῖον ἦτον ὁ ἀρχαιότατος τῆς Ἀθηνᾶς ναός. 31) Ὄντι (ὑπάρχοντι αὐτῷ τῷ ὄφει) ἐπιτελοῦσι (προσφέρουσι) ἐπιμήνια, (δηλ. πλακοῦντας προσφερομένας κατὰ μῆνα) προτιθέντες αὐτά. 32) Πλακοῦς ζυμωμένος μὲ μέλι. 33) Ἀναλισκομένη, τρωγομένη. 34) Ἱρείης =ἱερείας. 35) Ἔτι μᾶλλον. 36) Ἐπειδὴ ὁ πλακοῦς ἔμενεν ἀνέπαφος, ὑπέθεσαν ὅτι ὁ ὄφις καὶ ἑπομένως καὶ ἡ Ἀθηνᾶ ἐγκατέλιπον τὴν Ἀκρόπολιν. 37) Ἐξεκομίσθησαν εἰς ἀσφαλὲς μέρος. 38) Ἐκ τοῦ πλόω, Ἰων. ἀντὶ πλέω. 39) Ναῦς. 40) Τοῦτο, ὅτι κατέσχον.
41) Πλεῦνες νέες=πλέονες νῆες. 42) Πολεων πλειόνων. 43) Ὁ αὐτὸς κατὰ συναίρ. 44) Εὐρυκλείδου. 45) Σπαρτιάτης. 46) Γένους. 47) Βασιλείου, βασιλικοῦ.
48) Ὧν. 49) Ἀριθμὸν πλοίων, τὸ μέρος τοῦ στόλου ὅσον αὐταὶ παρεῖχον. Λ. Σ. Εἶχον δὲ 40 ναῦς. 50) Ἑρμιονεῖς. 51) Τὸ αὐτό. 20 ναῦς. 52) Ἐπεβοήθησαν. 53) Νησιωτῶν.
54) Τριάκοντα. 55) Ἦσαν. 56) Αὐτοῖς. 57) Ταύταις. 58) Τὴν ἑαυτῶν γῆν. 59) Ταῖς.
60) Πλεούσαις. 61) Ἦσαν. 62) Τέσσερας=τέσσαρας. 63) Πολιτῶν. Εἰς πολλὰς λέξεις Ἰων. τὸ η πλεονάζει. Κ. § 528, ἑ. 2). Ὑπὸ τῶν συμπολιτῶν των ἐπέμφθησαν πρὸς τοὺς Μήδους, διότι οἱ νησιῶται φοβηθέντες τὴν δύναμιν τοῦ Ξέρξου ὑπετάγησαν εἰς αὐτόν.

καπάπερ ἄλλοι[63] νησιῶται· ἁλογήσαντες δὲ τῶν ἐντολέων[65], ἀπίκατο[66] ἐς τοὺς Ἕλληνας, Δημοκρίτου σπεύσαντος[67], ἀνδρὸς τῶν ἀστῶν δοκίμου, καὶ τότε τριηραρχέοντος[68]. Στυρέες δὲ τὰς αὐτὰς παρείχοντο νῆας τὰς καὶ ἐπ' Ἀρτεμισίῳ[69]. Κύθνιοι δὲ, μίαν καὶ πεντηκόντερον[70]. Καὶ Σεριφιοί τε καὶ Σίφνιοι καὶ Μήλιοι ἐστρατεύοντο· οὗτοι γὰρ οὐκ ἔδοσαν μοῦνοι νησιωτέων[71], τῷ βαρβάρῳ γῆν τε καὶ ὕδωρ[72].

Οὗτοι μὲν ἅπαντες ἐντὸς οἰκημένοι[73] Θεσπρωτῶν καὶ Ἀχέροντος[74] ποταμοῦ, ἐστρατεύοντο· Θεσπρωτοὶ γάρ εἰσι ὁμουρέοντες[75] Ἀμπρακιώτῃσι καὶ Λευκαδίοισι[76], οἳ ἐξ ἐσχατέων χωρέων[77] ἐστρατεύοντο. Τῶν δὲ ἐκτὸς τουτέων[78] οἰκημένων, Κροτωνιῆται[79] μοῦνοι ἔσαν οἳ ἐβώθησαν[80] τῇ Ἑλλάδι κινδυνευούσῃ, νηῒ μιῇ[81] τῆς[82] ἦρχε ἀνὴρ τρὶς πυθιονίκης[83], Φάϋλλος.

Οἱ μέν νυν[84] ἄλλοι τριήρεας[85] παρεχόμενοι ἐστρατεύοντο· Μήλιοι δὲ, καὶ Σίφνιοι, καὶ Σεριφιοι, μίαν ἑκάτεροι. Ἀριθμὸς δὲ ἐγένετο ὁ πᾶς τῶν νεῶν, πάρεξ τῶν πεντηκοντέρων, τριηκόσιαι[86] καὶ ἑβδομήκοντα καὶ ὀκτώ.

Ὡς δὲ ἐς τὴν Σαλαμῖνα συνέλθον οἱ στρατηγοὶ ἀπὸ τῶν εἰρημένων πολίων[60], ἐβουλεύοντο, προβάντος Εὐρυβιάδεω[87], γνώμην ἀποφαίνεσθαι τὸν βουλόμενον, ὅκου[88] δοκέοι ἐπιτηδειότατον[89] εἶναι ναυμαχίην ποιέεσθαι τῶν αὐτοὶ χωρέων ἐγκρατέες εἰσί[90]. Ἡ μὲν γὰρ Ἀττικὴ ἀφεῖτο ἤδη, τῶν δὲ λοιπέων[91] περὶ προετίθεε[92]. Αἱ γνῶμαι δὲ τῶν λεγόντων αἱ πλεῖσται συνεξέπιπτον, πρὸς τὸν Ἰσθμὸν πλώσαντας[93] ναυμαχέειν πρὸ τῆς Πελοποννήσου· ἐπιλέγοντες τὸν λόγον τόνδε· « Ὡς, ἢν νικηθέωσι τῇ ναυμαχίῃ, ἐν Σαλαμῖνι μὲν ἐόντες πολιορκήσονται ἐν νήσῳ, ἵνα σφι[94] τιμωρίη[95] οὐδεμίη ἐπιφανήσεται· πρὸς δὲ τῷ Ἰσθμῷ, ἐς τοὺς ἑωυτῶν ἑξοίσονται[96] ».

Ταῦτα τῶν ἀπὸ Πελοποννήσου στρατηγῶν ἐπιλεγομένων[97], ἐλήλυθε ἀνὴρ[98] Ἀθηναῖος, ἀγγέλων ἥκειν τὸν βάρβαρον ἐς τὴν Ἀττικὴν, καὶ πᾶσαν αὐτὴν πυρπολέεσθαι. Ὁ γὰρ διὰ Βοιωτῶν τραπόμενος στρατὸς ἅμα Ξέρξῃ, ἐμπρήσας Θεσπιέων τὴν πόλιν[99], αὐτέων ἐκλελοιπότων ἐς Πελοπόννησον[100], καὶ

---

63) Οἱ ἄλλοι. 65) Ἐντολῶν. 66) Ἀφίκατο, γ'. πληθ. πρόσ. τοῦ ὑπερσυντελ. τοῦ Ἀφικνοῦμαι. 67) Παρακινήσαντος. 68) Τριηραρχοῦντος. 69) 2 Νῆας. Στυρεῖς οἱ κατοικοῦντες τὰ ἐν Εὐβοίᾳ Στύρα. 70) Πεντηκόντερον, συνηθέστ. πεντηκοντορον. Ἐννοεῖ δὲ μίαν τριήρη, πλοῖον μὲ τρεῖς ἐπαλλήλους σειρὰς κωπῶν, καὶ μίαν πεντηκόντορον, ναῦν μὲ μίαν σειρὰν πεντήκοντα κωπῶν. 71) Μόνοι νησιωτῶν, ἐξ ὅλων τῶν νησιωτῶν. 72) Ὅταν ἤθελε νὰ ἐκστρατεύσῃ ὁ Ξέρξης ἔστειλε καὶ ἐζήτησε γῆν καὶ ὕδωρ ἀπὸ τὰς Ἑλλ. πόλεις εἰς σημεῖον ὑποταγῆς, καὶ αἱ μικρότεραι ἔδοσαν ἅλατ ἀπὸ φόβον. 73) Κατοικοῦντες ἐντὸς, δηλ. πρὸς τὴν Ἑλλάδα ἢ μεσημβρινῶς. 74) Ποταμὸς τῆς Ἠπείρου, τὴν σήμερον Μαυρονέρι. Ἡ μυθολογία τὸν ἐθεώρει ὡς ποταμὸν τοῦ ᾍδου. 75) Ὁμορροῦντες. 76) Ἀμπρακιώταις καὶ Λευκαδίοις. 77) Ἐξ ἐσχάτων χωρῶν, δηλ. ἦσαν οἱ κατοικοῦντες τὰς ἀρκτικωτάτας χώρας μεταξὺ τῶν στρατευομένων. 78) Τούτων. 79) Κροτωνιᾶται ἐκ τῆς Κρότωνος πόλεως τῆς κάτω Ἰταλίας. 80) Μέφ. 81) Ἧς. 82) Τρὶς νικήσας εἰς τοὺς Δελφικοὺς ἀγῶνας. 83) Οὖν. 84) Τριήρεις. 85) Τριακόσιαι. 86) Πόλεων. 87) Εὐρυβιάδου. Τοὐντεῦθεν δὲν θέλομεν σημειώνει τοὺς κοινοὺς Ἰωνισμούς, ὅσοι ὑπάγονται εἰς τοὺς ἄνω ἐκτεθέντας κανόνας. 88) Ὅπου. 89) Ἐπιτηδειότατον. 90) Ὅπου τῶν χωρέων τῶν (ὧν) αὐτοὶ ἔχρ. εἶσι δοκέοι ἐπιτ. εἶναι ναυμ. ποιέεσθαι. 91) Χωρῶν. 92) Ἐκ τοῦ Προτιθέω. Ὁ Εὐρ. προετίθες βουλεύεσθαι. 93) Ὅπου αὐτοῖς. 94) Βοήθεια. 95) Θέλουσιν ἐξέλθει πρὸς τοὺς συμπατριώτας των. 96) Μέσ. ἀντὶ Ἐπιλεγόντων. 97) Χασμῳδία Ἰωνικὴ ἀντὶ, ἐλήλυθεν ἀνήρ. 98) Πόλις δυτικῶς τῶν Θηβῶν, τὴν σήμερον Ἐρημόκαστρον. 99) Αὐτῶν (τῶν Θεσπιέων) ἐκλελοιπότων (τὴν πόλιν) καὶ πεφευγότων ἐς Πελόπ.

τὴν Πλαταιέων ὡσαύτως, ἦκέ τε ἐς τὰς Ἀθήνας, καὶ πάντα ἐκεῖνα[100] ἐδήϊου. Ἐνέπρησε δὲ Θέσπειάν τε καὶ Πλάταιαν[101], πυθόμενος Θηβαίων[102], ὅτι οὐκ ἐμήδιζον.

50. Ἀπὸ δὲ τῆς διαβάσιος[103] τοῦ Ἑλλησπόντου, ἔνθεν παρεύεσθαι ἤρξαντο οἱ βάρβαροι, ἕνα αὐτοῦ[104] διατρίψαντες μῆνα, ἐν τῷ[105] διέβαινον ἐς τὴν Εὐρώπην, ἐν τρισὶ ἑτέροισι μησὶ ἐγένοντο ἐν τῇ Ἀττικῇ, Καλλιάδεω ἄρχοντος[106] Ἀθηναίοισι. Καὶ αἱρέουσι ἐρῆμον τὸ ἄστυ, καὶ τινας ὀλίγους εὑρίσκουσι τῶν Ἀθηναίων ἐν τῷ ἱρῷ[107] ἐόντας, ταμίας τε τοῦ ἱροῦ[108], καὶ πένητας ἀνθρώπους· οἱ φραξάμενοι τὴν ἀκρόπολιν θύρησί τε καὶ ξύλοισι, ἠμύνοντο τοὺς ἐπιόντας· ἅμα μὲν ὑπ' ἀσθενίης βίου[109] οὐκ ἐκχωρήσαντες ἐς Σαλαμῖνα, πρὸς δὲ αὐτοὶ δοκέοντες ἐξευρηκέναι τὸ μαντήϊον[110] τὸ[111] ἡ Πυθίη σφι ἔχρησε[112] « Τὸ ξύλινον τεῖχος ἀνάλωτον ἔσεσθαι[113] », αὐτὸ δὴ τοῦτο εἶναι τὸ κρησφύγετον κατὰ τὸ μαντήϊον καὶ οὐ τὰς νῆας.

51. Οἱ δὲ Πέρσαι, ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον, τὸν Ἀθηναῖοι καλέουσι Ἀρήϊον[114] πάγον, ἐπολιόρκεον τρόπον τοιόνδε· ὅκως σύπειον περὶ τοὺς ὀϊστοὺς περιθέντες ἅψειαν[115], ἐτόξευον ἐς τὸ φράγμα. Ἐνθαῦτα Ἀθηναίων οἱ πολιορκεόμενοι ὅμως ἠμύνοντο, καίπερ ἐς τὸ ἔσχατον κακοῦ ἀπιγμένοι, καὶ τοῦ φράγματος προδεδωκότος[116]· οὐδὲ λόγους τῶν Πεισιστρατιδέων[117] προσφερόντων περὶ ὁμολογίης ἐνεδέκοντο. Ἀμυνόμενοι δὲ, ἄλλα τε ἀντεμηχανέοντο, καὶ δὴ καὶ προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας, ὁλοιτρόχους[118] ἀπίεσαν[119]· ὥστε Ξέρξεα ἐπὶ χρόνον συχνὸν ἀπορίῃσι ἐνέχεσθαι[120], οὐ δυνάμενόν σφεας[121] ἑλεῖν.

52. Χρόνῳ δ' ἐκ τῶν ἀπόρων[122] ἐφάνη δή τις ἔσοδος τοῖσι βαρβάροισι· ἔδεε[123] γὰρ κατὰ τὸ θεοπρόπιον πᾶσαν τὴν Ἀττικὴν τὴν ἐν τῇ ἠπείρῳ γενέσθαι ὑπὸ Πέρσῃσι. Ἔμπροσθε ὦν[85] πρὸ τῆς ἀκροπόλιος[124], ὄπισθε δὲ τῶν πυλέων καὶ τῆς ἀνόδου, τῇ[125] δὴ οὔτε τις ἐφύλασσε, οὔτ' ἂν ἤλπισε μή κοτέ[126] τις κατὰ ταῦτα ἀναβαίη ἀνθρώπων, ταύτῃ ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν[127] τῆς Κέκροπος θυγατρὸς Ἀγλαύρου[128], καίτοι περ ἀποκρήμνου ἐόντος τοῦ χώρου. Ὡς δὲ εἶδον αὐτοὺς ἀναβεβηκότας οἱ Ἀθηναῖοι ἐπὶ τὴν ἀκρόπολιν, οἱ μὲν ἐρρίπτεον[129] ἑωυτοὺς κατὰ τοῦ τείχεος κάτω, καὶ διεφθείροντο, οἱ δὲ ἐς τὸ μέγαρον κατέφευγον. Τῶν δὲ Περσέων οἱ ἀναβεβηκότες, πρῶτον μὲν ἐτρά-

---

100) Τὰ ἐκεῖσε χωρία. 101) Συνηθ. Θεσπιὰς ἡ Πλαταιάς· ἴδομεν ὅτι Πλάταιαν τὴν ὀνομάζει καὶ ὁ Θουκυδ. 102) Παρὰ Θηβαίων. 103) Διαβάσεως. Κ. Σ. 342. 104) Ἐκεῖ. 105) Ἐν ᾧ. 106) Ἔχοντος τὴν ἐπέτειον ἀρχὴν· ἐν ἔτει 480 π. Χ. Ὀλ. 75, ά. 107) Ἐν τῷ Ἐρεχθείῳ ἢ ναῷ τῆς Πολιάδος Ἀθηνᾶς. 108) Ταμιεύοντας τὰ πολυτελῆ ἀφιερώματα καὶ τὴν περιουσίαν τοῦ ναοῦ. 109) Πενίας. Οὕτως ἀλλαχοῦ. » Οἱ δὲ πένητες ὑπ' ἀσθενείας τοῦ βίου. » Β, 47. διότι βίος εἶναι ἡ περιουσία, τὸ βιός. 110) Τὸ μαντεῖον, τὸν χρησμὸν, δηλ. τὴν ἔννοιαν τοῦ χρ. 111) Ὃ. 112) Αὐτοῖς. 113) Ἰδ. Πλούτ. Κίμ. Τόμ. Β'. 114) Ἄρειον. 115) Ἁφοῦ (ὅκως=ὅπως) περιθέντες περὶ τοὺς ὀϊστοὺς στυππεῖον ἅψειαν τοῦτο. 116) Τοὺς ἐπρόδοσε, δηλ. τοὺς κατήντησεν ἄχρηστον, ἐχάλασεν. 117) Ὃ εἶδε τοῦ Πεισιστράτου Ἱππίας συνώδευε τὸν Ξέρξην. 118) Μεγάλας καὶ εὐκυκλίστους πέτρας. Α. Σ. 119) Ἀφίεσαν. 120) Εὑρίσκετο εἰς ἀπορίαν, ἀμηχανίαν. 121) Ἐκ τῆς ἀπορίας, ἐνῷ ἦσαν εἰς ἀμηχανίαν. 122) Ἔδει, ἦτον ἀναγκαῖον διὰ νὰ πληρωθῇ ὁ χρησμός. 123) Κ. Σ. 342. 124) Ὅπου. 125) Οὔτ' ἂν ἤλπισέ τις μή ποτέ τις. 126) Ἱερόν. 127) Τὸ ἱερὸν τῆς θυγατρὸς ταύτης τοῦ Κέκροπος ἦτον εἰς τὸ πλάγι τῶν προπυλαίων ἀρκτικῶς. 128) Ῥητέω, Ἀττ. ἀντὶ Ῥίπτω. 129) Τὸν ναὸν τῆς Ἀθηνᾶς.

παντο πρὸς τὰς πύλας· ταύτας δὲ ἀνοίξαντες, τοὺς ἱκέτας[150] ἐφόνευον· ἐπεὶ δὲ σφι[152] πάντες κατέστρωντο[151], τὸ ἱρὸν συλήσαντες, ἐνέπρησαν πᾶσαν τὴν ἀκρόπολιν.

Σχὼν δὲ παντελέως τὰς Ἀθήνας Ξέρξης, ἀπέπεμψε ἐς Σοῦσα[153] ἄγγελον ἱππέα, Ἀρταβάνῳ[155] ἀγγελέοντα τὴν παρεοῦσάν[154] σφι εὐπρηξίην. Ἀπὰ δὲ τῆς πέμψιος[156] τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ συγκαλέσας Ἀθηναίων τοὺς φυγάδας, ἐωυτῷ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ[156], ἀναβάντας ἐς τὴν Ἀκρόπολιν. Οἱ δὲ φυγάδες τῶν Ἀθηναίων ἐποίησαν τὰ ἐντεταλμένα.

Τοῦ[158] δὲ εἵνεκεν τουτέων ἐπεμνήσθην, φράσω. Ἔστι ἐν τῇ ἀκροπόλι[156] ταύτῃ Ἐρεχθῆος[156] τοῦ γηγενέος λεγομένου εἶναι[157] νηός, ἐν τῷ[158] ἐλαίη τε καὶ θάλασσα ἔνι[159]· τὰ[160] λόγος παρ' Ἀθηναίων[161] Ποσειδέωνά τε καὶ Ἀθηναίην, ἐρίσαντας περὶ τῆς χώρης, μαρτύρια[162] θέσθαι. Ταύτην ὦν[85] τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ[156] κατέλαβε[157] ἐμπρησθῆναι[165] ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος[163], Ἀθηναῖοι οἱ θύειν ὑπὸ βασιλῆος[156] κελευόμενοι, ὡς ἀνέβησαν ἐς τὸ ἱρόν, ὥρων[164] βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε[165] πηχυαῖον ἀναδεδραμηκότα. Οὗτοι μέν νυν ταῦτα ἔφασαν.

Οἱ δὲ ἐν Σαλαμῖνι Ἕλληνες, ὡς σφι ἐξαγγέλθη[156] ὡς ἔσχε[157] τὰ περὶ τὴν Ἀθηναίων ἀκρόπολιν, ἐς τοσοῦτον θόρυβον ἀπίκοντο, ὥστε ἔνιοι τῶν στρατηγῶν οὐδὲ κυρωθῆναι ἐμενον τὸ προκείμενον πρῆγμα[168] ἀλλ' ἔς τε τὰς νῆας ἐσέπιπτον, καὶ ἵστια ἀείροντο[170] ὡς ἀποθευσόμενοι[150]· τοῖσί τε ὑπολειπομένοισι αὐτέων ἐκυρώθη πρὸ τοῦ Ἰσθμοῦ ναυμαχέειν. Νύξ τε ἐγίνετο, καὶ οἱ[171], διαλυθέντες ἐκ τοῦ συνεδρίου, ἐσέβαινον εἰς τὰς νῆας.

Ἐνθαῦτα δὴ Θεμιστοκλῆα[172] ἀπικόμενον ἐπὶ τὴν νῆα, ἔρετο Μνησίφιλος, ἀνὴρ Ἀθηναῖος, ὅτι σφι εἴη βεβουλευμένον[173]. Πυθόμενος δὲ πρὸς[174] αὐτοῦ ὡς εἴη δεδογμένον ἀνάγειν τὰς νῆας πρὸς τὸν Ἰσθμὸν καὶ πρὸ τῆς Πελοποννήσου ναυμαχέειν, εἶπε· « Οὕτοι ἄρα ἦν ἀπαίρωσι τὰς νῆας ἀπὸ Σα-» λαμῖνος, περὶ οὐδεμιῆς ἔτι πατρίδος ναυμαχήσεις[175]. Κατὰ γὰρ πόλις[176] » ἕκαστοι τρέψονται· καὶ οὔτε σφέας[156] Εὐρυβιάδης κατέχειν δυνήσεται, » οὔτε τις ἀνθρώπων ἄλλος, ὥστε μὴ οὐ διασκεδασθῆναι[177] τὴν στρατιήν·

---

150) Τοὺς καταφυγόντας εἰς τὸν ναόν. 151) Ὅλοι (οἱ Ἀθηναῖοι) ἐχρώθησαν (ἐφανεύθησαν) ὑπ' αὐτῶν (τῶν Περσῶν). 152) Πόλιν τῆς Περσίας. 153) Θεῖος τοῦ Ξέρξη, εἰς ὃν εἶχεν ἀφήσει τὴν διοίκησιν τοῦ βασιλείου. 154) Παροῦσαν. 155) Τίνος. 156) Κ. §. 544. 157) Ἐρεχθέως τοῦ λεγομένου εἶναι γηγενέος, ὅτι ἐγεννήθη ἀπὸ τὴν γῆν. 158) Ὧ. 159) Ἔνεσι. Ὁ ναὸς οὗτος ἦτον ὑποδιαίρεσις τοῦ τῆς Πολιάδος Ἀθηνᾶς, ἢ ἴσως πρὶν καῇ χωρισμένος ἀπὸ αὐτόν, ἀλλὰ πλησιάζων. Θάλασσα δὲ ἐκαλεῖτο ἓν φρέαρ ἐν αὐτῷ, τὸ ὁποῖον ἔλεγον ὅτι περιεῖχε θαλάσσιον ὕδωρ. 160) Ἃ τὴν θάλ. καὶ τὴν ἐλαίαν. 161) Λόγος ἦν, ἐλέγετο παρ' Ἀθ. 162) Μαρτύρια τῆς δυνάμεώς των. Ὁ Ποσειδῶν ᾧ ἡ Ἀθηνᾶ ἐφιλονείκησαν εἰς τίνα ἀνῆκεν ἡ Ἀττική, ᾧ ἀπεφασίσθη νὰ δοθῇ αὕτη εἰς ὅποιον ἤθελε τῇ δώσει τὸ ὠφελιμώτερον δῶρον. Ὁ Ποσειδῶν ἔδωσε τὸ φρέαρ τοῦτο, ἡ δὲ Ἀθηνᾶ τὴν ἐλαίαν, καὶ ἡ νίκη ἀπεδόθη εἰς αὐτήν. 163) Τὸ ἐμπρησθῆναι κατέλαβε ταύτην. 164) Ὥρων. 165) Περίπου. 166) Ἀναύξητον. Ἰων. 167) Πῶς ἔγινον. 168) Νὰ ἐπικυρωθῇ ἡ περὶ τοῦ πρακτέου ἀπόφασις. 169) Ἀείρω, Ἰων. ἀντὶ αἴρω. 170) Μέλλων τοῦ Ἀποθέω (ἀποτρέχω, φεύγω), ὡς τὸ πλεύσω ἐκ τοῦ πλέω. 171) Οὗτοι. 172) Θεμιστοκλέα. 173) Τί ἐβουλεύθησαν. 174) Παρά. 175) Δὲν θέλει μείνει πατρὶς ὑπὲρ τῆς ὁποίας νὰ ναυμαχήσῃς, διότι οἱ λοιποὶ θὰ διασκορπισθῶσι ᾧ ἡ Ἑλλὰς θὰ δουλωθῇ. 176) Αὐτούς. 177) Ἡ διπλῆ ἄρνησις ἀντὶ ἁπλῆς, κυρίως ὅτε προηγεῖται ἄλλη ἄρνησις.

» ἀπολέσταί τε ἡ Ἑλλὰς ἀβουλίῃσι[158]. Ἀλλ' εἴ τις ἐστὶ μηχανὴ[159], ἴθι καὶ
» πειρῶ διαχέαι[160] τὰ βεβουλευμένα, ἢν κως[161] δύνῃ ἀναγνῶσαι[162] Εὐρυβιά-
» δεα μεταβουλεύσασθαι, ὥστε αὐτοῦ μενέειν. »

57 Κάρτα[163] δὴ τῷ Θεμιστοκλέϊ ἤρεσε ἡ ὑποθήκη[164]· καὶ οὐδὲν πρὸς ταῦτα
ἀμειψάμενος[165], ἦιε ἐπὶ τὴν νῆα τὴν Εὐρυβιάδεω. Ἀπικόμενος δὲ, ἔφη θέλειν
οἱ[166] κοινόν[167] τι πρῆγμα συμμίξαι[168]. Ὁ δ' αὐτὸν ἐς τὴν νῆα ἐκέλευε ἐσ-
βάντα λέγειν εἴ τι θέλει. Ἐνθαῦτα ὁ Θεμιστοκλέης παριζόμενός οἱ[169] κατα-
λέγει κεῖνά[170] τε πάντα τὰ[170] ἤκουσε Μνησιφίλου, ἑωυτοῦ προειρύμενος[171],
καὶ ἄλλα πολλὰ προστιθείς, ἐς ὃ ἀνέγνωσε χρῄζων[172] ἔκ τε τῆς νηὸς ἐκ-
βῆναι, συλλέξαί τε τοὺς στρατηγοὺς ἐς τὸ συνέδριον.

58 Ὡς δὲ ἅρα συνελέχθησαν, πρὶν ἢ τὸν Εὐρυβιάδην προθεῖναι τὸν λόγον,
τῶν[5] εἵνεκα[173] συνήγαγε τοὺς στρατηγούς, πολὺς ἦν ὁ Θεμιστοκλέης ἐν
τοῖσι λόγοισι[174], οἷα κάρτα δεόμενος. Λέγοντος δὲ αὐτοῦ, ὁ Κορίνθιος στρα-
τηγὸς Ἀδείμαντος ὁ Ὠκύτου εἶπε· » Ὦ Θεμιστόκλεες, ἐν τοῖσι ἀγῶσι οἱ
» προεξαναστάμενοι ῥαπίζονται[175]. » Ὁ δὲ, ἀπολυόμενος[176], ἔφη· » Οἱ δέ
» γε ἐγκαταλειπόμενοι[177] οὐ στεφανεῦνται ».

59 Τότε μὲν ἠπίως πρὸς τὸν Κορίνθιον ἀμείψατο[178]. Πρὸς δὲ τὸν Εὐρυβιά-
δεα ἔλεγε ἐκείνων μὲν οὐκέτι οὐδὲν τῶν πρότερον λεχθέντων, ὡς ἐπεὰν[179]
ἀπαίρωσι ἀπὸ Σαλαμῖνος διαῤῥήσσοντα. Παρεόντων γὰρ τῶν συμμάχων οὐκ
ἔφερέ οἱ[166] κόσμον οὐδένα[179] κατηγορέειν· ὁ δὲ ἄλλου λόγου εἴχετο[180],
λέγων τάδε· » Ἐν σοὶ νῦν ἐστι σῶσαι τὴν Ἑλλάδα, ἢν ἐμοὶ πείθῃ νυ-
» μαχίην αὐτοῦ μένων ποιέεσθαι, μηδὲ, πειθόμενος τουτέων τοῖσι λέγουσι,
» ἀναζεύξῃς[181] πρὸς τὸν Ἰσθμὸν τὰς νῆας. Ἀντίθες γὰρ ἑκάτερον[182], ἀκούσας.
» Πρὸς μὲν τῷ Ἰσθμῷ συμβάλλων, ἐν πελάγεϊ ἀναπεπταμένῳ[183] ναυμα-
» χήσεις, ἐς ὃ ἥκιστα ἡμῖν σύμφορόν ἐστι, νῆας ἔχουσι βαρυτέρας, καὶ
» ἀριθμὸν ἐλάσσονας. Τοῦτο δὲ[184], ἀπολέεις Σαλαμῖνά τε καὶ Μέγαρα καὶ
» Αἴγιναν, ἥνπερ καὶ τὰ ἄλλα[185] εὐτυχήσωμεν. Ἅμα γὰρ τῷ ναυτικῷ
» αὐτέων[186] ἕψεται καὶ ὁ πεζὸς στρατός· καὶ οὕτω σφέας[159] αὐτοὺς ἄξεις
» ἐπὶ τὴν Πελοπόννησον, κινδυνεύσεις[187] τε ἁπάσῃ τῇ Ἑλλάδι. Ἢν δὲ τὰ[170]
» ἐγὼ λέγω ποιήσῃς, τοσάδε[188] ἐν αὐτοῖσι χρηστὰ εὑρήσεις. Πρῶτα μὲν[189]
» ἐν στεινῷ[190] συμβάλλοντες νηυσὶ ὀλίγῃσι πρὸς πολλὰς, ἢν τὰ οἰκότα
» ἐκ τοῦ πολέμου ἐκβαίνῃ, πολλὸν κρατήσομεν[191]. Τὸ γὰρ ἐν στεινῷ ναυ-

---

158) Ἀβουλίαις, διὰ τῶν ἀβουλιῶν τῶν ἀρχηγῶν. 159) Τρόπος. 160) Συγχέαι, ν' ἀναιρεθῇς. 161) Πῶς. 162) Πεῖσαι. Οὕτω καὶ » τὴν Πυθίαν ἀνέγνωσε λέγειν, Δ, 86.
163) Δίαν, κράτιστα, κατὰ μετάθ. Κ. §. 350, ά. 164) Συμβουλή. Α. Σ. 165) Ἀποκριθείς. 166) Αὐτῷ. 167) Περὶ κοινῆς ὑποθέσεως. 168) Κοινῶσαι. 169) Ἐκεῖνα.
170) Ἃ. 171) Κοινοποιῶν αὐτὰ ὡς ἰδικά του ἰδέας. 172) Ἔπεισεν ἀπαιτῶν.
173) Περὶ ἐκείνων ὧν. 174) Πολλὰ εἶπε. 175) Εἰς τοὺς δημοσίους ἀγῶνας, ὅσοι ἐγείροντο εἰς τὸ στάδιον πρὶν δοθῇ τὸ σημεῖον, ἐῤῥαπίζοντο. 176) Ἀπολυόμενος (ἑαυτὸν τῆς αἰτίας), ἀπολογούμενος· ἀλλ' ἐδὼ μᾶλλον, ἀντικρούων. 177) Οἱ μένοντες ὄπισω εἰς τὸ στάδιον. 178) Ἐπεὶ ἄν, ἐπειδάν. 179) Δὲν ἦτον κόσμιον, πρόσηκον. 180) Ἄλλον λόγον ἔπιασε, ἄλλην εὗρεν ὑπόθεσιν λόγου. 181) Σηκώσῃς, μεταφέρῃς. Ἀναζεύξαντες πάντα τὸν στρατόν. Θ'. 41. 182) Ἀντιπαράθες ἑκάτερον τῶν λόγων. 183) Ἀνοικτῷ, εὐρεῖ.
184) Τοῦτο δὲ, δεύτερον δὲ, προϋποθέτει τοῦτο μέν. Ἀλλὰ συνεχῶς, ὡς ἐδῶ, τίθεται μόνον μέν. 185) Κατὰ τὰ ἄλλα. 186) Τῶν Περσῶν. 187) Θέλεις φέρει κίνδυνον.
188) Τὰ ἑξῆς. 189) Πρῶτον μέν. 190) Στενῷ. 191) Πολὺ κρείττονες εὑρισκόμεθα. Οὕτω,

» μαχέειν, πρὸς ἡμέων ἐστί[192]· ἐν εὐρυχωρίῃ δὲ, πρὸς ἐκείνων[193]. Αὖτις[194] » δὲ Σαλαμὶς περιγίνεται, ἐς τὴν[195] ἡμῖν ὑπέκκειται τέκνα τε καὶ γυ» ναῖκες. Καὶ μὴν καὶ τόδε ἐν αὐτοῖσι[196] ἔνεστι, τοῦ[197] καὶ περιέχεσθε[198] » μάλιστα· ὁμοίως αὐτοῦ τε μένων, προναυμαχήσεις Πελοποννήσου, καὶ » πρὸς τῷ Ἰσθμῷ· οὐδὲ σφέας[199], εἴπερ εὖ φρονέεις, ἄξεις ἐπὶ τὴν Πελο» πόννησον. Ἢν δέ γε καὶ τὰ[200] ἐγὼ ἐλπίζω γένηται, καὶ νικήσωμεν τῇσι » νηυσὶ, οὔτε ὑμῖν ἐς τὸν Ἰσθμὸν παρέσονται οἱ βάρβαροι, οὔτε προβή» σονται ἑκαστέρω[201] τῆς Ἀττικῆς, ἀπίασί[202] τε οὐδενὶ κόσμῳ[203], Μεγά» ροισί τε κερδανέομεν[204] περιεοῦσι, καὶ Αἰγίνῃ, καὶ Σαλαμῖνι, ἐν τῇ ἡμῖν » καὶ λόγιόν[205] ἐστι τῶν ἐχθρῶν κατύπερθε[206] γενέσθαι. Οἰκότα[207] μέν νυν » βουλευομένοισι ἀνθρώποισι, ὡς τὸ ἐπίπαν[208] ἐθέλει γίνεσθαι· μὴ δὲ οἰ» κότα βουλευομένοισι[209], οὐκ ἐθέλει οὐδὲ ὁ θεὸς προσχωρέειν πρὸς τὰς » ἀνθρωπηΐας γνώμας. »

Ταῦτα λέγοντος Θεμιστοκλέους, αὖτις[210] ὁ Κορίνθιος Ἀδείμαντος ἐπεμέφερετο[211], σιγᾶν τε κελεύων τῷ μὴ ἔστι[212] πατρὶς, καὶ Εὐρυβιάδεα οὐκ ἐῶν ἐπιψηφίζειν[213] ἄπολι[214] ἀνδρὶ· πόλιν γὰρ τὸν Θεμιστοκλῆα παρεχόμενον[215], οὕτω ἐκέλευε γνώμας συμβάλλεσθαι. Ταῦτα δέ οἱ[216] προέφερε, ὅτι ἡλώκεσάν τε καὶ κατείχοντο αἱ Ἀθῆναι. Τότε δὴ ὁ Θεμιστοκλέης κεῖνόν[217] τε καὶ τοὺς Κορινθίους πολλά τε καὶ κακὰ ἔλεγε· ἑωυτοῖσί[218] τε ἐδήλου λόγῳ ὡς εἴη καὶ πόλις[219] καὶ γῆ μέζων[220] ἤπερ κείνοισι, ἔστ' ἂν[221] δι» κόσιαι νῆες σφι ἔωσι πεπληρωμέναι· οὐδαμοὺς γὰρ Ἑλλήνων[222] αὐτοὺς ἐπι» όντας ἀποκρούσεσθαι.

Σημαίνων δὲ ταῦτα τῷ λόγῳ, διέβαινε ἐς Εὐρυβιάδεα, λέγων μᾶλλον ἐπεστραμμένα[223]. « Σὺ εἰ μενέεις[224] αὐτοῦ, καὶ μένων ἔσεαι ἀνὴρ ἀγα» θός[225]. — εἰ δὲ μὴ, ἀνατρέψεις[226] τὴν Ἑλλάδα. Τὸ πᾶν γὰρ ἡμῖν τοῦ πο» λέμου[227] φέρουσι αἱ νῆες· ἀλλ' ἐμοὶ πείθεο. Εἰ δὲ ταῦτα μὴ ποιήσεις, » ἡμεῖς μὲν, ὡς ἔχομεν[228], ἀναλαβόντες τοὺς οἰκέτας, κομιεύμεθα[229] ἐς » Σίριν[230] τὴν ἐν Ἰταλίῃ, ἥπερ ἡμετέρη[231] τέ ἐστι ἐκ παλαιοῦ ἔτι, καὶ τὰ » λόγια[232] λέγει, ὑπ' ἡμέων αὐτὴν δέειν κτισθῆναι. Ὑμεῖς δὲ, συμμάχων » τοιῶνδε μουνωθέντες[233], μεμνήσεσθε τῶν ἐμῶν λόγων ».

» Ἐσσοῦντο πολλά. « Θ', 23. 192) Πρὸς τὸ συμφέρον ἡμῶν. 193) Πρὸς τὸ συμφ. ἐκείνων. 194) Αὖθις. 195) Ἣν. 196) Τοῖς ἐμοῖς λόγοις. 197) Οὗ. 198) Περὶ τοῦ ὁποίου φροντίζετε, Α. Σ. 3). 199) Μακρύτερα, συγκρ. τοῦ Ἐκάς. 200) Ἐνεστ. ἀντὶ μέλλ. 201) Ἀκόσμως, ἀτάκτως. 202) Κερδανοῦμεν διὰ τῶν σωθέντων (διὰ τῆς σωτηρίας) τῶν Μ. 203) Χρησμός. 204) Καθύπερθε· ὅτι θὰ ὑπερισχύσωμεν. 205) Ἐοικότα. 206) Εἰς τοὺς ἀνθρώπους τοὺς βουλευομένους τὰ εἰκότα, τὰ εἰκότα θέλουν νὰ γίνωνται. 207) Φυσικωτέρα ἤθελεν εἶσθαι ἡ γεν. ἀπόλυτος. 208) Αὖθις. 209) Κατεφέρετο, ὑβριστικῶς ὁμίλει. 210) Ἐκείνῳ ᾧ οὐκ ἔστι. 211) Νὰ θέσῃ εἰς ψηφοφορίαν τὴν γνώμην. 212) Ἀφ' οὗ δείξῃ ποίαν ἔχει πόλιν. 213) Τότε μόνον. 214) Τοῖς Ἀθηναίοις. 215) Ἐδήλου λόγῳ ὡς εἴη ἑαυτοῖς καὶ πόλις. Μετὰ τὰ ἀφηγηματικὰ ὁ Ἡρόδ. μεταχειρίζεται συνεχῶς ὡς εἶη. 216) Μείζων· ἢ ει τρέπεται εἰς ε. 217) Ἔς τε ἂν· ἐν ὅσῳ. 218) Οὐδεὶς Ἕλλην. 219) Ἐντονα, κατ' εὐθεῖαν λεγόμενα. 220) Μέλ. μενεῖς. 221) Ἐδὼ ἂν μείνῃς, καὶ ἐδὼ δύνασαι νὰ δειχθῇς ἀνδρεῖος. 222) Θέλεις ἐπιφέρει τὴν καταστροφὴν τῆς Ἑλλ. 223) Ὅλον τὸν πόλεμον, ὅλην τὴν τύχην τοῦ πολ. 224) Ὡς εὑρισκόμεθα. 225) Κομιούμεθα. 226) Πόλις τῆς Λευκανίας ἐν τῇ κάτω Ἰταλίᾳ. 227) Κατῳκεῖτο ὑπὸ Ἰώνων. 228) Οἱ χρησμοί. Κατὰ τὸν χρησμὸν τοῦτον μετὰ ταῦτα ἐστάλη ἀποικία εἰς Θούριον τῆς Σιρίτιδος. 229) Μονωθέντες.

61. Ταῦτα δὲ Θεμιστοκλῆος λέγοντος, ἀνεδιδάσκετο[230] Εὐρυβιάδης. Δοκέειν[231] δέ μοι, ἀρρωδήσας[232] μάλιστα τοὺς Ἀθηναίους ἀνεδιδάσκετο, μή σφεας ἀπολίπωσι, ἢν πρὸς τὸν Ἰσθμὸν ἀνάγῃ τὰς νῆας. Ἀπολιπόντων γὰρ Ἀθηναίων, οὐκέτι ἐγίνοντο ἀξιόμαχοι οἱ λοιποί. Ταύτην δὲ αἱρέεται τὴν γνώμην, αὐτοῦ μένοντας διαναυμαχέειν.

62. Οὕτω μὲν οἱ περὶ Σαλαμῖνα, ἔπεσι ἀκροβολισάμενοι, ἐπεί τε Εὐρυβιάδῃ ἔδοξε, αὐτοῦ παρεσκευάζοντο ὡς ναυμαχήσοντες. Ἡμέρη τε ἐγίνετο[233], καὶ ἅμα τῷ ἡλίῳ ἀνιόντι σεισμὸς ἐγένετο ἔν τε τῇ γῇ καὶ τῇ θαλάσσῃ. Ἔδοξε δέ σφι εὔξασθαι τοῖσι θεοῖσι, καὶ ἐπικαλέσασθαι τοὺς Αἰακίδας[234] συμμάχους. Ὡς δὲ σφι ἔδοξε, καὶ ἐποίευν[235] ταῦτα. Εὐξάμενοι γὰρ πᾶσι τοῖσι θεοῖσι, αὐτόθεν μὲν ἐκ Σαλαμῖνος Αἰαντά τε καὶ Τελαμῶνα[236] ἐπεκαλέοντο· ἐπὶ δὲ Αἰακὸν[237] καὶ τοὺς ἄλλους Αἰακίδας νῆα ἀπέστελλον ἐς Αἴγιναν.

63. Οἱ δὲ ἐς τὸν Ξέρξεω ναυτικὸν στρατὸν ταχθέντες, ἔπλωον[238] δι' Εὐρίπου, καὶ ἐν τρισὶ ἡμέρῃσι ἐγένοντο ἐν Φαλήρῳ. Ὡς μὲν ἐμοὶ δοκέειν[239], οὐκ ἐλάσσονες ἐόντες ἀριθμὸν ἐπέβαλον ἐς τὰς Ἀθήνας, κατά τε ἤπειρον καὶ τῇσι νησὶ ἀπικόμενοι, ἢ ἐπί τε Σηπιάδα[240] ἀπίκοντο καὶ ἐς Θερμοπύλας Ἀντιθήσω γὰρ[239] τοῖσί τε ὑπὸ τοῦ χειμῶνος αὐτέων ἀπολομένοισι, καὶ τοῖσι ἐν Θερμοπύλῃσι, καὶ τῇσι ἐπ' Ἀρτεμισίῳ ναυμαχίῃσι, τούσδε τοὺς τότε οὔκω ἑπομένους βασιλεῖ, Μηλιέας[241] τε καὶ Δωριέας, καὶ Λοκροὺς, καὶ Βοιωτοὺς παναστρατιῇ ἑπομένους, πλὴν Θεσπιέων τε καὶ Πλαταιέων· καὶ μάλα[242] Καρυστίους τε καὶ Ἀνδρίους, καὶ Τηνίους τε καὶ τοὺς λοιποὺς νησιώτας πάντας, πλὴν τῶν πέντε πολίων, τῶν[243] ἐπεμνήσθην πρότερον τὰ οὐνόματα. Ὅσῳ γὰρ δὴ προέβαινε ἐσωτέρω τῆς Ἑλλάδος ὁ Πέρσης, τοσούτῳ πλέω ἔθνεα οἱ εἵπετο.

64. Ἐπεὶ ὦν[85] ἀπίκατο ἐς τὰς Ἀθήνας πάντες οὗτοι, πλὴν Παρίων· Πάριοι δὲ ὑπολειφθέντες ἐν Κύθνῳ, ἐκαραδόκεον τὸν πόλεμον κῇ[244] ἀποβήσεται[245]· οἱ δὲ λοιποὶ ὡς ἀπίκοντο ἐς τὸ Φάληρον, ἐνθαῦτα κατέδη αὐτὸς Ξέρξης ἐπὶ τὰς νῆας, ἐθέλων σφι[112] συμμίξαι τε καὶ πυθέσθαι τῶν ἐπιπλωόντων[58] τὰς γνώμας. Ἐπεὶ δὲ ἀπικόμενος προίζετο, παρῆσαν μετάπεμπτοι οἱ τῶν ἐθνέων τῶν σφετέρων τύραννοι[246] καὶ ταξίαρχοι ἀπὸ τῶν νηῶν, καὶ ἵζοντο ὡς σφι βασιλεὺς ἑκάστῳ τιμὴν ἐδεδώκεε[247]· πρῶτος μὲν, ὁ Σιδώνιος βασιλεὺς· μετὰ δὲ, ὁ Τύριος· ἐπὶ δὲ, ὦλλοι[248]. Ὡς δὲ κόσμῳ[249] ἐπεξῆς ἵζοντο, πέμψας Ξέρξης Μαρδόνιον, εἰρώτα, ἀποπειρώμενος ἑκάστου, εἰ ναυμαχίην ποιέοιτο.

65. Ἐπεὶ δὲ περιὼν εἰρώτα ὁ Μαρδόνιος, ἀρξάμενος ἀπὸ τοῦ Σιδωνίου, οἱ

---

230) Μετεπείθετο. 231) Ἀντὶ δοκεῖ· ἔστι δοκεῖν. 232) Ἰων. ἀντὶ ἀρρωδήσας.
233) Ἐξημέρωσε. 234) Ὁ Αἰακὸς ἦν ἥρως τῆς Αἰγίνης, ὁ δὲ ἔκγονος αὐτοῦ Αἴας τῆς Σαλαμῖνος. 235) Ἐποίουν. 236) Υἱὸς τοῦ Αἰακοῦ καὶ πατὴρ τοῦ Αἴαντος. 237) Διὰ νὰ ἐπικαλεσθῶσι τὸν Αἰακόν. 238) Τὸ μεσημβρινώτερον ἀκρωτήριον τῆς Θεσσαλίας, ἄντικρυ τῆς Εὐβοίας. 239) Ἀντιθέτει εἰς τοὺς ἀπολεσθέντας εἰς τὰς πρώην μάχας τοὺς λαοὺς ὅσοι ἠκολούθησαν τὸν Πέρσην μεταγενεστέρως. 241) Κατοίκους τοῦ Μαλιακοῦ κόλπ., Λαμίας κτλ. 242) Μάλιστα καί. 243) Ὧν. 244) Πῇ, ποῦ. 245) Ἡ περίοδος αὕτη ὡς ἐν παρενθέσει. 246) Τύραννοι ἦσαν οἱ βασιλεῖς, καὶ αὐτοὶ οἱ ὑπὸ τὸν βασιλέα τῆς Περαίας διοικηταὶ τῶν ἐθνῶν τῆς μικρᾶς Ἀσίας. 247) Κατὰ τὴν πρωτοκαθεδρίαν τὴν ὁποίαν τοῖς ἔδοσε.
248) Ἐπὶ δὲ (τούτοις) οἱ ἄλλοι. 249) Σὺν κόσμῳ, κοσμίως, ἐν τάξει.

μὲν δὴ ἄλλοι κατὰ τωὐτὸ[250] γνώμην ἐξεφέροντο, κελεύοντες ναυμαχίην ποιέεσθαι· Ἀρτεμισίῃ[251] δὲ τάδε ἔφη· « Εἰπαί μοι[252] πρὸς βασιλῆα, Μαρδόνιε, ὡς » ἐγὼ τάδε λέγω· Οὔτε κακίστην[253] γενομένην ἐν τῇσι ναυμαχίῃσι τῇσι » πρὸς Εὐβοίῃ[254], οὔτε ἐλάχιστα ἀποδεξαμένην[255], δέσποτα, τὴν ἐοῦσαν » γνώμην με δίκαιόν ἐστι ἀποδείκνυσθαι[256], τὰ τυγχάνω φρονέουσα ἄριστα » εἰς πρήγματα τὰ σά. Καί τοι τάδε λέγω· φείδεο τῶν νηῶν, μηδὲ ναυ- » μαχίην ποιέο. Τοὶ γὰρ ἄνδρες[257] τῶν σῶν ἀνδρῶν κρέσσονες τοσοῦτό εἰσι » κατὰ θάλασσαν, ὅσον ἄνδρες γυναικῶν. Τί δὲ πάντως δέει σε ναυμαχίῃσι » ἀνακινδυνεύειν; οὐκ ἔχεις μὲν τὰς Ἀθήνας, τῶν περ εἵνεκα ὡρμήθης στρα- » τεύεσθαι, ἔχεις δὲ τὴν ἄλλην Ἑλλάδα; ἐμποδὼν δέ τοι ἵσταται οὐδείς· » οἳ δέ τοι ἀντέστησαν, ἀπήλλαξαν[258] οὕτω ὡς κείνους ἔπρεπε· τῇ[259] δὲ » ἐγὼ δοκέω ἀποβήσεσθαι τὰ τῶν ἀντιπολέμων[260] πρήγματα, τοῦτο φράσω. » Ἢν μὲν μὴ ἐπειχθῇς ναυμαχίην ποιεύμενος, ἀλλὰ τὰς νῆας αὐτοῦ ἔχῃς » πρὸς γῇ μένων, ἢ καὶ προβαίνων ἐς τὴν Πελοπόννησον, εὐπετέως τοι, » δέσποτα, χωρήσει τὰ νοέων ἐλήλυθας[261]. Οὐ γὰρ οἷοί τε πολλὸν χρόνον » εἰσί τοι ἀντέχειν οἱ Ἕλληνες, ἀλλὰ σφέας[262] διασκεδᾷς, κατὰ πόλεις[263] » δὲ ἕκαστοι φεύξονται. Οὔτε γὰρ σῖτος πάρα σφίσι ἐν τῇ νήσῳ ταύτῃ[264], » ὡς ἐγὼ πυνθάνομαι· οὔτε αὐτοὺς οἰκός, ἢν σὺ ἐπὶ τὴν Πελοπόννησον ἐλαύ- » νῃς τὸν πεζὸν στρατὸν, ἀτρεμιεῖν τοὺς ἐκεῖθεν[265] αὐτέων ἥκοντας[266]· οὐδέ » σφι μελήσει πρὸ τῶν Ἀθηναίων ναυμαχέειν. Ἢν δὲ αὐτίκα ἐπειχθῇς » ναυμαχῆσαι, δειμαίνω[267] μὴ ὁ ναυτικὸς στρατὸς κακωθείς, τὸν πεζὸν προσ- » δηλήσηται[268]. Πρὸς δὲ, ὦ βασιλεῦ[269], καὶ τόδε ἐς θυμὸν[270] βάλευ, ὡς τοῖσι » μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι φιλέουσι[271] γίγνεσθαι, τοῖσι » δὲ κακοῖσι, χρηστοί. Σοὶ δὲ, ἐόντι ἀρίστῳ ἀνδρῶν πάντων, κακοὶ δοῦλοί » εἰσι οἳ ἐν συμμάχων λόγῳ λέγονται εἶναι[272], ἐόντες Αἰγύπτιοί τε καὶ » Κύπριοι, καὶ Κίλικες, καὶ Πάμφυλοι[273], τῶν ὄφελός ἐστι οὐδέν[274].

66. Ταῦτα λεγούσης πρὸς Μαρδόνιον, ὅσοι μὲν ἦσαν[275] εὔνοοι τῇ Ἀρτεμισίῃ, συμφορὴν ἐποιεῦντο[276] τοὺς λόγους, ὡς κακόν τι πεισομένης πρὸς βασιλῆος, ὅτι οὐκ ἐᾷ ναυμαχίην ποιέεσθαι· οἱ δὲ ἀγαιόμενοί[277] τε καὶ φθονέοντες αὐ- τῇ, ἅτε ἐν πρώτοισι τετιμημένης[278] διὰ πάντων τῶν συμμάχων, ἐτέροντο

---

250) Κατὰ τὸ αὐτὸ, συμφώνως. 251) Βασίλισσα τῆς Καρίας ἐξ Ἁλικαρνασσοῦ.
252) Διὰ ν' ἀποφύγῃ τὸ ἀπότομον τῆς προστακτικῆς μετεχειρίσθη τὸ ἀπαρέμφατον· ὡς παρ' ἡμῖν νὰ εἰπῇς· ὁ δὲ μοι χαριστικὸς πρὸς χάριν μου. 253) Ἀνανδροτάτην.
254) Εἰς τὸ Ἀρτεμίσιον. 255) Ἀποδειξαμένην. Ἐλάχιστα κατορθώματα ἀναδείξασαν.
256) Δίκαιόν ἐστι μὲ γενομένην καὶ ἀποδεξαμένην ἀποδείκνυσθαι τὴν ἐοῦσαν γνώμην.
257) Οὗτοι οἱ ἄνδρες οἱ Ἕλληνες. 258) Ἐχάθησαν. 259) Πῶς. 260) Πολεμίων.
261) Ἐπείγομαι, Βιασθῆς. 262) Εὐπετῶς χωρήσει ἐκεῖνα, ἃ νοῶν (μελετῶν) ἐλήλυθας.
263) Τῇ Σαλαμῖνι. 264) Τοὺς ἐκ Πελοποννήσου ἐλθόντας εἰς τὸν ζόλον. 265) Προδοῦμαι.
266) Βλάψῃ. 267) Στρέφει τὸν λόγον ὡς νὰ ὡμίλει κατ' εὐθεῖαν πρὸς τὸν Ξέρξην.
268) Βάλε κατὰ νοῦν, ἐνθυμήθητι. 269) Συνηθίζουσι. Τὸ ἀξίωμα δὲν εἶναι ἐντελῶς ἀληθὲς, τὸ λέγει δὲ διὰ νὰ κολακεύσῃ τὴν αὐστηρότητα τῶν ἐπομένων. 270) Ὅτι εἶναι ἐν τάξει συμμάχων, ὅτι σὲ ἀκολουθοῦσιν ἐπὶ λόγῳ συμμαχίας. 271) Κιλικία καὶ Παμφυλία, δύω τῶν μεσημβρινῶν ἐπαρχιῶν τῆς Μικρᾶς Ἀσίας. 272) Ἐκ τῶν ὁποίων δὲν προέρχεται οὐδὲν ὄφελος, οἱ ὁποῖοι δὲν ὠφελοῦν τίποτε. 273) Ἐποιοῦντο· ἐθεώρουν ὡς συμφοράν. 274) Ἀγαίομαι, ἀγάομαι καὶ ἀγάζομαι, μισῶ. 275) Συμφώνως τὸ Τετιμημένης μὲ τὴν κατωτέρω ἀπόλ. γεν. Ἀπολυομένης· ἐν ᾧ, ὡς πλησιέστερον καὶ κατὰ τὸν νοῦν ἐγγενέστερον, ἔπρεπε μᾶλλον νὰ συμφωνήσῃ μὲ τὸ αὐτῇ.

τῇ κρίσι[276], ὡς ἀπολεομένης αὐτῆς. Ἐπεὶ δὲ ἀνηγείχθησαν[277] αἱ γνῶμαι ἐς Ξέρξεα, κάρτα τε ἥσθη τῇ γνώμῃ τῆς Ἀρτεμισίης· καὶ νομίζων ἔτι πρότερον σπουδαίην[278] εἶναι, τότε πολλῷ μᾶλλον αἶνεε. Ὅμως δὲ τοῖσι πλέοσι[279] πείθεσθαι ἐκέλευε τάδε[280], καταδόξας πρὸς μὲν Εὐβοίῃ σφέας ἐθελοκακέειν, ὡς οὐ παρεόντος αὐτοῦ· τότε δὲ αὐτὸς παρεσκεύαστο θεήσασθαι ναυμαχέοντας.

67 Ἐπειδὴ δὲ παρήγγελλον[281] ἀναπλώειν[88], ἀνῆγον τὰς νῆας ἐπὶ τὴν Σαλαμῖνα, καὶ παρεκρίθησαν[282] διαταχθέντες κατ' ἡσυχίην. Τότε μέν νυν οὐκ ἐξέχρησέ σφι[285] ἡ ἡμέρη ναυμαχίην ποιέεσθαι· νὺξ γὰρ ἐπεγένετο· οἱ δὲ παρεσκευάζοντο ἐς[284] τὴν ὑστεραίην. Τοὺς δὲ Ἕλληνας εἶχε δέος τε καὶ ἀρρωδίη[285], οὐκ ἧκιστα δὲ[286] τοὺς ἀπὸ Πελοποννήσου. Ἀρρώδεον δέ, ὅτι αὐτοὶ μὲν ἐν Σαλαμῖνι κατήμενοι, ὑπὲρ γῆς τῆς Ἀθηναίων ναυμαχέειν μέλλοιεν· νικηθέντες τε, ἐν νήσῳ ἀπολαμφθέντες[287] πολιορκήσονται, ἀπέντες τὴν ἑωυτῶν ἀφύλακτον.

68 Τῶν δὲ βαρβάρων ὁ πεζὸς ὑπὸ τὴν παρεοῦσαν νύκτα[288] ἐπορεύετο ἐπὶ τὴν Πελοπόννησον· καίτοι τὰ δυνατὰ πάντα ἐμεμηχάνητο[289], ὅκως κατ' ἤπειρον μὴ ἐσβάλοιεν οἱ βάρβαροι. Ὡς γὰρ ἐπύθοντο τάχιστα[290] Πελοποννήσιοι τοὺς ἀμφὶ Λεωνίδεα ἐν Θερμοπύλῃσι τετελευτηκέναι[291], συνδραμόντες ἐκ τῶν πολίων[292], ἐς τὸν Ἰσθμὸν ἵζοντο· καὶ σφι ἐπῆν στρατηγὸς Κλεόμβροτος, ὁ Ἀναξανδρίδεω, Λεωνίδεω[293] δὲ ἀδελφεός. Ἱζόμενοι δὲ ἐν τῷ Ἰσθμῷ, καὶ συγχώσαντες τὴν Σκιρωνίδα ὁδὸν[294], μετὰ τοῦτο, ὡς σφι ἔδοξε βουλευομένοισι, οἰκοδόμεον διὰ τοῦ Ἰσθμοῦ τεῖχος. Ἅτε δὴ ἐουσέων μυριάδεων πολλέων, καὶ παντὸς ἀνδρὸς ἐργαζομένου, ἤνετο[295] τὸ ἔργον. Καὶ γὰρ λίθοι, καὶ πλίνθοι, καὶ ξύλα, καὶ φορμοὶ ψάμμου πλήρεες ἐσεφορέοντο, καὶ ἐλίνυον[296] οὐδένα χρόνον οἱ βωθήσαντες ἐργαζόμενοι οὔτε νυκτός, οὔτε ἡμέρης.

69 Οἱ δὲ βωθήσαντες[72] ἐς τὸν Ἰσθμὸν πανδημεὶ, οἵδε ἦσαν Ἑλλήνων· Λακεδαιμόνιοί τε καὶ Ἀρκάδες πάντες, καὶ Ἠλεῖοι, καὶ Κορίνθιοι, καὶ Σικυώνιοι, καὶ Ἐπιδαύριοι, καὶ Φλιάσιοι, καὶ Τροιζήνιοι, καὶ Ἑρμιονέες. Οὗτοι μὲν ἦσαν οἱ βωθήσαντες, καὶ ὑπεραρρωδέοντες τῇ Ἑλλάδι κινδυνευούσῃ[296]· τοῖσι δὲ ἄλλοισι Πελοποννησίοισι ἔμελε οὐδέν. Ὀλύμπια δὲ καὶ Κάρνεια[297] παροιχώκεε[298] ἤδη.

---

276) Τῇ προσδοκωμένῃ τοῦ βασιλέως ἢ τῇ γνώμῃ αὐτῆς. 277) Ἀνηνέχθησαν. Τὸ ε τρέπεται εἰς ει πρὸ τῶν ἀμεταβόλων. 278) Τὴν Ἀρτεμισίαν. 279) Πλείοσι. 280) Ὡς πρὸς τὰ τῆς ναυμαχίας. 281) Οἱ ἀρχηγοί. 282) Διηρέθησαν εἰς τάξεις παραλλήλους. 283) Δὲν τοῖς ἔρθασε. 284) Διά. 285) Ὀρρωδία. 286) Ἀντὶ: πρὸ πάντων δέ. 287) Ἰων. ἀποληφθέντες, καταληφθέντες. 288) Ἡ Ὑπὸ χρονική. Εἰς τὸ διάστημα τῆς νυκτός. 289) Εἶχον μηχανευθῇ (ὑπὸ τῶν Ἑλλ.). 290) Τάχιστα ὡς· ἴδ. Ξεν. Κ. παιδ. Τομ. Α'. σελ. 120.
291) Τὰ συμβάντα ὅσα ἐδῶ διηγεῖται ἔπονται μετὰ τὴν μάχην τῶν Θερμοπυλῶν.
292) Ἀδελφός. Κ. Ξ. 528. ε. 1). 293) Κακιὰ σκάλα. Διόδος στενὴ καὶ πετρώδης μεταξὺ Μεγάρων καὶ Ἰσθμοῦ, κληθεῖσα οὕτω κατ' ἀλήθειαν μὲν ἐκ τοῦ σκιρὸς (τραχὺς), κατὰ δὲ τοὺς μύθους ὑπὸ Σκίρωνός τινος, ἐκεῖ ἐνεδρεύοντος λῃστοῦ. 294) Ἀνὼ. 295) Ἰων. ἐσχόλαζον. 296) Φοβούμενοι ὑπὲρ τῆς Ἑλλ. κινδυνευούσης. Ἡ δοτικὴ περιποιητ. ἡ ἐλειπτ. τῆς Περί, ἴδε κατωτέρω. 297) Ἑορτὴ τῶν Λακεδ. εἰς τιμὴν τοῦ Καρνείου Ἀπόλλωνος, τελουμένη περὶ τὰς ἀρχὰς Σαπτεμβρίου. 298) Παρωχήκει, παρῴχητο. Ἰων. ὑπερσυντ.

70. Οἱ μὲν δὴ ἐν τῷ Ἰσθμῷ, τοιούτῳ πόνῳ συνέστασαν, ἅτε περὶ τοῦ παντὸς ἤδη ὁρμὸν θέοντες[299], καὶ τῇσι νήυσὶ οὐκ ἐλπίζοντες ἑλλάμψεσθαι[300]. οἱ δὲ ἐν Σαλαμῖνι ὅμως, ταῦτα πυνθανόμενοι ἀρρώδεον, οὐκ οὕτω περὶ σφίσι αὐτοῖσι δειμαίνοντες, ὡς περὶ τῇ Πελοποννήσῳ. Ἕως μὲν δὴ[301] αὐτέων ἀνὴρ ἀνδρὶ παραστὰς σιγῇ λόγον ἐποιέετο[302], θωῦμα ποιεύμενοι[303] τὴν Εὐρυβιάδεω ἀβουλίην· τέλος δὲ ἐξερράγη ἐς τὸ μέσον[304], σύλλογός τε δὴ ἐγίνετο, καὶ πολλὰ ἐλέγετο περὶ τῶν αὐτέων[305]· οἱ μὲν[306], ὡς ἐς τὴν Πελοπόννησον χρεὼν εἴη ἀποπλώειν[85], καὶ περὶ ἐκείνης κινδυνεύειν, μηδὲ πρὸ χώρης δορυαλώτου μένοντας μάχεσθαι· Ἀθηναῖοι δὲ καὶ Αἰγινῆται, καὶ Μεγαρέες, αὐτοῦ μένοντας ἀμύνασθαι[308].

71. Ἐνθαῦτα Θεμιστοκλέης ὡς ἐσσοῦτο[307] τῇ γνώμῃ ὑπὸ τῶν Πελοποννησίων, λαθὼν ἐξέρχεται ἐκ τοῦ συνεδρίου. Ἐξελθὼν δὲ, πέμπει ἐς τὸ στρατόπεδον τὸ Μήδων ἄνδρα πλοίῳ, ἐντειλάμενος τὰ[310] λέγειν χρεὼν· τῷ[309] οὔνομα μὲν ἦν Σίκινος, οἰκέτης δὲ καὶ παιδαγωγὸς ἦν τῶν Θεμιστοκλέος παίδων· τὸν δὴ ὕστερον τουτέων τῶν πρηγμάτων Θεμιστοκλέης Θεσπιέα τε ἐποίησε, ὡς ἐπεδέκοντο[309] οἱ Θεσπιέες πολιήτας[85], καὶ χρήμασι ὄλβιον. Ὃς τότε πλοίῳ ἀπικόμενος ἔλεγε πρὸς τοὺς στρατηγοὺς τῶν Βαρβάρων τάδε· » Ἔπεμψέ με στρατηγὸς ὁ Ἀθηναίων λάθρη τῶν ἄλλων Ἑλλήνων » (τυγχάνει γὰρ φρονέων τὰ βασιλέος[310], καὶ βουλόμενος μᾶλλον τὰ ὑμέ- » τερα κατύπερθε γίνεσθαι[311], ἢ τὰ τῶν Ἑλλήνων πρήγματα), φράσοντα, » ὅτι οἱ Ἕλληνες ὄρκμὸν[312] βουλεύονται καταρρώξοντες. Καὶ νῦν παρέχει » κάλλιστον ὑμέας ἔργον ἁπάντων ἐξεργάσασθαι, ἢν μὴ περιΐδητε θύα- » δραντας αὐτούς. Οὔτε γὰρ ἀλλήλοισι ὁμορρονέουσι, οὔτ' ἔτι ἀντισταίησονται » ὑμῖν· πρὸς ἑωυτούς τε σφέας[313] ὄψεσθε ναυμαχέοντας τοὺς τὰ ὑμέτερα » φρονέοντας καὶ τοὺς μή.» Ὁ μὲν, ταῦτά σφι σημήνας, ἐκποδὼν ἀπαλλάσσετο.

72. Τοῖσι δὲ, ὡς πιστὰ ἐγίνετο[314] τὰ ἀγγελθέντα, τοῦτο μὲν[315], ἐς τὴν νησίδα τὴν Ψυττάλειαν, μεταξὺ Σαλαμῖνός τε κειμένην καὶ τῆς ἠπείρου, πολλοὺς τῶν Περσέων ἀπεβιβάσαντο· τοῦτο δὲ, ἐπειδὴ ἐγίνοντο μέσαι νύκτες, ἀνῆγον μὲν τὸ ἀπ' ἑσπέρης[316] κέρας κυκλούμενοι[317] πρὸς τὴν Σαλαμῖνα· ἀνῆγον δὲ οἱ ἀμφὶ τὴν Κέον[318] τε καὶ τὴν Κυνόσουραν[319] τεταγμένοι, κατέχοντες μέχρι Μουνυχίης πάντα τὸν πορθμὸν[320] τῇσι νηυσί. Τῶνδε δὲ εἵνεκεν[8] ἀνῆγον τὰς νῆας, ἵνα δὴ τοῖσι Ἕλλησι μηδὲ φυγέειν ἐξῇ, ἀλλ' ἀπολαμφθέντες[257] ἐν τῇ Σαλαμῖνι, δοῖεν τίσιν[321] τῶν ἐπ' Ἀρτεμισίῳ ἀγω-

---

299) Μεταφ. ἐκ τῶν σταδιοδρόμων, ἅτε δὴ ἀγωνιζόμενοι περὶ τῶν ὅλων. 300) Ἰων. ἁλῶ-ήψεσθαι, ἐκ τοῦ Ἑλλαμβάνω· νὰ βοηθηθῶσι. 301) Μέχρι τινός. 302) Κρυφίως ὡμίλει. 303) Θαυμάζοντες ὅλοι. 304) Τὸ σιγῇ λεγόμενον. 305) Περὶ τῶν ἰδίων πραγμάτων πολλά. 306) Ἐννοεῖται· γὰρ ἔλεγον, ἢ λέγοντες (ὡς ὀνομ. ἀπόλ.). 307) Ἔλεγον ὡς χρεὼν ἀμύνασθαι. 308) Ἐνικᾶτο. 309) Ἀνδρα, τῷ· ᾧ. 309) Ὅτε ἐδέχοντο· θέλοντες νὰ αὐξήσωσι τὴν πόλιν των, ἐπολιτογράφουν ξένους. 310) Ἔχων φρόνημα ὑπὲρ τοῦ βασιλέως. 311) Ὑπερισχύειν. 312) Δρασμόν· ἀπόδρασιν. 313) Πρὸς σφᾶς αὐτούς, πρὸς ἀλλήλους. 314) Ὡς οὗτοι ἐπίστευσαν. 315) Τοῦτο μὲν. . . . τοῦτο δὲ=μέρος μὲν, μέρος δέ. 316) Τὸ πρὸς μεσημβρίαν. 317) Κύκλῳ περιφέροντες αὐτό. 318) Κέων τὴν Τζέαν. 319) Ἀκρωτήριον τῆς Ἀττικῆς περὶ τὸν Μαραθῶνα. 320) Τὸν μεταξὺ Σαλαμῖνος καὶ Ἀττικῆς. 321) Νὰ τιμωρηθῶσι διὰ τοὺς ἐπ' Ἀρτεμισίῳ ἀγῶνάς των.

νισμάτων. Ἐς δὲ τὴν νησίδα τὴν Ψυττάλειαν καλεομένην ἀπεβίβαζον τῶν Περσέων[522], τῶνδε εἵνεκεν, ὡς, ἐπεὰν[525] γένηται ναυμαχίη, ἐνθαῦτα μάλιστα ἐξοισομένων[524] τῶν τε ἀνδρῶν καὶ ναυαγίων (ἐν γὰρ δὴ πόρῳ[525] τῆς ναυμαχίης τῆς μελλούσης ἔσεσθαι ἔκειτο ἡ νῆσος), ἵνα[526] τοὺς μὲν περιποιῶσι[527], τοὺς δὲ διαφθείρωσι. Ἐποίευν[528] δὲ σιγῇ ταῦτα, ὡς μὴ πυνθανοίατο[529] οἱ ἐναντίοι. Οἱ μὲν δὴ ταῦτα τῆς νυκτὸς, οὐδὲν ἀποκοιμηθέντες, παρατρέοντο[550].

73. Τῶν δὲ ἐν Σαλαμῖνι στρατηγῶν ἐγίνετο ὠθισμὸς λόγων πολλός. Ἥδεσαν δὲ οὔκω[551], ὅτι σφέας περιεκυκλέοντο τῇσι νηυσὶ οἱ Βάρβαροι· ἀλλ', ὥσπερ τῆς ἡμέρης ὥρων αὐτοὺς τεταγμένους, ἐδόκεον κατὰ χώρην εἶναι.

74. Συνεστηκότων[552] δὲ τῶν στρατηγῶν, ἐξ Αἰγίνης διέβη Ἀριστείδης ὁ Λυσιμάχου[555], ἀνὴρ Ἀθηναῖος μὲν, ἐξωστρακισμένος δὲ ὑπὸ τοῦ δήμου τὸν ἐγὼ νενόμικα, πυνθανόμενος αὐτοῦ τὸν τρόπον, ἄριστον ἄνδρα γενέσθαι ἐν Ἀθήνῃσι καὶ δικαιότατον. Οὗτος ὦνὴρ[554], στὰς ἐπὶ τὸ συνέδριον, ἐξεκαλέετο Θεμιστοκλῆα, ἐόντα μὲν ἑωυτῷ οὐ φίλον, ἐχθρὸν δὲ τὰ μάλιστα· ὑπὸ δὲ μεγάθεος[555] τῶν παρεόντων κακῶν, λήθην ἐκείνων ποιεύμενος ἐξεκαλέετο, θέλων αὐτῷ συμμίξαι. Παρακήκοε δὴ ὅτι σπεύδοιεν οἱ ἀπὸ Πελοποννήσου ἀνάγειν τὰς νῆας πρὸς τὸν Ἰσθμόν. Ὡς δὲ ἐξῆλθε οἱ[556] Θεμιστοκλέης, ἔλεγε Ἀριστείδης τάδε· » Ἠμέας στασιάζειν χρεόν ἐστι, ἔν τε » τῷ ἄλλῳ καιρῷ καὶ δὴ καὶ ἐν τῷδε, περὶ τοῦ ὁκότερος[557] ἡμέων πλέω » ἀγαθὰ τὴν πατρίδα ἐργάσεται. Λέγω δέ τοι, ὅτι ἴσον ἐστὶ πολλά τε καὶ » ὀλίγα λέγειν[558] περὶ ἀποπλόου τοῦ ἐνθεῦτεν Πελοποννησίοισι. Ἐγὼ γὰρ » αὐτόπτης τοι λέγω γενόμενος, ὅτι νῦν, οὐδ' ἢν θέλωσι, Κορίνθιοί τε καὶ » αὐτὸς Εὐρυβιάδης οἷοί τε ἔσονται ἐκπλῶσαι[559]· περιεχόμεθα[540] γὰρ ὑπὸ » τῶν πολεμίων κύκλῳ. Ἀλλ' ἐσελθὼν σφι[541] ταῦτα σήμηνον.

75. Ὁ δ' ἀμείβετο[542] τοῖσδε· » Κάρτα τε χρηστὰ διακελεύεαι[545], καὶ εὖ ἤγγειλας. τὰ[544] γὰρ εὐέρμην γενέσθαι, αὐτὸς αὐτόπτης γενόμενος ἥκεις. » Ἴσθι γὰρ ἐξ ἐρέο[545] τὰ ποιεύμενα ὑπὸ Μήδων. Ἔδεε γάρ, ὅτε οὐκ ἐκόντες » ἔθελον ἐς μάχην κατίστασθαι οἱ Ἕλληνες, ἀέκοντας παραστήσασθαι. Σὺ » δὲ, ἐπείπερ ἥκεις χρηστὰ ἀπαγγέλλων, αὐτός σφι ἄγγειλον. Ἢν γὰρ » ἐγὼ αὐτὰ λέγω, δόξω πλάσας λέγειν, καὶ οὐ πείσω, ὡς οὐ ποιευόντων[546] » τῶν βαρβάρων ταῦτα. Ἀλλά σφι σήμηνον αὐτὸς παρελθὼν ὡς ἔγει[547]. » Ἐπεὰν[548] δὲ σημήνῃς, ἢν μὲν πείθωνται, ταῦτα δὴ τὰ κάλλιστα[549], ἢν

---

522) Στρατιώτας τῶν Π. 523) Ἐπεί ἄν. 524) Ἐκφέρομαι. 525) Ἐς τὸ πέρασμα, ὅπου ἔμελλον ἐπὶ τῆς ναυμαχίας νὰ περνῶσι τὰ πλοῖα. 526) Μετὰ τὸ ἀνωτέρω Ὡς πλεονάζει τὸ Ἵνα, ἐτέθη δὲ ὡς μακρυνθείσης τῆς φράσεως διὰ τὴν παρένθεσιν, ἡ ἡ γεν. Ἐξοισομένων πρέπει νὰ θεωρηθῇ ὡς συντακτικὴ τοῦ Ὡς ἢ ὅτι ὡς ἀπολυτος, μετὰ δὲ τὴν παρένθεσιν νὰ τεθῇ στίξις. 527) Σώζουσι τοὺς Πέρσας 528) Ἐποίευν. 529) Πυνθάνοιντο Κ. §. 388. 530) Παρατρέω, Ἰων. Παραρτέω, παρασκευάζω. 531) Οὔπω. 532) Συναχθέντων. 533) Ἰδ. Πλουτ. Ἀριστ. Τόμ. Β'. 534) Ὁ ἀνήρ. 535) Μεγέθους. 536) Πρὸς αὐτόν. 537) Ὁπότερος. 538) Π πολλὰ, ἢ ὀλίγα εἰπεῖν, τὸ ἴδιον κάμνει, ἀδιάφορον εἶναι, διότι δὲν ἠμπορῶν πλέον ν' ἀναχωρήσωσι. 539) Εἴμεθα περικυκλωμένοι. 540) Αὐτοῖς, τοῖς Πελοπον. 541) Διακελεύη. Ἰων. Κ. § 367. 542) Ἤξευρε ὅτι ἐξ ἐμοῦ εἶσι τὰ (ταῦτα) ποιούμενα. 543) Δὲν θὰ τοὺς πείσω ἀπατάλλακτα, ὡς ἂν ὄντα ἔκαινον. 544) Πῶς ἔχουν τὰ πράγματα. 545) Ἐπεί ἄν, ὅτε. 546) Αὐτὰ θέλων εἰσθαι τὰ κάλλιστα συμβάντα. Καλῶς

» δὲ αὐτοῖσι μὴ πιστὰ γένηται[547], ὅμοιον ἡμῖν ἔσται. οὐ γὰρ ἔτι διαδρήσονται, εἴπερ περιεχόμεθα πανταχόθεν, ὡς σὺ λέγεις.α

76 Ταῦτα[548] ἔλεγε παρελθὼν ὁ Ἀριστείδης, φάμενος ἐξ Αἰγίνης τε ἥκειν, καὶ μᾶλλον ἐκπλῶσαι λαθὼν τοὺς ἐπορμέοντας· περιέχεσθαι γὰρ πᾶν τὸ στρατόπεδον τὸ Ἑλληνικὸν ὑπὸ τῶν νεῶν τῶν Ξέρξεω· παραρτέεσθαί[550] τε συνεβούλευε ὡς ἀλεξησομένους[549]. Καὶ ὁ μὲν, ταῦτα εἰπας[550], μετεστήκεε· τῶν δὲ αὐτις[551] ἐγίνετο λόγων ἀμφισβασίη[552]. οἱ γὰρ πλεῦνες[553] τῶν στρατηγῶν οὐκ ἐπείθοντο[554] τὰ ἐξαγγελθέντα.

77 Ἀπιστεόντων δὲ τουτέων, ἦκε τριήρης ἀνδρῶν Τηνίων αὐτομολέουσα, τῆς[555] ἦρχε ἀνὴρ Παναίτιος ὁ Σωσιμένεος, ἥπερ δὴ ἔφερε τὴν ἀληθηίην[556] πᾶσαν. Διὰ δὲ τοῦτο τὸ ἔργον ἐνεγράψαντο Τήνιοι ἐν Δελφοῖσι ἐς τὸν τρίποδα[557] ἐν τοῖσι τὸν βάρβαρον κατελοῦσι[558]. Σὺν δὲ ὧν[83] ταύτῃ τῇ νηῒ τῇ αὐτομολησάσῃ ἐς Σαλαμῖνα, καὶ τῇ πρότερον ἐπ' Ἀρτεμίσιον τῇ Δημνίῃ[559], ἐξεπληροῦτο τὸ ναυτικὸν τοῖσι Ἕλλησι ἐς τὰς ὀγδώκοντα[560] καὶ τριηκοσίας νῆας· δύο γὰρ δὴ νηῶν τότε[561] κατέδεε ἐς τὸν ἀριθμόν[562].

78 Τοῖσι δὲ Ἕλλησι ὡς πιστὰ δὴ τὰ λεγόμενα ἦν τῶν Τηνίων ῥήματα, παρεσκευάζοντο[563] ὡς ναυμαχήσοντες. Ἡώς τε δὴ διέφαινε[564], καὶ οἱ[565] σύλλογον τῶν ἐπιβατέων ποιησάμενοι, προηγόρευε εὖ ἔχοντα μὲν ἐκ πάντων Θεμιστοκλέης[566]· τὰ δὲ ἔπεα ἦν πάντα κρέσσω τοῖσι ἥσσοσι ἀντιτιθέμενα[567]. Ὅσα δὲ ἐν ἀνθρώπου φύσι καὶ καταστάσι ἐγγίνεται[568], παραινέσας δὴ τουτέων τὰ κρέσσω αἱρέεσθαι, καὶ καταπλέξας τὴν ῥῆσιν, ἐσβαίνειν ἐκέλευε ἐς τὰς νῆας. Καὶ οὗτοι μὲν δὴ ἐσέβαινον, καὶ ἦκε ἡ ἀπ' Αἰγίνης τριήρης ἡ κατὰ τοὺς Αἰακίδας[569] ἀπεδήμησε. Ἐνθαῦτα ἀνῆγον τὰς νῆας ἁπάσας οἱ Ἕλληνες.

79 Ἀναγομένοισι δέ σφι, αὐτίκα ἐπεκέατο[570] οἱ βάρβαροι. Οἱ μὲν δὴ ἄλλοι Ἕλληνες ἐπὶ πρύμνην ἀνεκρούοντο[571], καὶ ὤκελλον[572] τὰς νῆας· Ἀμεινίης δὲ Παλληνεὺς[575], ἀνὴρ Ἀθηναῖος, ἐξαναχθεὶς νηῒ[574] ἐμβάλλει· συμπλακείσης δὲ τῆς νηὸς καὶ οὐ δυναμένων[576] ἀπαλλαγῆναι, οὕτω δὴ οἱ ἄλλοι Ἀμεινίῃ βοηθέοντες συνέμισγον. Ἀθηναῖοι μὲν οὕτω λέγουσι γενέσθαι τῆς ναυμαχίης τὴν ἀρχήν· Αἰγινῆται δὲ τὴν κατὰ τοὺς Αἰακίδας ἀποδημήσασαν ἐς Αἴγιναν, ταύτην εἶναι τὴν ἄρξασαν. Λέγεται δὲ καὶ τάδε, ὡς φάσμα

---

547) Ἂν δὲν πιστεύσωσι, τὸ ἴδιον εἶναι δι' ἡμᾶς. 548) Ὅσα εἶπε μὲ τὸν Θεμιστοκλέα. 549) Ὡς ἀποκρούσαντας τὸν ἐχθρόν. 550) Εἰπών. 551) Λύθις. 552) Ἀμφισβήτησις. 553) Πλέονες. 554) Ἐπίστευον. 555) Ἥς. 556) Ἀλήθειαν. 557) Τρίποδα ἀφιερωθέντα εἰς τοὺς Δελφοὺς, ἐφ' οὗ ἦσαν ἐγγεγραμμένα τὰ ὀνόματα τῶν νικητῶν τῶν Περσῶν. 558) Καθαιρῶ· νικήσασι. 559) Μία ναῦς Δημνία εἶχεν αὐτομολήσει πρὸς τοὺς Ἕλλ. εἰς Ἀρτεμίσιον. 560) Ὀγδοήκοντα. 561) Εἰς τὸ Ἀρτεμίσιον. 562) Διὰ νὰ συμπληρώσῃ τοῦτον τὸν ἀριθμόν. 563) Οὗτοι οἱ Ἕλληνες. 564) Μέσ. ἠ ἐλλειπτ. ἔφεγγε. 565) Οὗτοι, ὀνομαστ. ἀπόλ. ἀντὶ γεν. Κ. §. 439. 6' σημ. ή. 566) Θεμ. ἐκ πάντων (τῶν στρατηγῶν) προηγόρευε καλῶς ἔχοντα (φρόνιμα, ἐπαινετὰ) ῥήματα. 567) Ἦσαν καλλήτεροι οἱ λόγοι τω, ἀπαντῶντες εἰς λόγους ὀλιγώτερον καλούς. 568) Παραινέσας αἱρεῖσθαι τὰ ἄριστα τῶν ἐνόντων εἰς τὴν φύσιν καὶ κατάστασιν τοῦ ἀνθρώπου, δηλ. τὴν ἀρετὴν καλ. 569) Ἰδ. § 64. 570) Ἐπέκειτο. 571) Ἐπρύμνιζον, ἐστρέφοντο ὀπίσω. 572) Ἔφευγαν πρὸς τὸ παραθαλάσσιον. 573) Παλλήνη, δῆμος τῆς Ἀττικῆς. Τὸν Ἀμεινίαν τοῦτον λέγουσιν ἀδελφὸν τοῦ ποιητοῦ Αἰσχύλου. 574) Περσικῇ, κατὰ Περσικοῦ πλοίου. 575) Τῶν δύω νεῶν.

σφι γυναικὸς ἐφάνη φανεῖσαν δὲ διακελεύσασθαι, ὥστε[376] καὶ ἅπαν ἀκοῦσαι τὸ τῶν Ἑλλήνων στρατόπεδον, ὀνειδίσασαν πρότερον[377] τάδε· « Ὦ δαιμόνιοι, μέχρι κόσου[378] ἔτι πρύμνην ἀνακρούεσθε; »

90 Κατὰ[379] μὲν δὴ Ἀθηναίους ἐτετάχατο Φοίνικες, οὗτοι γὰρ εἶχον τὸ πρὸς Ἐλευσῖνός τε καὶ ἑσπέρης κέρας[380]· κατὰ δὲ Λακεδαιμονίους, Ἴωνες· οὗτοι δ' εἶχον τὸ πρὸς τὴν ἠῶ τε καὶ τὸν Πειραιέα. Ἐθελοκάκεον[381] μέντοι αὐτέων, κατὰ τὰς Θεμιστοκλέος ἐντολὰς[382], ὀλίγοι· οἱ δὲ πλεῦνες[383], οὐ. Ἔχω[384] μὲν νυν συχνῶν οὐνόματα τριηράρχων καταλέξαι, τῶν νῆας Ἑλληνίδας ἑλόντων· χρήσομαι δὲ αὐτοῖσι οὐδέν, πλὴν Θερμήστορός τε τοῦ Ἀνδροδάμαντος, καὶ Φυλάκου τοῦ Ἱστιαίου, Σαμίων ἀμφοτέρων. Τοῦ[385] δὲ εἵνεκα μέμνημαι τουτέων μούνων[386], ὅτι Θερμήστωρ μὲν διὰ τοῦτο τὸ ἔργον Σάμου ἐτυράννευσε, καταστησάντων[387] τῶν Περσέων· Φύλακος δὲ, εὐεργέτης[388] βασιλῆος ἀνεγράφη, καὶ χώρη οἱ[389] ἐδωρήθη πολλή. Οἱ δ' εὐεργέται τοῦ βασιλῆος, ὁροσάγγαι καλέονται Περσιστί. Περὶ μὲν νυν τούτους οὕτω εἶχε.

91 Τὸ δὲ πλῆθος τῶν νηῶν ἐν τῇ Σαλαμῖνι ἐκεραΐζετο[390], αἱ μὲν, ὑπ' Ἀθηναίων διαφθειρόμεναι, αἱ δὲ, ὑπὸ Αἰγινητέων. Ἅτε γὰρ τῶν μὲν Ἑλλήνων σὺν κόσμῳ[390] ναυμαχεόντων κατὰ τάξιν, τῶν δὲ βαρβάρων οὐ τεταγμένων[391] ἔτι, οὔτε σὺν νόῳ[392] ποιεόντων οὐδέν, ἔμελλε τοιοῦτό σφι συνοίσεσθαι[393], οἷόν περ ἀπέβη. Καί τοι ἔσαν γε καὶ ἐγένοντο ταύτην τὴν ἡμέρην μακρῷ[394] ἀμείνονες αὐτοὶ ἑωυτῶν[395], ἢ πρὸς Εὐβοίῃ, πᾶς τις προθυμεόμενος καὶ δειμαίνων Ξέρξην· ἐδόκεέ τε ἕκαστος ἑωυτὸν θεήσεσθαι βασιλῆα[396].

92 Κατὰ μὲν δὴ τοὺς ἄλλους, οὐκ ἔχω μετεξετέρους[397] εἰπαι[398] ἀτρεκέως, ὡς ἕκαστοι τῶν βαρβάρων ἢ τῶν Ἑλλήνων ἠγωνίζοντο· κατὰ δὲ Ἀρτεμισίην τάδε ἐγένετο, ἀπ' ὧν εὐδοκίμησε μᾶλλον ἔτι[399] παρὰ βασιλῆϊ. Ἐπειδὴ γὰρ ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλῆος πρήγματα[400], ἐν τούτῳ τῷ καιρῷ ἡ νηῦς ἡ Ἀρτεμισίης ἐδιώκετο ὑπὸ νηὸς Ἀττικῆς. Καὶ ἡ[401], οὐκ ἔχουσα διαφυγέειν ἔμπροσθε γὰρ αὐτῆς ἔσαν ἄλλαι νῆες φίλιαι, ἡ δὲ αὐτῆς[402] πρὸς τῶν πολεμίων μάλιστα[403] ἐτύγχανε ἐοῦσα· ἔδοξέ οἱ[404] τόδε ποιῆσαι, τό καὶ συνήνεικε[405] ποιησάσῃ. Διωκομένη γὰρ ὑπὸ τῆς Ἀττικῆς[406],

---

376) Οὕτω, μὲ τοιαύτην φωνήν. 377) Δηλ. ἀρχίσασαν ἀπὸ τούτους τοὺς λόγους.
378) Πόσον. 379) Ἀπέναντι τῶν Ἀθ. 380) Δηλ. τὸ ἀριστερὸν τοῦ Περσικοῦ, ὥστε οἱ Ἀθ. εἶχον τὸ δεξιὸν τοῦ Ἑλληνικοῦ. 381) Ἦσαν κακῶς διατεθειμένοι κατὰ τῶν Περσῶν.
382) Ὁ Θεμιστοκλῆς ἐχάραξεν εἰς πλάκας, καὶ ἔστησεν αὐτὰς ὅπου ἔμελλε νὰ διέλθῃ ὁ στρατὸς τῶν Περσῶν, ἐνθυμίζων τοὺς Ἴωνας ὅτι ἦσαν Ἕλληνες, καὶ λέγων εἰς αὐτοὺς νὰ ἐθελοκακήσωσι κατὰ τῶν βαρβάρων ἐπὶ τῆς μάχης. Η'. 22. 383) Πλείονες. 384) Δύναμαι. 385) Τούτου. 386) Μόνων. 387) Τῶν Περσῶν καταστησάντων αὐτὸν τύραννον.
388) Οὕτως ἐκαλοῦντο ὅσοι ἀνεδείκνυον ἐκδουλεύσεις τινα εἰς τὸν βασιλέα. 389) Ἡρνίζοντο. 390) Εὐκόσμως, μὲ πειθαρχίαν. 391) Οἱ Πέρσαι ἀρχίσαντες πρῶτοι τὴν ναυμαχίαν, δὲν εἶναι πειθανὸν ὅτι δὲν ἦσαν παρατεταγμένοι. Διὰ τοῦτο, ἴσως μεταβλητέον τὸ τεταγμένοι εἰς τεταγμένως, δηλ. δὲν ἐναυμάχουν τότε ἀκόμη οἱ Πέρσαι ἐν τάξει.
392) Λελογισμένως. 393) Νὰ συμβῇ. Οὕτω καὶ Α'. 19. « ξυνηνέχθη τι τοιόνδε γενέσθαι » πρῆγμα α, καὶ Η'. 117, « ξυνήνεγκε θώϋμα τοιόνδε γενέσθαι ». 394) Πολύ.
395) Οἱ Πέρσαι. 396) Ἕκαστος ἐδόκει τὸν βασιλέα θεάσασθαι ἑαυτόν. 397) Ἴων. λοιπούς. 398) Εἰπεῖν. 399) Ἢ πρότερον. 400) Εἰς πολλὴν ταραχὴν ἦτον ὁ Περσικὸς στόλος.
401) Αὕτη, ἡ Ἀρτεμ. 402) Ναῦς. 403) Ἔγγιστα εἰς τοὺς πολεμίους. 404) Αὐτῇ.
405) Συμφέρω. Εἰς συμφέρον αὐτῇ ἀπέβη. 406) Νηός.

φέρουσα ἐνέβαλε[407] νηῒ ψιλίῃ, ἀνδρῶν τε Καλυνδέων[408], καὶ αὐτοῦ ἐπιπλέοντος τοῦ Καλυνδέων βασιλῆος Δαμασιθύμου. Εἰ μὲν καί τι νεῖκος[409] πρὸς αὐτὸν ἐγεγόνεε ἔτι περὶ Ἑλλήσποντον ἐόντων, οὐ μέντοι ἔγωγε ἔχω εἰπαι[398], οὔτε εἰ ἐκ προνοίης[410] αὐτὰ ἐποίησε, οὔτε εἰ συνεκύρησε ἡ τῶν Καλυνδέων κατὰ τύχην παραπεσοῦσα νηῦς. Ὡς δὲ ἐνέβαλέ τε καὶ κατέδυσε[411], εὐτυχίῃ χρησαμένη, διπλᾶ ἑωυτὴν ἀγαθὰ ἐργάσατο. Ὅτε[412] γὰρ τῆς Ἀττικῆς νηὸς τριήραρχος, ὡς εἶδε μιν[413] ἐμβάλλουσαν νηῒ ἀνδρῶν βαρβάρων, νομίσας τὴν νῆα τὴν Ἀρτεμισίης ἢ Ἑλληνίδα εἶναι, ἢ αὐτομολέειν ἐκ τῶν βαρβάρων, καὶ αὐτοῖσι ἀμύνειν, ἀποστρέψας, πρὸς ἄλλας ἐτράπετο.

γ3. Τοῦτο μὲν, τοιοῦτο αὐτῇ συνήνεικε[414] γενέσθαι, διαφυγέειν τε καὶ μὴ ἀπολέσθαι· τοῦτο δὲ, συνέβη ὥστε, κακὸν ἐργασαμένην, ἀπὸ τουτέων[415] αὐτὴν μάλιστα εὐδοκιμῆσαι παρὰ Ξέρξῃ. Λέγεται γὰρ βασιλῆα θηεύμενον[416], μαθεῖν[417] τὴν νῆα ἐμβαλοῦσαν· καὶ δή τινα εἰπαι[397] τῶν παρεόντων· » Δέσποτα, ὁρᾷς Ἀρτεμισίην, ὡς εὖ ἀγωνίζεται, καὶ νῆα τῶν πολεμίων κατέδυσε; » Καὶ τὸν[418] ἐπείρεσθαι, εἰ ἀληθέως ἐστὶ Ἀρτεμισίης τὸ ἔργον· καὶ τοὺς[419] φάναι[420], σαφέως τὸ ἐπίσημον[420] τῆς νηὸς ἐπισταμένους· τὴν δὲ διαφθαρεῖσαν ὑπιστέατο[421] εἶναι πολεμίην. τά τε γὰρ ἄλλα, ὡς εἴρηται, αὐτῇ συνήνεικε ἐς εὐτυχίην γενόμενα, καὶ τὸ τῶν ἐκ τῆς Καλυνδικῆς νηὸς μηδένα ἀποσωθέντα κατήγορον γενέσθαι. Ξέρξην δὲ εἰπαι λέγεται πρὸς τὰ φραζόμενα· » Οἱ μὲν ἄνδρες γεγόνασί μοι γυναῖκες· αἱ δὲ γυναῖκες ἄνδρες· ταῦτα μὲν Ξέρξην φασὶ εἰπαι.

γ4. Ἐν δὲ τῷ πόνῳ[422] τούτῳ, ἀπὸ μὲν ἔθανε[423] ὁ στρατηγὸς Ἀριαβίγνης ὁ Δαρείου[424], Ξέρξεω ἐὼν ἀδελφεός, ἀπὸ δὲ[425] ἄλλοι πολλοί τε καὶ ὀνομαστοὶ Περσέων καὶ Μήδων, καὶ τῶν ἄλλων συμμάχων· ὀλίγοι δέ τινες καὶ Ἑλλήνων. Ἅτε γὰρ νέειν ἐπιστάμενοι, τοῖσι[426] αἱ νῆες διεφθείροντο, καὶ μὴ ἐν χειρῶν νόμῳ[427] ἀπολλύμενοι, ἐς τὴν Σαλαμῖνα διένεον. Τῶν δὲ βαρβάρων οἱ πολλοὶ ἐν τῇ θαλάσσῃ διεφθάρησαν, νέειν οὐκ ἐπιστάμενοι. Ἐπεὶ δὲ αἱ πρῶται[428] ἐς φυγὴν ἐτράποντο, ἐνθαῦτα αἱ πλεῖσται διεφθείροντο. Οἱ γὰρ ὄπισθε τεταγμένοι, ἐς τὸ πρόσθε τῆσι νηυσὶ παριέναι πειρώμενοι, ὡς ἀποδεξόμενοί[429] τι καὶ αὐτοὶ ἔργον βασιλεῖ, τῇσι σφετέρῃσι νηυσὶ φευγούσῃσι περιέπιπτον.

γ5. Ἐγένετο δὲ καὶ τόδε ἐν τῷ θορύβῳ τούτῳ. Τῶν τινες Φοινίκων[430] τῶν αἱ νῆες διεφθαρέατο[431], ἐλθόντες παρὰ βασιλῆα, διέβαλλον τοὺς Ἴωνας, ὡς δι' ἐκείνους ἀπολοίατο[432] αἱ νῆες, ὡς προδόντων[433]. Συνήνεικε[434] δὴ οὕτω, ὥστε Ἰώνων τε τοὺς στρατηγοὺς μὴ ἀπολέσθαι, Φοινίκων τε τοὺς διαβάλ-

---

[407]) Ὁρμήσασα προσέβαλε. [408]) Κάλυνδα, πόλις μεταξὺ Καρίας καὶ Λυκίας.
[409]) Φιλονεικία. [410]) Ἐκ προθέτεως, ἐπίτηδες. [411]) Ἐβύθισε τὴν ναῦν. [412]) Ὅ τε μένει ἀνανταπόδοτος, καὶ κατ' ἔννοιαν μόνον ἀποδίδεται εἰς τὸ κατωτέρω Τοῦτο δέ.
[413]) Αὐτήν. [414]) Συνέπεσε. [415]) Ἀπὸ τοῦ κακοῦ τούτου. [416]) Θεώμενον. [417]) Ἐννοῆσαι, ἰδεῖν. [418]) Τοῦτον, τὸν βασ. [419]) Τούτους τοὺς παρόντας. [420]) (Ἔνν.) ὅτι ἀληθέως ἐστὶ Ἀρτεμισίης τὸ ἔργον. [420]) Τὴν σημαίαν. [421]) Ἐπίσταμαι. [422]) Ἀγῶνι.
[423]) Ἀπέθανε μέν. [424]) Υἱός. [425]) Ἔθανον. [426]) Ἐκεῖνοι οἷς. [427]) Ἐν τῇ συμπλοκῇ, Α. Σ. Νόμος. [428]) Νῆες. [429]) Ἀποδειξόμενοι. [430]) Τινὲς Τῶν Φ. [431]) γ'. προ. πληθ. ὑπερσυντ. παθ. Ἴων. [432]) Ὡς προδόντων ἐκείνων, καθ' ὃ προδ.

λοντας λαβεῖν τοιόνδε μισθόν[455]. Ἔτι τουτέων ταῦτα λεγόντων, ἐνέβαλε νηῒ Ἀττικῇ Σαμοθρηϊκίη νηῦς· ἦτε δὴ Ἀττικὴ κατεδύετο, καὶ ἐπιφερομένη Αἰγιναίη νηῦς κατέδυσε τῶν Σαμοθρηϊκίων τὴν νῆα. Ἅτε δὴ ἐόντες ἀκαντισταὶ οἱ Σαμοθρηΐκες, τοὺς ἐπιβάτας ἀπὸ τῆς καταδυσάσης[456] νηὸς βάλλοντες ἀπήραξαν[457], καὶ ἐπέβησάν τε καὶ ἔσχον αὐτήν. Ταῦτα γενόμενα τοὺς Ἴωνας ἐρρύσατο[458]. Ὡς γὰρ εἶδέ σφεας[459] Ξέρξης ἔργον μέγα ἐργασαμένους, ἐτράπετο πρὸς τοὺς Φοίνικας, οἷα[460] ὑπερλυπεόμενός τε καὶ πάντας[461] αἰτιώμενος· καὶ σφεων ἐκέλευσε τὰς κεφαλὰς ἀποταμεῖν, ἵνα μὴ, αὐτοὶ κακοὶ γενόμενοι, τοὺς ἀμείνονας διαβάλλωσι. (Ὅκως[462] γάρ τινα ἴδοι Ξέρξης τῶν ἑωυτοῦ ἔργον[463] τι ἀποδεικνύμενον ἐν τῇ ναυμαχίῃ, κατήμενος[464] ὑπὸ τῷ ὄρει[465] τῷ ἀντίον Σαλαμῖνος, τὸ καλέεται Αἰγάλεως, ἀνεπυνθάνετο τὸν ποιήσαντα· καὶ οἱ γραμματισταὶ[466] ἀνέγραφον πατρόθεν[467] τὸν τριήραρχον καὶ τὴν πόλιν.) Πρὸς δὲ ἔτι καὶ προσελάβετο[468] φίλος ἐὼν[469] Ἀριαράμνης ἀνὴρ Πέρσης παρεών, τούτου τοῦ Φοινικηΐου πάθεος[470]. Οἱ μὲν δὴ[471] πρὸς τοὺς Φοίνικας ἐτράποντο.

96 Τῶν δὲ βαρβάρων ἐς φυγὴν τραπομένων, καὶ ἐκπλεόντων πρὸς τὸν Φάληρον, Αἰγινῆται, ὑποστάντες ἐν τῷ πορθμῷ, ἔργα ἀπεδέξαντο[472] λόγου ἄξια. Οἱ μὲν γὰρ Ἀθηναῖοι ἐν τῷ θορύβῳ[473] ἐκεράϊζον[474] τάς τε ἀντισταμένας καὶ τὰς φευγούσας τῶν νηῶν, οἱ δὲ Αἰγινῆται τὰς ἐκπλωούσας[475]· ὅκως[476] δέ τινες τοὺς Ἀθηναίους διαφύγοιεν, φερόμενοι ἐσέπιπτον ἐς τοὺς Αἰγινήτας.

97 Ἐνθαῦτα συνεκύρεον[477] νῆες ἥ τε Θεμιστοκλέος διώκουσα νῆα, καὶ ἡ Πολυκρίτου τοῦ Κριοῦ, ἀνδρὸς Αἰγινήτεω, νηῒ ἐμβαλοῦσα Σιδωνίῃ, ἥπερ εἶλε τὴν προφυλάσσουσαν ἐπὶ Σκιάθῳ τὴν Αἰγιναίην, ἐπ' ἧς ἔπλεε Πυθέης Ἰσχενόου, τὸν[478] οἱ Πέρσαι, κατακοπέντα, ἀρετῆς εἵνεκα εἶχον ἐν τῇ νηῒ ἐκπαγλεόμενοι[479]. Τὸν[480] δὴ περιάγουσα ἅμα τοῖσι Πέρσῃσι, ἦλω νηῦς ἡ Σιδωνίη, ὥστε Πυθέην οὕτω σωθῆναι ἐς Αἴγιναν. Ὡς δὲ ἐσεῖδε τὴν νῆα τὴν Ἀττικὴν ὁ Πολύκριτος, ἔγνω, τὸ σημήϊον ἰδὼν τῆς στρατηγίδος· καὶ βώσας[481] τὸν Θεμιστοκλῆα, ἐπεκερτόμησε, ἐς τῶν Αἰγινητέων τὸν μηδισμὸν ὀνειδίζων[482]. Ταῦτα μὲν νυν νηῒ ἐμβαλὼν ὁ Πολύκριτος ἀπέρριψε[483] ἐς Θεμιστοκλῆα.

98 Οἱ δὲ βάρβαροι, τῶν[484] αἱ νῆες περιεγένοντο, φεύγοντες ἀπίκοντο ἐς Φάληρον ὑπὸ τὸν πεζὸν στρατόν[485]. Ἐν δὲ τῇ ναυμαχίῃ ταύτῃ ἤκουσαν Ἑλλήνων ἄριστα[486] Αἰγινῆται· ἐπὶ δὲ[487], Ἀθηναῖοι· ἀνδρῶν[488] δὲ, Πολύκρι-

---

455) Δηλ. ἀπολέσθαι. 454) Μέσ. βυθιστθείσης. Ὡς φαίνεται δὲν εἶχε βυθισθῇ ἐντελῶς.
456) Ἀπαράσσω, ἐξέρριψαν. 458) Ἔσωσε τῆς ὀργῆς τοῦ βασ. 459) Οἱ Σαμοθρᾷκες δὲν ἦσαν Ἴωνες, ἀλλὰ λέγει Ἴωνας ὅλους τοὺς ὑπὸ τὸν Ξέρξην Ἕλληνας. 463) Ὡς.
460) Ὅλους τοὺς Φοίν. ἄχι μόνον τοὺς παρόντας. 440) Ὁσάκις, καὶ ἀλλαχοῦ οὕτως ὁ Ἡρόδ. 461) Ἀνδραγάθημα. 462) Καθήμενος. 465) Ὄρει. 466) Γραμματεῖς.
465) Τὸ ὄνομα τοῦ τριηράρχου, τὸ τοῦ πατρὸς καὶ τὸ τῆς πόλεώς του. 446) Μετέσχε, συνέπραξε. 467) Φίλος τῶν Ἰώνων, τὸ ὁποῖον καὶ προστίθεται εἰς τινας ἐκδόσεις.
468) Τοῦ ἀποκεφαλισμοῦ τῶν Φοιν. 449) Οἱ περὶ τὸν Ξέρξην καὶ Ἀριαμένην ἐστράφησαν κατὰ των Φοιν. 450) Ἐν τῇ μάχῃ. 451) Συναπαντῶντο. 452) Ὅν. 453) Θαυμάζοντες αὐτόν. Τοῦτο δηγεῖται Βιβλ. Ζ'. 181. 454) Τοῦτον, τὸν Πυθέαν. 455) Βοήσας.
456) Τὸν ἐπέπληξεν, ὀνειδίζων αὐτὸν ὅτι ἔλεγε μηδίζοντας τοὺς Αἰγινήτας.
457) Αὐτοὺς τοὺς λόγους ἔρριψεν εἰς τὸν Θεμιστ. ὅταν ὥρμησεν εἰς τὸ ἔχθρ. πλοῖον.
458) Ὑπὸ τὴν ὑπεράσπισιν τοῦ πεζοῦ στρατοῦ. 459) Ἐπηνέθησαν ὑπὲρ πάντας τοὺς Ἕλληνας. 460) Μετ' αὐτούς. 461) Ἑλλήνων μὲν (δηλ. τῶν Ἑλληνικῶν πόλεων), ἀνδρῶν δὲ (δηλ. ἐκ τῶν ἀτόμων).

Περιφερειακή Κεντρική Βιβλιοθήκη Βέροιας

τός τε ὁ Λίγινήτης, καὶ Ἀθηναῖοι, Εὐμένης τε ὁ Ἀναγυράσιος[462] καὶ Ἀμεινίας Παλληνεύς· ὃς καὶ Ἀρτεμισίῃ ἐπεδίωξε. Εἰ μέν νυν ἔμαθε ὅτι ἐν ταύτῃ[463] πλώει ἡ Ἀρτεμισίη, οὐκ ἂν ἐπαύσατο πρότερον ἢ εἷλέ μιν[464], ἢ καὶ αὐτὸς ἥλω[465]. Τοῖσι γὰρ Ἀθηναίων τριηράρχοισι παρακεκέλευστο[466] π. ὃς δὲ, καὶ ἄελλον ἐκεῖτο μύριαι ὀραγμαί, ὃς ἂν μιν ζωὴν ἕλῃ. δεινὸν γάρ τοι ἐπῳδεῦντο[467], γυναῖκα ἐπὶ τὰς Ἀθήνας στρατεύεσθαι. Αὕτη μέν ἑ ὡς πρότερον εἴρηται, διέφυγε· ἔσαν δὲ καὶ οἱ ἄλλοι, τῶν αἱ νῆες περιγενόμεναι, ἐν τῷ Φαλήρῳ.

87 Ἀδείμαντον δὲ τὸν Κορίνθιον στρατηγὸν λέγουσι Ἀθηναῖοι, αὐτίκα κατ' ἀρχὰς ὡς ξυνέμισγον αἱ νῆες, ἐκπλαγέντα τε καὶ ὑπερδείσαντα, τὰ ἱστία αἰρόμενον, οἴχεσθαι φεύγοντα· ἰδόντας δὲ τοὺς Κορινθίους τὴν στρατηγίδα φεύγουσαν, ὡσαύτως οἴχεσθαι. Ὡς δὲ ἄρα φεύγοντας γίνεσθαι[467] τῆς Σαλαμινίης[468] κατὰ τὸ ἱρὸν[130] Ἀθηναίης Σκιράδος[469], περιπίπτειν σφι κέλητα θείῃ πομπῇ[470]· τὸν οὔτε πέμψαντα φανῆναι οὐδένα, οὔτε τι τῶν ἀπὸ τῆς στρατιῆς εἰδόσι προσφέρεσθαι τοῖσι Κορινθίοισι[471]. Τῇδε[472] δὲ ξυμβάλλονται[473] εἶναι θεῖον τὸ πρῆγμα. Ὡς γὰρ ἀγχοῦ γενέσθαι[474] τῶν νηῶν τοὺς ἀπὸ τοῦ κέλητος[475], λέγειν τάδε· » Ἀδείμαντε, σὺ μέν, ἀποστρέψας τὰς ναῦς, ἐς φυγὴν ὥρμησαι καταπροδοὺς τοὺς Ἕλληνας· οἱ δὲ καὶ δὴ νικῶσι, ὅσον αὐτοὶ ἤρῶντο[476] ἐπικρατῆσαι τῶν ἐχθρῶν «. Ταῦτα λεγόντων, ἀπιστέειν γὰρ[477] τὸν Ἀδείμαντον, αὖτις τάδε λέγειν, ὡς αὐτοὶ οἷοί τε εἶεν ἀγόμενοι ὑμῖν ἀποδώσκειν, ἢν μὴ νικῶντες φαίνωνται οἱ Ἕλληνες. Οὕτω δὴ ἀποστρέψαντα τὴν νῆα, αὐτόν τε καὶ τοὺς ἄλλους, ἐπ' ἐξεργασμένοισι[478] ἐλθεῖν ἐς τὸ στρατόπεδον. Τούτους μὲν τοιαύτη φάτις ἔχει ὑπὸ Ἀθηναίων[479]. Οὐ μέντοι αὐτοί γε Κορίνθιοι ὁμολογέουσι, ἀλλ' ἐν πρώτοισι[480] σφέας αὐτοὺς τῆς ναυμαχίης νομίζουσι γενέσθαι· μαρτυρεῖ δέ σφι καὶ ἡ ἄλλη Ἑλλάς.

90 Ἀριστείδης δὲ ὁ Λυσιμάχου, ἀνὴρ Ἀθηναῖος, τοῦ[397] καὶ ὀλίγῳ τι πρότερον τουτέων[481] ἐπεμνήσθην ὡς ἀνδρὸς ἀρίστου, οὗτος ἐν τῷ θορύβῳ ταύτῳ τῷ περὶ Σαλαμῖνα γενομένῳ τάδε ἐποίεε. Παραλαβὼν πολλοὺς τῶν ὁπλιτέων, οἳ παρατετάχατο παρὰ τὴν ἀκτὴν τῆς Σαλαμινίης χώρης, γένος ἐόντες Ἀθηναῖοι, ἐς τὴν Ψυττάλειαν νῆσον ἀπέβησε[482] ἄγων, οἳ τοὺς Πέρσας τοὺς ἐν τῇ νησίδι ταύτῃ κατεφόνευσαν πάντας.

91 Ὡς δὲ ἡ ναυμαχίη διελέλυτο, κατειρύσαντες[483] ἐς τὴν Σαλαμῖνα οἱ Ἕλληνες τῶν ναυαγίων ὅσα ταύτῃ ἐτύγχανε ἔτι ἐόντα, ἑτοῖμοι ἔσαν ἐς ἄλλην

---

462) Ἀναγυρούς, δῆμος τῆς Ἀττικῆς, μεσημβρινῶς τοῦ Ὑμηττοῦ. 463) Τῇ νηΐ ἣν ἐδίωκε. 464) Πρότερον ἢ εἷλεν ἢ ἥλω, πρὶν τὴν συλλάβῃ ἢ συλληφθῇ ὁ ἴδιος. 465) Ζωὴν αὐτὴν λαβεῖν, ἐκ τοῦ κατωτέρω ἐννοεῖται. 466) Δεινὸν ἐποιοῦντο, ἐθεώρουν. 467) Ὡς φεύγοντες (κοιν. φεύγοντας) ἔρθασαν. 468) Γῆς. 469) Ἐπὶ τῆς μεσημβρινῆς ἄκρης τῆς Σαλαμῖνος, ἥτις ἐκαλεῖτο Σκιράδιον. Ὅλη δὲ ἡ νῆσος τὸ πάλαι ἐκαλεῖτο Σκιράς. 470) Ὑπὸ θεοῦ στελλόμενον, θεόπομπον. 471) Οὔτε φανῆναι οὐδένα πέμψ. τὸν (δν), οὔτε προσφέρεσθαι τοῖς Κορ. εἰδόσι τι τῶν ἀπὸ τῆς στρατ. 472) Ἐκ τούτου. 473) Οἱ Ἀθ. 474) Πάντοτε ἐκ τοῦ Λέγουσιν Ἀθ. 475) Τοὺς ἐν τῷ κέλ. πλέοντας. 476) Καθὼς ηὔχοντο, ἐκ τοῦ ἀράσιμαι. 477) Ἀπὸ κοινοῦ τοῦ ἐν ἀρχῇ τοῦ Παραγράφου· Ἀθηναῖοι λέγουσι· Προαιτιολογεῖ δὲ τὸ ἑπόμενον· Αὖτις λέγειν. 478) Ἀφ' οὗ εἶχον τελειώσει, νικήσει. 479) Τοιαῦτά φασ. οἱ Ἀθ. περὶ τούτων. 480) Μεταξὺ τῶν πρώτων. 481) Τούτων τῶν ῥηθέντων. 482) Ἀπεβίβασε. 483) Καθελκύσαντες.

ναυμαχίην, ἐλπίζοντες τῇσι περιεούσῃσι νηυσὶ ἔτι χρήσεσθαι βασιλῆα. Τῶν δὲ ναυηγίων πολλὰ ὑπολαβὼν ἄνεμος ζέφυρος, ἔφερε τῆς Ἀττικῆς ἐπὶ τὴν ἠιόνα τὴν καλεομένην Κωλιάδα[483]· ὥστε ἀποπλῆσαι[485] τὸν χρησμὸν, τόντε ἄλλον πάντα τὸν περὶ τῆς ναυμαχίης ταύτης εἰρημένον Βάκιδι καὶ Μουσαίῳ[486], καὶ δὴ καὶ κατὰ τὰ ναυήγια τὰ ταύτῃ ἐξενειχθέντα τὸ εἰργμένον πολλοῖσι ἔτεσι πρότερον τουτέων[487] ἐν χρησμῷ, Λυσιστράτῳ Ἀθηναίῳ, ἀνδρὶ χρησμολόγῳ[488], τὸ ἐλελήθεε πάντας τοὺς Ἕλληνας·

« Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖσι φρύξουσι[490] ».

τοῦτο δὲ ἔμελλε ἀπελάσαντος[491] βασιλῆος ἔσεσθαι.

Ζ'. ΔΩΡΙΚΑ ΤΕΜΑΧΙΑ.

